

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ

ΑΣΤΕΡΙΟΣ Ο ΣΟΦΙΣΤΗΣ ([illegible])

ΑΡΕΙΑΝΙΣΤΑΙ

ΑΚΑΚΙΟΣ ΕΥΣΕΒΙΟΣ & ΝΕΜΕΣΙΟΣ ΕΜΕΣΗΣ

38

Printed in Greece
Athens 1968

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΡΙΑΚΟΣΤΟΣ ΟΓΔΟΟΣ

ΠΕΡΙ ΤΗΝ ΑΡΕΙΑΝΙΚΗΝ ΕΡΙΝ

ΑΣΤΕΡΙΟΣ ΣΟΦΙΣΤΗΣ.—ΑΕΤΙΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.
ΕΥΝΟΜΙΟΣ ΚΥΖΙΚΟΥ.—ΕΥΔΟΞΙΟΣ Κ/ΠΟΛΕΩΣ.
ΛΟΥΚΙΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΑΙ
ΕΥΝΟΜΙΟΣ ΒΕΡΟΙΗΣ



ΑΚΑΚΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ
ΕΥΣΕΒΙΟΣ ΕΜΕΣΗΣ
ΝΕΜΕΣΙΟΣ ΕΜΕΣΗΣ

Ἐπιμελείᾳ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Τακτικοῦ Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1968

ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΙΑΣΙΟΥ 1 (ΜΟΝΗ ΠΕΤΡΑΚΗ)
ΑΘΗΝΑΙ

Ἀριθ. Πρωτ. 1299 *Ἀθήνησι τῇ 12ῃ Μαρτίου 1968*

Πρὸς
Τὴν Ἁγίαν καὶ Ἱερὰν Σύνοδον.
τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.
Ἐνταῦθα

Τὸ καθ' ἡμᾶς Κεντρικὸν Συμβούλιον τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, κατὰ τὴν συνεδρίαν αὐτοῦ τῆς 29.2.68, ἀπεφάσισε τὴν συνέχισιν τῆς ἐπί τινα χρόνον ἀνασταλείσης ἕνεκα τεχνικῶν λόγων ἐκδόσεως τῶν συγγραμμάτων τῶν «Ἑλλήνων Πατέρων τῆς Ἐκκλησίας καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων» ἀπὸ τοῦ 37ου τόμου καὶ ἑφεξῆς.

Πρὸς τούτοις, τὸ Κεντρικὸν Συμβούλιον ἀνέθεσε τὴν ἐπιστημονικὴν ἐπιμέλειαν καὶ ἐπιστασίαν τοῦ καθ' ὅλου ἔργου εἰς τὸν εἰδικὸν Καθηγητὴν τῆς Πατρολογίας τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν κ. Κων. Μπόνην, συνεπικουρούμενον ὑπὸ εἰδικῶς καταρτισθέντων εἰς τὰς Πατρολογικὰς μελέτας Θεολόγων Ἐπιστημόνων.

Ταῦτα ἁρμοδίως γνωρίζοντες τῇ Ἁγίᾳ καὶ Ἱερᾷ Συνόδῳ, παρακαλοῦμεν ὅπως Αὐτὴ ἐγκρίνῃ τὴν ὡς εἴρηται ἀπόφασιν καὶ ἐπευλογήσῃ τὴν νέαν ἀρξαμένην προσπάθειαν ὁλοκληρώσεως τοῦ ἔργου ἐκδόσεως τῶν Πατέρων, ἐπ' ἀγαθῷ τοῦ Χριστεπωνύμου πληρώματος καὶ πρὸς δόξαν τῆς ἁγιωτάτης ἡμῶν Ἐκκλησίας.

Μετὰ τῆς ἐν Κυρίῳ ἀγάπης
Ὁ Πρόεδρος
τοῦ Κεντρικοῦ Συμβουλίου τῆς Α.Δ.

† Ὁ Ἀθηνῶν Ἱερώνυμος

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ο ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΑΘΗΝΩΝ ΚΑΙ ΠΑΣΗΣ ΕΛΛΑΔΟΣ

Ι Ε Ρ Ω Ν Υ Μ Ο Σ

Ἀθήνησι τῇ 15ῃ Μαΐου 1968

Τὴν θεμελιώδη σημασίαν, τὴν ὁποίαν ἔχει διὰ τὴν Ἐκκλησίαν ἐν τῷ συνόλῳ της καὶ εἰδικώτερον διὰ τὴν ἱερὰν Ἐπιστήμην καὶ τοὺς αὐτῇ διακονοῦντας, ὡς καὶ διὰ τὴν κατὰ Χριστὸν μόρφωσιν τοῦ ἱεροῦ κλήρου καὶ τοῦ εὐσεβοῦς ἐκκλησιαστικοῦ πληρώματος, ὡς ἐπίσης καὶ διὰ τὴν προαγωγὴν τοῦ ἑλληνοχριστιανικοῦ Πολιτισμοῦ ἡ εὐρυτέρα διάδοσις τῶν Πατερικῶν κειμένων καὶ συνεπῶς καὶ ἡ ὑπὸ τῆς Ἀποστολικῆς Διακονίας ἀναληφθεῖσα ἔκδοσις αὐτῶν ὑπεγραμμίσθη διὰ τῶν Γραμμάτων τοῦ τότε Ἀρχιεπισκόπου, τῆς Ἱερᾶς Συνόδου καὶ τοῦ τότε Γενικοῦ Διευθυντοῦ τῆς Ἀποστολικῆς Διακονίας, τὰ ὁποῖα προετάχθησαν τοῦ πρώτου τόμου τῆς ὅλης σειρᾶς.

Ὅθεν ἀπομένει πρῶτον μὲν νὰ εὐχαριστήσωμεν θερμῶς καὶ ἀπὸ τῆς θέσεως ταύτης τὸν εἰσηγηθέντα τὴν ἔκδοσιν καὶ ἐπὶ ἔτη μακρὰ ἐπιμεληθέντα αὐτῆς, ὀτρηρὸν δὲ σκαπανέα τῆς ὅλης προσπαθείας καθηγητὴν τῆς Θεολογικῆς Σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν κύριον Β α σ ί λ ε ι ο ν Β έ λ λ α ν, διὰ τὰς ὑπ' αὐτοῦ καὶ μετὰ τὴν ἀποχώρησίν του ἐκ τῆς θέσεως τοῦ Γεν. Διευθυντοῦ προσενεχθείσας πολυτίμους ὑπηρεσίας. Δεύτερον δέ, ὅπως εὐχαριστήσωμεν τὸν Θεὸν καὶ ἐκφράσωμεν τὴν χαρὰν τῆς Ἐκκλησίας, διότι ἡ τότε διατυπωθεῖσα εὐχή, ὅπως «τεμάχια τῶν καλλιτέρων δημιουργημάτων τῆς Πατερικῆς Γραμματείας, ἀπαράμιλλα κατὰ τὸ περιεχόμενον καὶ τὴν διατύπωσιν αὐτῶν, εἰσαχθῶσι πρὸς διδασκαλίαν καὶ εἰς τὰ Σχολεῖα τῆς Μέσης Παιδείας», διὰ τῆς προσφάτου σχετικῆς ἀποφάσεως τοῦ Ἀνωτάτου Ἐκπαιδευτικοῦ Συμβουλίου, καθίσταται πραγματικότης.

Ἐπ' εὐκαιρίᾳ δὲ τῆς συνεχίσεως τῆς ἐκδόσεως τοῦ ἔργου, ἡ ὁποία διὰ λόγους τεχνικοὺς καὶ ἄλλους εἶχεν ἐπί τι διάστημα διακοπῇ καὶ τῆς ὑπευθύνου, κατόπιν ἀποφάσεως τῆς Ἱερᾶς Συνόδου, ἀναλή-

ψεως τῆς ἐποπτείας τῆς ἐκδόσεως ὑπὸ τοῦ ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Πανεπιστημίου Ἀθηνῶν καθηγητοῦ τῆς Πατρολογίας κ. Κωνσταντίνου Γ. Μπόνη, θὰ ἐπεθύμουν, ὅπως εὐχηθῶ ἀπὸ καρδίας τὴν ἀπὸ πάσης ἀπόψεως ἀπρόσκοπτον συνέχισιν καὶ τὴν κατὰ τὸ δυνατὸν συντομωτέραν ἀποπεράτωσιν τοῦ ὅλου ἔργου. Ἡ ὅσον οἷόν τε ταχεῖα ἀποπεράτωσίς του, ἐφ' ὅσον δὲν θὰ γίνῃ εἰς βάρος τῆς ἀρτιότητός του, θὰ πολλαπλασιάσῃ τὴν χρησιμότητα αὐτοῦ ἐν παντί. Τὸ ἔργον τοῦτο, συμπληρούμενον, θὰ ἀποτελέσῃ πράγματι σταθμὸν εἰς τὰ ἐκδοτικὰ χρονικὰ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος καὶ θὰ καταστῇ μνημειῶδες, ἀποδεικνυόμενον ἀντάξιον τῶν θυσιῶν καὶ τῶν μόχθων, εἰς τοὺς ὁποίους ὑπεβλήθησαν καὶ ὑποβάλλονται πάντες οἱ συμβαλόντες καὶ συμβάλλοντες εἰς τὴν πραγματοποίησίν του.

† Ὁ Ἀθηνῶν Ἱερώνυμος

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Θεία συνάρσει συνεχίζεται ἡ δημοσίευσις τῶν συγγραμμάτων «τῶν Ἑλλήνων Πατέρων τῆς Ἐκκλησίας καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων». Ἡ Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος διὰ τοῦ ὑπ' ἀριθ. Πρωτ. 57 τῆς 29 Ἰανουαρίου 1955 ἐγγράφου αὐτῆς, ὑπογραφομένου ὑπὸ τοῦ μακαριστοῦ τῇ μνήμῃ Ἀρχιεπισκόπου κυροῦ Σπυρίδωνος, ἐπευλογήσατο τὴν γενομένην ὑπὸ τοῦ τότε Γενικοῦ Διευθυντοῦ Καθηγητοῦ κ. Βασ. Βέλλα καὶ τοῦ Συμβουλίου τῆς Ἀποστολικῆς Διακονίας εἰσήγησιν περὶ τῆς ἀναδημοσιεύσεως τῶν πατερικῶν συγγραμμάτων. Καὶ ἡ σήμερον διοικοῦσα Ἱερὰ Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, διὰ τοῦ Προκαθημένου αὐτῆς Μακαριωτάτου Ἀρχιεπισκόπου Κυρίου Ἱερωνύμου, ἀναγνωρίζουσα τὴν σπουδαιότητα τοῦ ἔργου, ἀπεφάσισε τὴν συνέχισιν τούτου ἀπὸ τοῦ 37 τόμου καὶ ἐφεξῆς, μετὰ τὴν διὰ τεχνικοὺς λόγους παρεμβληθεῖσαν ἀναστολὴν τῆς συνεχίσεως τοῦ ἔργου.

Τὸ Συμβούλιον τῆς Ἀποστολικῆς Διακονίας ἐξέφρασεν ἁρμοδίως τὴν εὐγνωμοσύνην αὐτοῦ εἰς τὸν Καθηγητὴν κ. Βέλλαν πρώτιστα πάντων, ὅστις ἐν ἀφοσιώσει καὶ ζήλῳ καὶ ἀγάπῃ πρὸς τὴν Ἐκκλησίαν, ἐπεμελήθη τῆς ὅλης ἐργασίας, διορθῶν τὰ δοκίμια καὶ ἐπιστατῶν εἰς τὴν ὅλην ἐπιλογὴν καὶ κατάταξιν τῆς ὕλης τῶν κειμένων. Ἡ ἀγάπη τοῦ Καθηγητοῦ κ. Βέλλα διὰ τὸ ὅλον ἔργον διετηρήθη ἀμείωτος καὶ ὅτε ἀκόμη παρῃτήθη τῆς Γενικῆς Διευθύνσεως τῆς Ἀποστολικῆς Διακονίας διὰ λόγους ὑγείας, ἄχρι τῆς δημοσιεύσεως καὶ τοῦ 36 τόμου. Τὸν αὐτὸν ζῆλον συνεχίσεως τοῦ ἔργου ἐπεδείξατο καὶ ὁ διαδεχθεὶς τὸν Καθηγητὴν κ. Βέλλαν εἰς τὴν Γενικὴν Διεύθυνσιν τῆς Ἀποστολικῆς Διακονίας Καθηγητὴς κ. Ἀνδρ. Φυτράκις. Εἰς ἀμφοτέρους, ὡς καὶ εἰς πάντας τοὺς βοηθοὺς καὶ συνεργάτας τούτων τὸ Κεντρικὸν Συμβούλιον τῆς Ἀποστολικῆς Διακονίας μετὰ τῶν συγχαρητηρίων ἐξέφρασε καὶ τὰς εὐχαριστίας αὐτοῦ.

1. Τὸ μέγα ἐνδιαφέρον τοῦ Μακ. Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ πάσης Ἑλλάδος Κυρίου Ἱερωνύμου ὑπὲρ συνεχίσεως καὶ ὁλοκληρώσεως τοῦ ἐπ' αἰσίοις οἰωνοῖς ἀρξαμένου ἔργου ἔθεσε τοὺς νέους ἐπιστημονικοὺς συνεργάτας Αὐτοῦ, τοὺς καὶ συνεχιστὰς τούτου, πρὸ πολλῶν δυσχερῶν προβλημάτων.

Ἐν πρώτοις τὰ ἄχρι τοῦδε δημοσιευθέντα κείμενα, τὰ εἰς τοὺς Πατέρας καὶ Ἐκκλησιαστικοὺς Συγγραφεῖς τῶν τριῶν πρώτων αἰώνων ἀνήκοντα, ἦσαν κατὰ τὸ πλεῖστον προσιτά, ὡς ἐκδεδομένα εἰς ἀρίστας ἐκδόσεις, μάλιστα δὲ τῆς Βερολινίου Ἀκαδημίας. Ἀλλ' ἀπὸ

τοῦ 37 τόμου καὶ ἐφεξῆς τὰ πράγματα δὲν καθίστανται πλέον εὔκολα. Τὰ συγγράμματα τῶν Πατέρων καὶ Ἐκκλησιαστικῶν Συγγραφέων ἀπὸ τοῦ Δ' αἰ. καὶ ἐφεξῆς, πλὴν τῆς γνωστῆς, ἀλλὰ παλαιᾶς ἐκδόσεως τοῦ Migne εἰς 161 τόμους, δυστυχῶς δὲν ἐξεδόθησαν μεταγενεστέρως, ἐπὶ τῇ βάσει τῶν ἀπαιτήσεων τῆς ἐπιστήμης τῆς σήμερον, ὥστε νὰ εἴμεθα βέβαιοι τόσον περὶ τῆς γνησιότητος ἢ μὴ ἑκάστου συγγράμματος, ὅσον καὶ περὶ τῆς φιλολογικῆς καὶ κριτικῆς τούτου καθαρότητος. Μεμονωμένα μόνον ἔργα ἐξεδόθησαν ὑπὸ εἰδικῶν θεολόγων καὶ φιλολόγων, ἀλλὰ καὶ ταῦτα εἶναι διεσκορπισμένα τῇδε - κἀκεῖσε, ὥστε ν' ἀπαιτῆται ἐργώδης ἀναζήτησις τούτων, πολλάκις εἰς πολλὰ καὶ διάφορα ξένα καὶ ἡμέτερα Περιοδικά, ἡ προμήθεια τῶν ὁποίων μόνον διὰ τῆς φωτογραφήσεως τῶν κειμένων εἶναι δυνατή, ἥτις ὅμως καὶ δαπανηρὰ καθίσταται καὶ χρόνον ἱκανὸν ἀπαιτεῖ.

2. Ἕτερον μέγα πρόβλημα, ὅπερ ὀφείλουν ν' ἀντιμετωπίσουν οἱ ἀναδεχθέντες τὴν συνέχισιν τῆς ἀναδημοσιεύσεως τῶν πατερικῶν συγγραφῶν καὶ τῶν λοιπῶν ἔργων τῶν ἐκκλησιαστικῶν συγγραφέων, εἶναι τὸ τῆς διατηρήσεως ἢ μὴ τῆς ἄχρι τοῦ νῦν ἀκολουθηθείσης μεθόδου ἀνατυπώσεως τῶν εἰς ἕκαστον συγγραφέα ἀνηκόντων συγγραμμάτων, κατὰ τὴν αὐστηρὰν σειρὰν τῆς ἐκδόσεως τοῦ J. P. Migne. Νομίζομεν, ὅτι δὲν δύναται πλέον νὰ τηρηθῇ ἀπαρεγκλίτως ἡ ἐν λόγῳ σειρά. Αἱ νεώτεραι ἐπιστημονικαὶ ἔρευναι ἀπέδειξαν, ὅτι συγγραφεῖς τινες δὲν ἀνήκουν εἰς τὴν ἐποχήν, εἰς τὴν ὁποίαν κατατάσσει τούτους ἡ χρονολογικὴ κατ' αἰῶνας σειρὰ τοῦ Migne. Ἐπίσης, ἐν τῇ ἐκδόσει τοῦ Migne ὑπάρχουν κείμενα δὶς ἐκδεδομένα ἐπ' ὀνόματι δύο διαφόρων συγγραφέων καὶ εἰς διαφόρους τόμους (duplicata). Ἕτερα κείμενα κακῶς ἀπεδόθησαν εἰς συγγραφεῖς, μὴ ἀνήκοντα εἰς αὐτούς. Τέλος, εἰς πλεῖστα ἀντιρρητικὰ κυρίως συγγράμματα Πατέρων τῆς Ἐκκλησίας παρεμβάλλονται κείμενα ἑτέρων συγγραφέων, εἴτε ἐν ἀποσπάσμασιν εἴτε καὶ αὐτούσια. Ἀλλὰ πολλάκις νεώτεραι ἔρευναι ἀπέδειξαν τὸν εἰς ὃν ἀνήκουν συγγραφέα, ἀνεῦρον πολλάκις ὁλόκληρον ἢ τὸ πλεῖστον μέρος τοῦ ἔργου, ἐξ οὗ παρελήφθη τὸ ἀποσπασματικὸν κείμενον ὑπὸ τοῦ ἀντιρρητικοῦ Πατρὸς καὶ γενικῶς διέγνωσαν τὴν γνησίαν ἢ μὴ προέλευσιν τοῦ παρενθεμένου κειμένου ἢ ἀκόμη ἀπέδειξαν τὴν ὑπό τινος ἀντιγραφέως τοῦ κώδικος παρεμβολὴν τοῦ κειμένου τούτου. Ἐρωτᾶται λοιπόν· θὰ δημοσιευθῇ τὸ κείμενον, ὡς παρὰ Migne εὑρίσκεται συνεκδεδομένον, ἢ θὰ ἐκδοθῇ ἐν τῇ οἰκείᾳ σειρᾷ τῶν ἔργων τοῦ συγγραφέως, εἰς ὃν τοῦτο ἀνήκει;

3. Ἕτερον πρόβλημα, ὀξύτατον ἀπό τε ἐπιστημονικῆς ἐπόψεως, ἀλλὰ καὶ ἀπὸ πρακτικῆς δεοντολογίας, εἶναι τὸ τηρηθὲν ἄχρι τοῦδε μέτρον τῆς παραλείψεως ἁπαξαπάντων τῶν ξενογλώσσων πατερικῶν κειμένων. Πολλῶν ἐκκλησιαστικῶν συγγραφέων ἔργα διεσώθησαν καὶ ἐξεδόθησαν εἴτε εἰς ἀρχαίας ἀνατολικὰς γλώσσας (κοπτικήν, αἰθιοπικήν, ἀραβικήν, συριακήν, παλαιοσλαυωνικὴν κλπ.), μάλιστα δὲ εἰς τὴν

λατινικήν. Οἱ ἐπιμεληθέντες τῆς ἐκδόσεως τῶν τοιούτων ἔργων Εὐρωπαῖοι ἐπιστήμονες, ἰδίᾳ δὲ οἱ νεώτεροι, συνοδεύουσι τὸ πρωταρχικὸν κείμενον μετὰ μεταφράσεως εἰς μίαν τῶν εὐρωπαϊκῶν γλωσσῶν. Ἡμεῖς διερωτώμεθα, οὐχὶ τί πρέπει, ἀλλὰ τί δυνάμεθα νὰ πράξωμεν ἐν προκειμένῳ. Ἄχρι τοῦ νῦν παρελείποντο τὰ εἰς ξένας γλώσσας ἐκδεδομένα κείμενα ἐκκλησιαστικῶν συγγραφέων. Τὸ δ' ἔτι χεῖρον εἶναι τοῦτο· πολλάκις τὸ κείμενον ἑνὸς σπουδαίου ἔργου ἐκκλησιαστικοῦ πατρὸς ἢ συγγραφέως διεσώθη ἐν μέρει μὲν ἑλληνιστί, ἀλλ' ἐν μέρει λατινιστί, πολλάκις μάλιστα τὸ ἐκτενέστερον κείμενον ἑνὸς ἢ πλειόνων βιβλίων τοῦ αὐτοῦ πατερικοῦ συγγράμματος. Ἡ ἔκδοσις τῆς Ἀποστολικῆς Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, μὴ δυναμένη ἄλλο τι νὰ πράξῃ, παρέλειπε καὶ τὰ διάμεσα λατινιστὶ διασωθέντα ἐκτενῆ ἢ μὴ ἀποσπάσματα, διασπῶσα τὴν συνέχειαν τοῦ ὅλου ἔργου καὶ καθιστῶσα οὕτω διὰ τοὺς ἐπιστήμονας σχεδὸν ἄχρηστον τὴν γενομένην ἔκδοσιν. Πρὸς τούτοις, ἡ ἀκολουθουμένη ἔκδοσις τοῦ Migne περιέχει πλῆθος σφαλμάτων γραμματικῶν, συντακτικῶν, φραστικῶν, οὐχὶ δὲ σπάνιαι εἶναι καὶ αἱ παραλείψεις ἢ μεταθέσεις στίχων κ.π.ἄ., τὰ ὁποῖα ὁ ἐπιμελούμενος τῆς ἐπαναδημοσιεύσεως τῶν πατερικῶν κειμένων ἐκ τῆς σειρᾶς τοῦ Migne, καλεῖται ὅπως διορθώσῃ, κατὰ τὸ ἐφικτόν, καὶ ἐξυγιάνῃ τὸ κείμενον, ἵνα ὁ ἀναγνώστης μὴ προσκρούῃ εἰς πολλάκις ἀκατανοήτους ἢ δυσνοήτους ἢ ἀκόμη καὶ ἀποβλήτους τοῦ λόγου διατυπώσεις καὶ κακοζήλους τοῦ κειμένου ἐκφράσεις, μὴ ἀνεκτὰς πλέον διὰ πάντα ἀναγνώστην, μάλιστα δὲ διὰ τὸν ἐπιστήμονα.

4. Δὲν εἶναι ὑπερβολὴ νὰ λεχθῇ, ὅτι ἡ ἐπιστήμη τῆς Θεολογίας σήμερον στρέφει κατὰ προτίμησιν τὴν ἑαυτῆς ἔρευναν ἐπὶ τῶν κειμένων τῶν Πατέρων τῆς Ἐκκλησίας καὶ τῶν λοιπῶν Ἐκκλησιαστικῶν Συγγραφέων. Εἰς χιλιάδας ἀριθμοῦνται αἱ κατ' ἔτος δημοσιευόμεναι μελέται καὶ διατριβαί, αἱ περὶ ἓν ἢ πλείονα θέματα τῆς πατερικῆς σκέψεως ἀσχολούμεναι, εἰς δεκάδας δὲ αἱ μεμονωμέναι ἐκδόσεις πατερικῶν κειμένων. Ἑπομένως, ἡ σύγχρονος Θεολογία εἶναι κατ' ἐξοχὴν «Πατερικὴ» Θεολογία, τόσον ἐν τῇ Ἑρμηνευτικῇ τῶν Ἁγίων Γραφῶν, ὅσον καὶ ἐν τῇ Συστηματικῇ ἀναζητήσει καὶ κατοχυρώσει τῶν Ἀληθειῶν τῆς χριστιανικῆς πίστεως, ὡς ἐπίσης καὶ τῇ Πρακτικῇ καὶ Σωτηριολογικῇ ἐφαρμογῇ καὶ μεθόδῳ τῶν χριστιανικῶν Ἀρχῶν. Ἡ ἀναδημοσίευσις λοιπὸν τῶν κειμένων τῶν τε Πατέρων καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων ἐν τῇ σειρᾷ τῆς Ἀποστολικῆς Διακονίας ὀφείλει μετὰ περισσοτέρας ἐπιμελείας νὰ καταχωρίσῃ τόσον τὰ β ι ο γ ρ α φ ι κ ὰ ἑκάστου συγγραφέως, ὅσον καὶ τὰς νεωστὶ γενομένας ἐ κ δ ό σ ε ι ς, ἐξ ὧν καὶ θὰ παραλάβῃ τὰ νεώτερα κείμενα.

5. Μετὰ τὰ λεχθέντα, τίθεται τὸ ἀμείλικτον πλέον ἐρώτημα: Ποῦ ἔγκειται ἡ ἀξία τῆς «Βιβλιοθήκης τῶν Ἑλλήνων Πατέρων καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων», τῆς ὑπὸ τῆς Ἀποστολικῆς

Διακονίας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ἀποφασισθείσης νὰ ἀπαρτισθῇ διὰ τῆς ἁπλῆς ἀνατυπώσεως τῶν ἤδη ἐκδεδομένων κειμένων Πατέρων καὶ Ἐκκλησιαστικῶν Συγγραφέων; Ὁ προλογίσας τὸ ὅλον ἔργον Καθηγητὴς κ. Β. Βέλλας (τόμ. 1, Ἀθῆναι 1955 σ. ια') δίδει τὴν ὀρθῶς διατετυπωμένην ἀπάντησιν: «Ἡ Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος ὁρμηθεῖσα ἐκ τοῦ παρὰ πάντων διαπιστουμένου γεγονότος, ὅτι τὰ συγγράμματα τῶν Πατέρων τῆς Ἐκκλησίας καὶ τῶν Ἐκκλησιαστικῶν Συγγραφέων καὶ δυσεύρετα εἶναι καὶ δυσπρόσιτα παρ' ἡμῖν τυγχάνουν καὶ ὡς ἐκ τούτου οὔτε ὁ Ἱερὸς Κλῆρος, οὔτε οἱ Θεολόγοι Καθηγηταί, οὔτε ἡ σπουδάζουσα τὴν Θεολογίαν Νεολαία δύνανται νὰ ἔλθουν εὐκόλως εἰς ἐπικοινωνίαν μετὰ τῶν ἀθανάτων πνευματικῶν προϊόντων τῶν Πατέρων τῆς Ἐκκλησίας, ὑπείκουσα δὲ εἰς ἐμμόνους παρακλήσεις Ἐκκλησιαστικῶν προσωπικοτήτων καὶ ἑτέρων φιλομούσων ἀνδρῶν, ἐθεώρησε καθῆκον αὐτῆς, ὅπως... εἰσηγηθῇ εἴς τε τὴν Ἱερὰν Σύνοδον τῆς Ἐκκλησίας τῆς Ἑλλάδος καὶ εἰς τὸ Κεντρικὸν Συμβούλιον τῆς Ἀποστολικῆς Διακονίας τὴν ἔκδοσιν τῶν συγγραμμάτων τῶν Ἑλλήνων Πατέρων τῆς Ἐκκλησίας, πρὸς τὸν ἀποκλειστικὸν σκοπόν, ὅπως καταστήσῃ ταῦτα προσιτὰ ἰδίᾳ εἰς τοὺς Κληρικοὺς καὶ τοὺς Θεολόγους». Καὶ κατωτέρω: «Τοιοῦτον πρακτικὸν σκοπὸν ἐπιδιώκουσα ἡ παροῦσα ἔκδοσις, δὲν εἶναι κριτικὴ ἔκδοσις τῶν περὶ ὧν ὁ λόγος συγγραμμάτων, ἀλλὰ παρέχει τὰ γνωστὰ καὶ χρησιμοποιούμενα ἤδη κείμενα, στηριζομένη εἰς τὰς καλλιτέρας τούτων ἐκδόσεις».

6. Ἡ οὕτω διατυπουμένη τοποθέτησις τῆς πρακτικῆς ὠφελιμότητος τῆς ἀναδημοσιεύσεως τῶν Ἑλληνιστὶ μόνον διασωθέντων συγγραμμάτων τῶν Πατέρων καὶ Ἐκκλησιαστικῶν Συγγραφέων, δικαιολογεῖ πως τὴν ἀναληφθεῖσαν προσπάθειαν. Ἀλλ' ἐν ταὐτῷ ὀφείλει τις, μάλιστα δὲ ὁ εἰδικὸς Πατρολογικὸς ἐπιστήμων, νὰ ὁμολογήσῃ, ὅτι ἡ ἐπιστημονικὴ Θεολογία παρ' ἡμῖν—πλὴν ἐλαχίστων ἀξιεπαίνων προσπαθειῶν ὡρισμένων ἐκπροσώπων ταύτης—διέρχεται εἰσέτι τὸ στάδιον τῆς «ἐκλαϊκεύσεως» μᾶλλον τῆς Θεολογίας, οὐχὶ δὲ τῆς σοβαρᾶς καὶ αὐστηρᾶς φιλολογικο-κριτικῆς ἐκδόσεως τῶν Πατερικῶν κειμένων, πρᾶγμα τὸ ὁποῖον ἐκφεύγει τῆς δυνάμεως τοῦ ἑνὸς καὶ μόνου ἐκπροσώπου ἐν ἑκατέρᾳ ἕδρᾳ τῆς Ἐκκλησιαστικῆς Γραμματείας ἐν ταῖς δύο Θεολογικαῖς Σχολαῖς Ἀθηνῶν καὶ Θεσσαλονίκης. Τὸ ἔργον τοῦτο ἀπαιτεῖ συνεργασίαν πολλῶν ἐπιστημόνων καὶ πρὸ πάντων ἐπιστράτευσιν πολλῶν νέων θεολόγων καὶ φιλολόγων ἐπιστημόνων ἐν εἰδικοῖς Ἱδρύμασι Πατερικῶν Μελετῶν (παρὰ τῇ Ἀκαδημίᾳ Ἀθηνῶν, τῷ Ἱδρύματι τῶν Ἐπιστημονικῶν ἐρευνῶν καὶ ἐν εἰδικοῖς Ἱδρύμασι παρὰ τῇ ἕδρᾳ τῆς Πατρολογίας ἐν ἑκατέρᾳ Θεολογικῇ Σχολῇ), ἐν οἷς θὰ ὀργανωθῶσιν Ἀρχεῖα συγκεντρώσεως Κωδίκων ἐκ πασῶν τῶν ἀνὰ τὸν κόσμον Βιβλιοθηκῶν—δημοσίων, μοναστηριακῶν, ἰδιωτικῶν κλπ. Προϋποτίθεται δ' ἐπίσης ὅτι παρ' ἑκατέρᾳ

Θεολογικῇ, ἀλλ' ἰδίᾳ παρ' ἑκάστῃ Φιλοσοφικῇ Σχολῇ, θὰ ἱδρυθῶσιν ἕδραι Ἀνατολικῶν Γλωσσῶν, ὡς καὶ τῶν Σλαϊκῶν.

7. Ἐφ' ὅσον λοιπὸν τό γε νῦν ἔχον ἐλλείπουσιν αἱ ἀνωτέρω προϋποθέσεις δι' ἐπιστημονικὴν ἔκδοσιν τῶν Πατερικῶν κειμένων, ἕπεται ὅτι πρέπει νὰ παύσωμεν μεριμνῶντες καὶ διὰ τὴν ὅσον ἔνεστι διάδοσιν τῶν Πατερικῶν συγγραμμάτων, ἔστω διὰ τῆς ἀναδημοσιεύσεως τούτων ἢ ἀκόμη καὶ τῆς παραλείψεως τῶν μὴ Ἑλληνιστὶ ἐκδεδομένων Πατερικῶν κειμένων; Ἀσφαλῶς ὄχι. Ἔστω καὶ ἂν χαρακτηρισθῶμεν, ὡς θηρεύοντες «λαϊκὴν Θεολογίαν» πρὸς κάλυψιν «πρακτικῶν» ἀναγκῶν, ὀφείλομεν ἁπαξάπαντες οἱ ἐπιστήμονες Θεολόγοι, κατ' ἐξοχὴν δὲ ἡ διοικοῦσα τὴν ἁγίαν Ἐκκλησίαν τῆς Ἑλλάδος Σεβαστὴ Ἱεραρχία, νὰ ἐπιδιώκωμεν τὴν εἰς εὐρυτάτην κατὰ τὸ δυνατὸν ἔκτασιν καὶ διάδοσιν τοῦ Πατερικοῦ λόγου, μεταξὺ οὐ μόνον τῶν Θεολόγων ἢ Κληρικῶν ἢ σπουδαστῶν τῆς Θεολογίας καὶ Καθηγητῶν ἐν τῇ Μέσῃ Παιδείᾳ, ἀλλὰ καὶ μεταξὺ τῶν εἰδικῶν καὶ τῶν ἄλλων ἐπιστημῶν, μάλιστα δὲ εἰς ὅσον οἷόν τε πλείστους ἐκ τῶν ὀρθοδόξων πιστῶν.

8. Ἀλλ' ἡ μεταξὺ τοῦ πλήθους τῶν πιστῶν διάδοσις τοῦ Πατερικοῦ λόγου προϋποθέτει καὶ τὴν εἰς δημώδη καὶ κατανοητὴν ὑπὸ τοῦ λαοῦ γλῶσσαν ἑρμηνείαν τοῦ ἀττικίζοντος κατὰ τὸ πλεῖστον καὶ ἀρχαΐζοντος Πατερικοῦ κειμένου. Ἀλλὰ μία τοιαύτη προοπτικὴ ὁδηγεῖ κατ' ἀνάγκην εἰς τὴν ἀρχὴν τῆς «κατ' ἐκλογὴν» τῶν ἀρίστων Πατερικῶν κειμένων δημοσιεύσεως τούτων, μεθ' ἑρμηνείας ἢ καὶ ἀπαραιτήτων τινῶν σ χ ο λ ί ω ν τοῦ κειμένου. Τοιαύτας δημοσιεύσεις «ἐκλαϊκευτικοῦ» μᾶλλον χαρακτῆρος καὶ ἐποικοδομητικῆς ὑφῆς βλέπομεν κυκλοφορουμένας εἴτε ἐν Θρησκευτικοῖς Περιοδικοῖς καὶ Φυλλαδίοις, εἴτε καὶ αὐτοτελῶς εἰς τευχίδια, μάλιστα δὲ χάριν τῆς μαθητιώσης Νεότητος, δι' ἣν ἤρξατο ἀπό τινος ζωηρὰ προσπάθεια καταβαλλομένη, πρὸς γνωριμίαν ταύτης μετὰ τοῦ Πατερικοῦ λόγου, διὰ τῆς εἰσαγωγῆς τῆς Ἑρμηνείας τῶν Πατερικῶν κειμένων ἔν τε ταῖς Παιδαγωγικαῖς Ἀκαδημίαις καὶ τοῖς Σχολείοις τῆς Μέσης Παιδείας. Ἀλλὰ διὰ νὰ ἐπιτύχῃ ἡ παιδαγωγικῶς ὀρθοτάτη καὶ ἐθνικῶς ἀναγκαιοτάτη καὶ ὠφελιμωτάτη αὕτη προσπάθεια, δέον ὅπως ἡ Ἑρμηνεία τῶν Πατερικῶν κειμένων ἀποτελέσῃ ε ἰ δ ι κ ὸ ν μάθημα καὶ οὐχὶ καρύκευμα ἁπλῶς ἑτέρου μαθήματος. Καὶ τὴν μετὰ τῆς Ἑρμηνείας τῆς Κ.Δ. συγχώνευσιν τῆς Ἑρμηνείας τῶν Πατέρων θεωροῦμεν ἀπαράδεκτον. Ἡ τοιαύτη συνδιδασκαλία θ' ἀποβῇ ἐπὶ ζημίᾳ ἀμφοτέρων. Δὲν θεωροῦμεν σκόπιμον νὰ ἐκθέσωμεν ἀπὸ τῆς θέσεως ταύτης τοὺς λόγους, δι' οὓς τὸ μάθημα τῆς Ἑρμηνείας τῶν Πατέρων διὰ ν' ἀποβῇ καρποφόρον πρέπει καὶ αὐτοτέλειαν ν' ἀποκτήσῃ καὶ ὑπὸ εἰδικοῦ Θεολόγου νὰ διδάσκηται.

9. Ἔπρεπε νὰ λεχθῶσι πάντα τ' ἀνωτέρω, οὐ μόνον διότι κατὰ τὸ σοφὸν τοῦ Πινδάρου λόγιον «ἀρχομένου δ' ἔργου πρόσωπον χρὴ

θέμεν' τηλαυγὲς» ('Ολύμπ. VI, 1), ἀλλὰ καὶ διότι ἀναδεχθέντες τὴν ἐπιμέλειαν τῆς συνεχιζομένης ἀναδημοσιεύσεως τῶν Πατερικῶν συγγραμμάτων, ὡς καὶ τῶν 'Εκκλησιαστικῶν Συγγραφέων, εἴχομεν καθῆκον νὰ καθορίσωμεν τὴν θέσιν ἡμῶν ἔναντι τῆς ἀρξαμένης προσπαθείας καὶ τῆς μελλούσης νὰ συνεχισθῇ, σὺν θεῷ, ἐργασίας πρὸς ὁλοκλήρωσιν τοῦ ὅλου ἔργου. Κατ' ἀνάγκην καὶ ἡ συνέχεια, ἀκριβῶς διότι εἶναι «συνέχεια» ἔργου, ἀπὸ μακροῦ ἀναληφθέντος, θὰ ἐξακολουθήσῃ ἐπὶ τὰ ἴχνη τῆς ἄχρι τοῦδε γενομένης ἐργασίας βαδίζουσα, πλὴν ἀναγκαίων τινῶν βελτιώσεων καὶ συμπληρώσεων, περὶ ὧν ἐσημειώσαμεν τὰ πρέποντα ἀνωτέρω. 'Εν τέλει καὶ τοῦτο λεχθήτω, ὅτι δηλ. πλὴν τῆς σημειώσεως τῆς ἐκδόσεως, ἐξ ἧς ἀνατυποῦται τὸ κείμενον ὑφ' ἡμῶν, θεωροῦμεν ἀπαραίτητον νὰ σημειῶμεν τὴν παράλληλον σελίδα ἢ στήλην τῆς ἐξ ἧς λαμβάνομεν τὸ κείμενον ἐκδόσεως. Τοιουτοτρόπως ὁ ἀναγινώσκων κείμενόν τι ἐν τῇ «Βιβλιοθήκῃ τῶν 'Ελλήνων Πατέρων καὶ 'Εκκλησιαστικῶν Συγγραφέων» τῆς 'Αποστολικῆς Διακονίας θὰ δύναται συγχρόνως νὰ ἔχῃ πρὸ ὀφθαλμῶν τόν τε ἐκδώσαντα τὸ κείμενον, ὡς καὶ τὸν τόμον καὶ τὴν σελίδα ἢ στήλην, ἐξ ἧς ἀναδημοσιεύεται ἐν τῇ ἡμετέρᾳ Σειρᾷ τοῦτο. Περιττὸν δὲ νὰ λεχθῇ, ὅτι οἱ ἐν τέλει ἑκάστου τόμου τῆς ἡμετέρας Σειρᾶς Π ί ν α κ ε ς χωρίων τῆς 'Αγίας Γραφῆς, ὡς καὶ τῶν θεμάτων, ὀνομάτων καὶ πραγμάτων θὰ συνεχισθῶσιν, ἐὰν δὲ κριθῇ ἀναγκαῖον, θὰ συμπληρωθῶσι καὶ διὰ νέων.

Θερμὰς ἐν εὐλαβείᾳ εὐχαριστίας ὀφείλω τῇ τε 'Ιερᾷ Συνόδῳ τῆς 'Εκκλησίας τῆς 'Ελλάδος, τῷ Μακαριωτάτῳ 'Αρχιεπισκόπῳ 'Αθηνῶν καὶ πάσης 'Ελλάδος Κυρίῳ 'Ι ε ρ ω ν ύ μ ῳ, ἀλλὰ καὶ τῷ Κεντρικῷ Συμβουλίῳ τῆς 'Αποστολικῆς Διακονίας, διότι διὰ τὴν καλυτέραν ἐπιστασίαν τοῦ ἔργου ἔθεσαν συνεπικούρους τῆς ὅλης προσπαθείας φιλοτίμους τινὰς νέους ἐπιστήμονας Θεολόγους, ἐπὶ μακρὸν μετεκπαιδευθέντας ἐν τῇ 'Εσπερίᾳ, οἵτινες διακρίνονται καὶ ἐπὶ ζήλῳ καὶ ἐπὶ φιλεργίᾳ καὶ μετὰ ζέσεως πράγματι ἀπεδέχθησαν τὴν ἐντολήν. Μεταξὺ τούτων ἐξαίρω ἰδιαιτέρως τὸ ἔργον τοῦ ἐν Γαλλίᾳ καὶ Γερμανίᾳ μετεκπαιδευθέντος, πτυχιούχου καὶ διδάκτορος τῆς ἡμετέρας Σχολῆς κ. 'Η λ ί α Μ ο υ τ σ ο ύ λ α, ὡς καὶ τοῦ ἐν Μεγ. Βρεταννίᾳ καὶ Γερμανίᾳ μετεκπαιδευθέντος καὶ διδάκτορος τοῦ Πανεπιστημίου τοῦ 'Εδιμβούργου κ. **Κ** *ω ν. Δ ρ α τ σ έ λ λ α.*

10. Μέγα τὸ ἀναλαμβανόμενον ἔργον καὶ μεγάλαι αἱ καταβληθησόμεναι προσπάθειαι πρὸς ἀποπεράτωσιν τούτου. 'Απὸ μέρους τῶν ἀναγνωστῶν καὶ συνδρομητῶν αἰτοῦμεν κατανόησιν, ἐπιείκειαν καὶ διάθεσιν ἀγαθὴν ἐν ταῖς κρίσεσιν αὐτῶν. Τὰς ἐπιστημονικὰς ἀτελείας τοῦ ἔργου ἡμεῖς πρῶτοι ἐπεσημάναμεν. 'Αλλ' οὐδεὶς δικαιοῦται εἰς ἐπίκρισιν, ἐὰν ἀποβλέψῃ εἰς τὴν ἱερότητα τοῦ σκοποῦ τοῦ ἔργου. Δὲν εἶναι τυχαῖον τὸ γεγονός, ὅτι πρώτη ἡ 'Ελλαδικὴ 'Εκκλησία ἀπεφάσισε νὰ καταστήσῃ προσιτὰ τοῖς πολλοῖς τὰ κείμενα τῶν Συγ-

γραμμάτων τῶν Ἑλλήνων Πατέρων καὶ Ἐκκλησιαστικῶν Συγγραφέων. Εἴθε ὁ Κύριος, ὁ διὰ τῆς σοφίας καὶ χάριτος Αὐτοῦ τὴν θεάρεστον ταύτην ἰδέαν ἐμπνεύσας εἰς τοὺς σχόντας τὴν πρωτοβουλίαν τῆς εἰς ὅσον οἷόν τε πλείστους τῶν πιστῶν διαδόσεως τοῦ Πατερικοῦ λόγου, νὰ καταξιώσῃ τὴν Σεπτὴν Ἱεραρχίαν τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ὡς καὶ τὴν Ἀποστολικὴν Διακονίαν νὰ ἴδωσι συντετελεσμένον τὸ ἔργον τοῦτο, εἰς δόξαν μὲν Θεοῦ, εἰς ἔπαινον δὲ τῆς Ἁγίας Αὐτοῦ Ἑλληνικῆς Ἐκκλησίας, τῆς ἐμψυχουμένης καὶ ζωοποιουμένης ὑπὸ τοῦ ἐν Αὐτῇ ἐνοικοῦντος Παναγίου Πνεύματος, τοῦ ἐπιφαινομένου καὶ διακηρυττομένου κυρίως καὶ κατ᾽ ἐξοχὴν διὰ τοῦ τῶν Ἑλλήνων Πατέρων θεοπνεύστου λόγου, ὡς καὶ τῆς Ἑλληνικῆς Πατερικῆς Σκέψεως, Θεωρίας, Ζωῆς καὶ Πράξεως.

ΚΩΝ. ΜΠΟΝΗΣ

Τακτικὸς καθηγητὴς τῆς Πατρολογίας καὶ τῆς ἑρμηνείας τῶν Πατέρων τῆς Ἐκκλησίας ἐν τῇ Θεολογικῇ Σχολῇ τοῦ Πανεπιστημίου Ἀθηνῶν.

ΠΕΡΙΕΧΟΜΕΝΑ

Σελ.

ΠΕΡΙ ΤΗΝ ΑΡΕΙΑΝΙΚΗΝ ΕΡΙΝ

ΑΚΑΚΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

ΠΕΡΙ ΤΗΝ ΑΡΕΙΑΝΙΚΗΝ ΕΡΙΝ

ΑΣΤΕΡΙΟΥ ΣΟΦΙΣΤΟΥ

XX. ΨΑΛΜΟΣ ΙΑ' ΛΟΓΟΣ Α' *

[153] Εἰς τὸν ια' ψαλμόν. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[1].

1. Σῴζειν ποιμένες καὶ βουκόλοι ἐπαγγέλλονται τὰς ἀγέλας αὐτῶν ἐν ταῖς νομαῖς. Σῴζειν δὲ καὶ κυβερνῆται καὶ ναῦται τὰ σκάφη τῇ τέχνῃ ἐπιτηδεύουσι. Στρατηγοὶ δὲ καὶ ἀρχιστράτηγοι σῴζειν τὰ στρατόπεδα ἐν πολέμῳ σπεύδουσιν. Ἀλλὰ καὶ ἀμπελοφύλακες σῴζειν συντίθενται τοὺς τῆς ἀμπέλου καρπούς. Σῴζει δὲ καὶ αὐτοὺς καὶ τὰ ὑπ' αὐτῶν σῳζόμενα ὁ μόνος τοῦ κόσμου σωτήρ, ὁ λέγων· Οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον[2]· πρὸς ὃν ἄρτι ὁ προφήτης μετὰ τῆς ἐκκλησίας ἐβόα· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[3]. 2. Ἐὰν νόσῳ ἢ ἀρρωστίᾳ κρατηθῶ, σῶσόν με. Σὺ γὰρ καὶ τὸν Ἐζεκίαν ψυχορραγοῦντα ἔσωσας καὶ νόσῳ παλαίοντα νικητὴν τῆς νόσου ἐποίησας καὶ ὑπὸ θανάτου ἑλκόμενον εἰς ζωὴν ἀνθείλκυσας καὶ δεκαπέντε ἐνιαυτῶν προθεσμίαν ἐν τῇ ζωῇ ἔδωκας[4]. Καὶ διὰ τί δεκαπέντε ἔτη; Ὁ δεκαπέντε ἀριθμὸς ἀπὸ ἑβδομάδος καὶ ὀγδοάδος σύγκειται· ἡ μὲν ἑβδομὰς δηλοῖ τὴν τοῦ κόσμου κατάπαυσιν, ἡ δὲ ὀγδοὰς τὴν τούτου ἀνάστασιν. Διὰ οὖν τοῦτο δεκαπέντε ἔτη ζωῆς αὐτῷ προσέθηκεν, ἵνα μνημονεύων ἀεὶ καὶ ἐνθυμούμενος τὴν τοῦ γείτονος θανάτου ὡς ἐν ἑβδόμῃ κατάπαυσιν καὶ τὴν ὡς ἀπὸ θανάτου τῆς νόσου ἐν ὀγδόῃ ἀνάστασιν τὸν ὑπὲρ τῆς ὀγδόης ψαλμὸν ψάλλῃ εὐχαριστῶν τῷ θεῷ. 3. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[5] ἐπιγέγραπται ὁ προκείμενος ψαλμός. Ἀλλ' ὁ συνετὸς ἀκροατὴς ὀφείλει ζητεῖν διὰ **[154]** τί, εἰ ἐν τῇ τρίτῃ ἡμέρᾳ ὁ κύριος, καθὼς αὐτός, ἔλεγε· Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι καὶ ἀποκτανθῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι[6]—εἰ οὖν ἐν τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη ὁ κύριος, διὰ τί ἡ ὀγδόη ἀνάστασις λέγεται τοῦ κυρίου; Ἆρα οὐ δοκεῖ

* Συνεχίζεται καὶ ἐν τῷ παρόντι τόμῳ ἡ παράθεσις τῶν ἔργων τοῦ Ἀστερίου ἐπὶ τῇ βάσει τῆς κριτικῆς ἐκδόσεως τοῦ Marcel Richard (Asterii Sophistae, Commentariorum in Psalmos, quae supersunt, accedunt aliquod homiliae anonymae. Osloae MCMLVI). Οἱ ἐν ἀγκύλῃ παρατιθέμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς κριτικῆς ταύτης ἐκδόσεως.

1. στ. 2-3 α. 2. Ἰω. 12, 47. 3. στ. 2 α. 4. Πρβλ. Δ' Βασ. 20, 1-6. 5. στ. 1. 6. Μάρκ. 8, 31. Πρβλ. Λουκ. 9, 22.

ὑμῖν ἐπωφελὲς καὶ ἀναγκαῖον εἶναι τὸ ζήτημα; 4. Διὰ τί οὖν ἡ ἀνάστασις καὶ τρίτη καὶ ὀγδόη ὠνόμασται; Τρίτη μὲν εἴρηται ὡς ἀπὸ τοῦ πάθους καὶ τοῦ σταυροῦ, ὀγδόη δὲ ὡς ἀπὸ τῆς δημιουργίας καὶ τῆς ἀναστάσεως. Ἐπεὶ οὖν τῇ κυριακῇ ἀνέστη ὁ κύριος, ἐν δὲ τῇ κυριακῇ ἡ ἀρχὴ τοῦ φαινομένου κόσμου ἐγένετο, ἥτις ὑπάρχει τὸ φῶς, ἐν ᾗ τὸ αἰσθητὸν φῶς ἀπὸ σκότους ἔλαμψεν, ἐν αὐτῇ καὶ τὸ νοητὸν φῶς τὸ ἀληθινόν, ὁ Χριστός, ἐκ τάφου ἀνέτειλε, δι' ὃν καὶ ὡς ἀπὸ τάφου καὶ θανάτου ὁ κόσμος ἐγήγερται. Ἀπὸ κυριακῆς οὖν εἰς κυριακὴν ἡ ὀγδόη ἀπαντᾷ, καὶ ἔστι τρίτη καὶ ὀγδόη ἡ αὐτή· τρίτη ἀφ' οὗ ἔπαθεν, ὀγδόη ἀφ' ἧς ὁ κόσμος ἐγένετο. 5. Ἔστι καὶ ἄλλη αἰτία τῆς ὀγδόης καὶ τῆς τρίτης διά τι ἀνάστασις ἑκάστη ὠνόμασται. Ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ[1] καί ἐστιν ἡ κατάπαυσις τέλος καὶ συντέλεια ἔργων ἀπηρτισμένων. Τέλος δὲ καὶ κατάπαυσις λέγεται καὶ ἡ τοῦ κόσμου συντέλεια, ὅτε μέλλει παράγειν τὸ σχῆμα τοῦ κόσμου τούτου ὁ θεός[2]. Ἐπεὶ οὖν ἁμαρτιῶν ὁ βίος ἔγεμε καὶ ἠπειλεῖτο κόσμου συντέλεια, ὁ Χριστὸς δὲ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, εἰς ἀθέτησιν τῆς ἁμαρτίας ἦλθε καὶ ἔπαθε καὶ ἐτάφη καὶ ἀνέστη, ἐν τῇ κυριακῇ 6. ἐν ᾗ τὸν κόσμον ποιεῖν ἤρξατο, ἐν αὐτῇ ὁ κοσμοποιὸς ἀνέστη καὶ τὸν κόσμον ἀνέστησε, καὶ ἡ πρώτη ἐν δημιουργίᾳ ὀγδόη ἐν τῇ παλιγγενεσίᾳ γέγονε. Τῇ ἕκτῃ ἐπὶ ξύλου ἐσταύρωται, ἐπειδὴ ὁ ἐν τῇ ἕκτῃ γενόμενος ἄνθρωπος διὰ ξύλου παρέπεσε· διὰ ξύλου ὁ θάνατος, διὰ ξύλου ἡ ζωή. Τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων· τῇ ἑβδόμῃ ἐν τῷ τάφῳ τὸ σῶμα ἀνέπαυσε. Τελείαν γὰρ ἡμέραν ἐν τῷ τάφῳ **[155]** τὴν ἑβδόμην ἔμεινε. Τῇ ὀγδόῃ ἀνέστη καὶ τὸν κόσμον ἤγειρε, καὶ ἔστιν ἡ κυριακὴ καὶ τρίτη καὶ ὀγδόη· τρίτη μὲν διὰ τὴν τοῦ κυρίου ἀνάστασιν, ὀγδόη δὲ οὐ μόνον διὰ τὴν τοῦ κυρίου, ἀλλὰ καὶ διὰ τὴν τοῦ κόσμου ἔγερσιν. 7. Λοιπὸν ἄκουσον θαυμαστὸν μυστήριον. Διὰ τί ἑνδέκατος κεῖται ὁ ὑπὲρ τῆς ὀγδόης ψαλμός; Ἡ τρίτη καὶ ἡ ὀγδόη τῆς ἀναστάσεως συναπτόμεναι τὸν ἑνδέκατον ποιοῦσιν ἀριθμόν. Ἐν δὲ τῷ προκειμένῳ τῷ ἑνδεκάτῳ ψαλμῷ φέρεται ἡ τοῦ κυρίου ἀνάστασις· ἐν αὐτῷ γὰρ ἀναστῆναι ὁ δεσπότης ἐπηγγείλατο εἰπών· Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος[3]. Ἐπεὶ οὖν ἡ τρίτη καὶ ἡ ὀγδόη εἰκόνες ἀναστάσεως, ἡ δὲ τρίτη καὶ ἡ ὀγδόη ποιοῦσι τὸν ἑνδέκατον ἀριθμόν, διὰ τοῦτο ἑνδέκατος κεῖται ὁ τῆς ἀναστάσεως ψαλμός· Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυὶδ[4] ἑνδέκατος. Ἐὰν οὖν εἴπῃ ὁ Ἰουδαῖος· Διὰ τί ὀγδόην τὴν ἀνάστασιν καλεῖς; λέγε· Ἐπειδὴ ὁ σὸς προφήτης ἐδίδαξέ με ὑπὲρ τῆς ὀγδόης τὸν τῆς ἀναστάσεως ἐπιγράψαι ψαλμόν. 8. Ἔστι καὶ ἄλλη αἰτία τῆς ὀγδόης, ἣν ἀναγκαῖον εἰπεῖν, καὶ ἔχεις

1. Πρβλ. Γέν. 2, 2. 2. Πρβλ. Α' Κορ. 7, 31. 3. στ. 6. 4. στ. 1

ἀκοῦσαι θαυμαστὸν μυστήριον, ὅπερ ἄρτι πρώτως καὶ γλῶσσα προβάλλεται καὶ ἀκοὴ γεύεται. Ξένος τῆς τῶν καιρῶν καὶ τῶν χρόνων συνηθείας πέφηνεν ὁ τῆς ὀγδόης ἀριθμός. Εἰ γὰρ οἱ ἐνταῦθα αἰῶνες ἀριθμοῦνται ἀπὸ ἐνιαυτῶν καὶ ἐτῶν, οἱ δὲ ἐνιαυτοὶ κανονίζονται ἀπὸ δώδεκα μηνῶν, οἱ δὲ μῆνες οἰκοδομοῦνται ἀπὸ ἑβδομάδων, αἱ δὲ ἑβδομάδες ἐξαρτίζονται ἀπὸ ἑπτὰ ἡμερῶν, αἱ δὲ ἡμέραι συγκροτοῦνται ἀπὸ δώδεκα ὡρῶν, οἱ δὲ ἰωβηλαῖοι ἀπαρτίζονται ἀπὸ πεντήκοντα ἐνιαυτῶν, καὶ ἐν τοῖς τοσούτοις καὶ τοιούτοις τοῦ αἰῶνος ἀριθμοῖς, πεντηκοντάδες ἰωβηλαίων καὶ τριακοντάδες μηνῶν καὶ ἑβδομάδες ἡμερῶν καὶ δωδεκάδες ὡρῶν σκιρτῶσαι καὶ χορεύουσαι τοὺς αἰῶνας ὑφαίνουσι, καὶ ὀγδοάδες οὐδαμοῦ ἐν τούτοις ἐμφέρονται. Τί οὖν βούλεται τὰ νῦν ἐμφαίνειν ὁ ὑπὲρ τῆς ὀγδόης ψαλμός; Ὁρᾷς πῶς ξένος τούτων ὁ τῆς **[156]** ὀγδόης ἀριθμός. Ἐπειδὴ καὶ ξένον τὸ ἐν αὐτῇ μυστήριον, θεμέλιος ἀναστάσεως ἡ ὀγδόη εἴρηται, καὶ οὐ δεῖ τὸν θεμέλιον τοῦτον μεταθεῖναι πώποτε. 9. Λοιπὸν ἄκουσον θαυμαστὸν μυστήριον. Διὰ τί ἡ τοῦ κυρίου ἀνάστασις ὀγδόη ὠνόμασται; Ἑπτάκις νεκρῶν ἀνάστασιν εὕρομεν ἐν τῇ θείᾳ γραφῇ, καὶ μετὰ τοὺς ἑπτὰ ὄγδοος ἐκ νεκρῶν ἀνέστη ὁ κύριος, ὁ ἐγείρας τοὺς ἑπτά. Πρὸ τῆς τοῦ κυρίου ἐκ νεκρῶν ἀναστάσεως ἑπτὰ μόναι ἀναστάσεις τῶν νεκρῶν ἐγένοντο. 10. Πρόσεχε, παρακαλῶ, καὶ ἀρίθμησον ἑκάστην ἀνάστασιν. Πρώτη ἀπὸ νεκρῶν ἐν τῇ παλαιᾷ ἀνάστασις, ἡ τοῦ υἱοῦ τῆς χήρας ὃν Ἠλίας ἐν Σαράφθοις ἀνέστησε[1]. Δευτέρα ἀνάστασις ἡ τοῦ υἱοῦ τῆς Σουμανίτιδος ὃν ὁ μακάριος Ἐλισσαῖος ἤγειρε[2]. Τρίτη ἀνάστασις, ἡ τοῦ στρατιώτου ὃν ἐγγὺς Ἐλισσαίου ἔθαψαν· καὶ τῶν ὀστέων τοῦ προφήτου ὁ νεκρὸς ἀψάμενος ὡς ἀπὸ πυρὸς οὕτως ἐξεπήδησε[3]. Τετάρτη ἀνάστασις ἐν τῇ καινῇ, ἡ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου[4]. Πέμπτη ἀνάστασις, ἡ τοῦ υἱοῦ τῆς χήρας ὃς ἐφέρετο ἐπὶ τῆς σοροῦ[5]. Ἕκτη ἀνάστασις, ὁ τετραήμερος Λάζαρος[6]. Ἑβδόμη ἀνάστασις, ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἀνέστη[7]. Ὀγδόη ἀνάστασις, ἡ τοῦ κυρίου ἀνάστασις. 11. Ἐπεὶ οὖν ὑπὲρ ταύτης πάλαι οἱ προφῆται προεφήτευον, εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[8]. Καὶ διὰ τί ὑπὲρ ταύτης προσηύχοντο καὶ προεφήτευον; Ἐπειδὴ ᾔδεισαν ὅτι οὔτε ἡ πρώτη ἀνάστασις, οὔτε ἡ δευτέρα, ἢ πάλιν ἡ μετὰ τὴν ὀγδόην ἀνάστασις, ἥτις διὰ τῶν ἀποστόλων ἐγένετο, ἔστι κόσμου ἔγερσις, εἰ μὴ μόνον ἡ ὀγδόη τοῦ κυρίου ἀνάστασις, εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[9], ὅτε ὁ θάνατος ὡς ἐν ὀγδόῃ περιετέμνετο καὶ ἡ ἀθανασία ὡς ἐκ παλιγγενεσίας ἀνίστατο. Οἱ πρῶτοι νεκροὶ καὶ οἱ ἔσχατοι, οἱ πρὸ τῆς ὀγδόης καὶ οἱ μετὰ τὴν ὀγδόην, ἀνέστησαν, ἀλλὰ πάλιν ἀπέθανον. Ἐν τῇ ὀγδόῃ ὁ Χριστὸς ἀνέστη

---

1. Πρβλ. Γ' Βασ. 17, 17-23. 2. Πρβλ. Δ' Βασ. 4, 34-36. 3. Πρβλ. Δ' Βασ. 13, 21. 4. Πρβλ. Μάρκ. 5, 22 κ.ἑ. 5. Πρβλ. Λουκ. 7, 12-15. 6. Πρβλ. Ἰω. 11, 43 κ.ἑ. 7. Πρβλ. Ματθ. 27, 52. 8. στ. 1. 9. ἔνθ' ἀν.

καὶ οὐκέτι ἀπέθανε. Καὶ μάρτυς ὁ ἀπόστολος εἰπών· Ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει[1]. 12. Ἐπεὶ οὖν μόνη ἡ ἐν τῇ ὀγδόῃ ἀνάστασις τὴν ἀθανασίαν τῷ κόσμῳ ἤνθησεν, εἰκότως ὑπὲρ ταύτης ηὔχοντο· ὑπὲρ τῆς ὀγδόης. Ὦ ἀνάστασις θανάτου κατάλυσις· ὦ ἀνάστασις διαβόλου καθαίρεσις· ὦ ἀνάστασις οἰκουμένης ἔγερσις· ὦ ἀνάστασις δαιμόνων κατάπτωσις· ὦ ἀνάστασις ἀνθρώπων ἀνανέωσις· ὦ ἀνάστασις ἡ τοῦ διαβόλου καὶ τοῦ ᾅδου κένωσις· ὦ ἀνάστασις παραδείσου ἀποκατάστασις· ὦ ἀνάστασις ζωῆς αἰωνίου ἀπόλαυσις· ὦ ἀνάστασις αἰώνιος ἀνάπαυσις. 13. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[2]. Καὶ ποῖος ὅσιος ἐκλέλοιπεν; Ὁ μαθητὴς προδότης γενόμενος, ὅ ποτε ὅσιος καὶ αὖθις ἀνόσιος, ὁ ἀπόστολος καὶ φονεὺς ἀπότομος, ὁ γλωσσόκομον λαβὼν καὶ τὴν γλῶσσαν κατὰ τοῦ κυρίου κινῶν, ὁ τὰ χρήματα ἔχων καὶ τὸν θησαυρὸν πωλῶν, ὁ τριάκοντα ἀργύρια λαβὼν καὶ τὸν τριάκοντα ἔτη βαπτισθέντα ἐν Ἰορδάνῃ ἐπὶ τὸ βάπτισμα τοῦ θανάτου καλῶν. Ἐκλέλοιπεν ὅσιος, ὁ τὴν ζωὴν πωλήσας καὶ ἀγχόνην ἀγοράσας. Ἀλλ' ἐκλέλοιπεν ὅσιος[3], πρὸ τοῦ κρεμασθῆναι τὸν σωτῆρα ἐπὶ τοῦ σταυροῦ ἑαυτὸν κρεμάσας ἀπὸ τοῦ λαιμοῦ. Καὶ οὐδέπω ὁ δεσπότης ἐκρέματο καὶ ἤδη ὁ προδότης ἐβροχίζετο· λάκκον ὤρυξε καὶ πρῶτος ἐνέπεσεν[4]. Ἐκλέλοιπεν ὅσιος[5]. Τὸ ὡρολόγιον τῶν ἀποστόλων ἐκολόβωσε. Τὴν δωδεκάωρον ἡμέραν τῶν μαθητῶν ἑνδεκάωρον ἐποίησε. Τὸν ἐνιαυτὸν κυρίου παρὰ μῆνα ἔδειξεν, ὅθεν καὶ ἑνδέκατος ὁ ψαλμὸς ἐν ᾧ φέρεται ὁ τῶν ἕνδεκα κατὰ τοῦ δωδεκάτου ὀλολυγμός, δηλοῦντος τοῦ λόγου ὅτι καὶ οἱ ἕνδεκα μαθηταὶ τὸν δωδέκατον θρηνοῦντες ἔλεγον· Σῶσόν με, τῷ Χριστῷ. 15. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[6]. Ἀλλ' αἱ τρεῖς ὧραι τῶν ἀποστόλων ἐν νυκτὶ κατέχονται καὶ τρεῖς αἱ ἡμέραι νυκτεριναὶ γεγόνασιν. Ἡ πρώτη ὥρα, ὁ Πέτρος [158] ἀρνούμενος. Ἡ δευτέρα ὥρα, ὁ Ἰωάννης δραπέτης καὶ φυγὰς γενόμενος[7]. Ἡ τρίτη ὥρα, ὁ Θωμᾶς τῇ ἀπιστίᾳ σκοτιζόμενος· Ἐὰν μὴ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ[8]. Μετὰ τῶν τριῶν ὡρῶν καὶ ἄλλαι ὧραι τῶν ἀποστόλων τὴν ἡμέραν ἔφυγον καὶ τῇ νυκτὶ προσέφυγον· Τότε γὰρ πάντες οἱ μαθηταὶ ἀφέντες αὐτὸν ἔφυγον[9]. 16. Ἐπεὶ οὖν αἱ ἡμεριναὶ ὧραι νυκτεριναὶ ἐν τῷ πάθει γεγόνασιν, ὅτε καὶ αὐτὴ ἡ ἡμέρα τὴν εἰκόνα τῶν ἀποστόλων ἐν αὐτῇ γράφουσα εἰς σκότος μετεβάλλετο—Ἀπὸ γὰρ ἕκτης ὥρας σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης[10] διὰ ταῦτα ὁ χορὸς τῶν ἀπο-

---

1. Ρωμ. 6, 9. 2. στ. 2 α. 3. ἔνθ' ἀν. 4. Πρβλ. Παρμ. 26, 27. 5. στ. 2 α. 6. ἔνθ' ἀν. 7. Πρβλ. Μάρκ. 14, 52. 8. Ἰω. 20, 25. 9. Ματθ. 26, 56. 10. Ματθ. 27, 45.

στόλων, ἀποθανόντος Χριστοῦ καὶ ἐκλείποντος τοῦ μόνου ὁσίου ἐπὶ γῆς, ἐπειδὴ ἔμαθε λέγειν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς[1], ⟨ἐβόα⟩· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[2], ἀντὶ τοῦ ἐξέπνευσε. Τὸ γὰρ ἐκπνεῦσαι ἐκλιπεῖν λέγεται· Καὶ ἐκλιπὼν Ἰσαὰκ ἀπέθανεν. Ἐξάρας Ἰακὼβ τοὺς πόδας ἐπὶ τὴν κλίνην ἐξέλιπεν[3]. Ὅτι δὲ ἐξέπνευσεν ὁ κύριος· Κράξας, φησίν, ὁ Ἰησοῦς φωνῇ μεγάλῃ ἐξέπνευσεν[4]. Ὅτι δὲ καὶ ὅσιος· Οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν[5]· ὅσιος, ἄκακος, ἀμίαντος. 17. Ἐπεὶ οὖν ἐν τῷ πάθει ὁ κόσμος ὡς πλοῖον ἐχειμάζετο, ὅτε ἡ γῆ ὡς θάλασσα ἐταράττετο, ὅτε αἱ πέτραι ὡς κύματα ἐλογίζοντο, ὅτε τὸ σκότος ὡς γνόφος κατήρχετο, ὅτε ἐπὶ τὸν ἱστὸν τὸν σταυρὸν ὁ κυβερνήτης ἐκρέματο, ὅτε τὸ καταπέτασμα ὡς ἄρμενον περιεσχίζετο, τότε ὁ ἀποστολικὸς χορὸς τοῦ κυβερνήτου χηρεύσας καὶ χειμαζόμενος ἀνεβόα· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[6]. Οὗτος ἐν ἄλλοις τὸν ἐπὶ τοῦ σταυροῦ τῆς τοιαύτης θαλάσσης χειμῶνα ἐδήλου λέγων· Σῶσόν με, κύριε, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου[7]. 18. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[8]. Ὁ σήμερον φίλος αὔριον ἐχθρός· ὁ ἄρτι ἀδελφὸς τῇ ἑξῆς πολέμιος· ὁ νῦν με περιπτυσσόμε-
[159] νος μετὰ μικρὸν κατ' ἐμοῦ ὁπλιζόμενος. Σαοὺλ με τέκνον καλεῖ καὶ τὸν φόνον ἀπειλεῖ· υἱὸν λέγει καὶ τὸ ξίφος ἀκονᾷ. Ἐπεὶ οὖν οὐκ ἔστι χεῖρα ἐκτεῖναι καὶ ἐπιλαβέσθαι φίλου καὶ σωθῆναι, σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[9]. 19. Ὡς ἐν θαλάσσῃ τῷ βίῳ εἰμί. Μυρίαις πανταχόθεν περιαντλοῦμαι συμφοραῖς. Αἱ τρικυμίαι τῶν αἱρέσεων ἀπειλοῦσι ναυάγιον. Τὰ κενὰ ἀξιώματα ὡς κύματα ἄνω καὶ κάτω τοὺς ἀνθρώπους σφαιρίζουσιν· ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν προκόπτοντες καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων προσκόπτοντες. Οἱ πένητες ὑπὸ τῶν πλουσίων ὡς μικροὶ ἰχθύες ὑπὸ τῶν μεγάλων καταπίνονται, ὡς λέγειν τὸν προφήτην· Καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης καὶ ὡς ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον[10]. Ὡς ὑποκριταὶ. ὡς πειραταὶ φαίνονται οἱ ψευδάδελφοι· ὡς πέτραι ὕφαλοι ὕδατι καλύπτονται. Ὅ εἰσιν οὐ φαίνονται. Πάντες συνέστειλαν τὰ πλατέα τῆς ἀγάπης ἄρμενα. Πάντες τῷ ψεύδει λοιπὸν καὶ τῷ δόλωνι πλέουσιν. 20. Ἐπεὶ οὖν λιμὴν σωτηρίας παρὰ ἀνθρώποις οὐδαμοῦ, σῶσόν με, κύριε ὅτι ἐκλέλοιπεν ὅσιος[11]. Γαληνιῶντά με καὶ εἰρηνεύοντα ἐν τῷ βίῳ, σῶσόν με. Ὥσπερ γὰρ ὁ ἐν πελάγει γαληνιζόμενος καὶ ὁ ἐν γαλήνῃ εἰς πέλαγος ὤν, ἐὰν μὴ

---

1. Ματθ. 6, 9. 2. στ. 2 α. 3. Γέν. 35, 29 καὶ 49, 33. 4. Ματθ. 27, 50. 5. Ψαλμ. 15, 10. 6. στ. 2 α. 7. Ψαλμ. 68, 2. 8. στ. 2 α. 9. ἔνθ' ἀν. 10. Ἀββ. 1, 14. 11. στ. 2 α.

σχοίη, ἄνεμον ἐπιτήδειον, εἰς λιμένα οὐκ εἰσέρχεται, οὕτως ὁ ἐν γαλήνῃ καὶ ἀνέσει διάγων, ἐὰν μὴ τὴν ἄνωθεν αὔραν τῆς χάριτος δέξηται, εἰς τὸν ἄνω λιμένα οὐ παραγίνεται. Χειμαζόμενόν με καὶ κυματούμενον ὡς κυβερνήτης σῶσόν με. Ὥσπερ γὰρ τὸ σκάφος ἄνευ κυβερνήτου οὐ σῴζεται, οὕτως ἄνευ τῆς σῆς δεξιᾶς ἄνθρωπος οὐ φυλάττεται. 21. Εὐθυνοῦντα καὶ περιουσιαζόμενον, κύριε, σῶσόν με. Ὥσπερ γὰρ εὔσαρκοι ἄρνες καὶ εὐγάλακτοι ἄνευ κηδεμονίας ποιμένος λυκόβρωτοι γίνονται, οὕτως ὁ ἐν εὐθηνίᾳ ὢν ἄνευ τῆς σῆς προνοίας τάχιον προδίδοται. Λιμώττοντά με καὶ τῶν ἀναγκαίων λειπόμενον καὶ τὸ ζῆν σβεννύμενον, σῶσόν με. Ὥσπερ γὰρ τὸ πῦρ ἐκλεῖπον καὶ σβεννύμενον ἄνευ ὕλης οὐκ ἀναλάμπει, οὕτως ὁ **[160]** λιμῷ καὶ πενίᾳ δαμαζόμενος ἄνευ τῆς σῆς ἀναλήψεως ἀνανεῦσαι οὐ δύναται. Ὑγιαίνοντά με ψυχῇ καὶ σώματι, κύριε, σῶσόν με. Ὥσπερ γὰρ ἀγγεῖον ὁλόκληρον μὴ φυλαττόμενον ὑπὸ δεσπότου τάχιον συντρίβεται, οὕτως ὁ ὑγιαίνων, ἐὰν μὴ ὡς παιδίον ὑπὸ πατρὸς τοῦ θεοῦ κρατῆται, πίπτει καὶ διαφθείρεται...

XXI. ΨΑΛΜΟΣ ΙΑʹ ΛΟΓΟΣ Βʹ

Εἰς τὸν αὐτὸν ψαλμὸν ἄλλως.

1. Βαρεῖα μὲν καὶ καθ' ἑαυτὴν ἡ ὁδοιπορία τοῖς ὁδεύουσι· πολλῷ δὲ πλέον βαρυτέρα φαίνεται ὅταν ὁ ὁδοιπόρος κατὰ μόνας εὑρεθῇ, ὅταν μὴ ἔχῃ συνοδοιπόρον καὶ συνόμιλον τῇ λαλιᾷ τὸν κάματον κλέπτοντα. Ἐπεὶ οὖν ὁδὸς ὁ βίος καὶ ὁδοιπόρος ὁ προφήτης καὶ ἀπὸ γῆς εἰς οὐρανὸν ὥδευε καὶ ἀναβατὴν ὁδὸν ὁδεύων κατὰ μόνας ἔκαμνε, καθὼς αὐτὸς ἔλεγε· Κατὰ μόνας εἰμὶ ἐγὼ ἕως οὗ παρέλθω[1], συνοδοιπόρον καὶ ὁδηγὸν ἄνθρωπον ὅσιον οὐκ ἔχων, τὸ πλανηθῆναι καὶ ἀπολέσθαι φοβούμενος παρεκάλει· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[2]. 2. Ἐκλέλοιπεν ὁ σὺν ἐμοὶ ἐπὶ τὰ ἄνω ὁδεύων. Πάντες μοι τὴν ἐναντίαν ὁδεύουσι· πάντες ἐπὶ τὰ κάτω τρέχουσιν, ὅτι ἐκλέλοιπεν ὅσιος. Καὶ οὐκ εἶπεν ὅτι οὐ γέγονεν ὅσιος, ἀλλ' ὅτι ἐκλέλοιπεν ὅσιος· εἰ μὴ δὲ πρῶτον ἐγένετο, οὐκ ἂν εἶπεν ἐκλέλοιπεν, δεικνὺς ὅτι καὶ οἱ ὄντες ἀπώλοντο, ἐπειδὴ ἡ τῆς κακίας νόσος ἐπεκράτησεν. Ἐπεὶ οὖν πάντες μοι τὴν ἐναντίαν ὁδεύουσι, τῆς σωτηρίας καὶ συμμαχίας καὶ προνοίας δέομαι, σῶσόν με. 3. Ἀλλ' ἴδωμεν τὴν προγραφήν. Ὅπερ εἰσὶν ἐν ταῖς διαθήκαις αἱ σφραγῖδες, τοῦτο ἐν τοῖς ψαλμοῖς αἱ ἐπιγραφαί. Ὥσπερ οὖν οἱ τὰς διαθήκας ἀνοίγοντες πρῶτον τὰς σφραγῖδας λύουσι καὶ οὕτω τὸν χάρτην ἀναγινώσκουσιν, οὕτως οἱ τοὺς

---

1. Ψαλμ. 140, 10. 2. στ. 2 α.

ψαλμοὺς ἀναγινώσκοντες καὶ [161] ἑρμηνεύοντες πρῶτον τὰς ἐπιγραφὰς ἀναπτύσσουσι καὶ οὕτω τὰς ἐν αὐτοῖς γραφὰς ἀνιχνεύουσιν. Ἐπεὶ οὖν ὑπὲρ τῆς ὀγδόης[1] ἐπιγέγραπται ὁ προκείμενος ψαλμός, δεῦτε παρακαλέσωμεν τὸν ἐν τῇ ὀγδόῃ ἀναστάντα κύριον, ἵνα ἀναστήσῃ καὶ διεγείρῃ ἡμῶν τὴν διάνοιαν, τὴν ὡς ἐν τάφῳ καὶ χώματι κειμένην τῇ κατηφείᾳ καὶ τῇ στυγνότητι, ἵνα διαναστάντες καὶ διαγρηγορήσαντες ἴδωμεν τὰ τῆς ὀγδόης μυστήρια. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ[2]. Καὶ διὰ τί δεύτερον κεῖται ὁ ὑπὲρ τῆς ὀγδόης ψαλμός; Ἡ ὀγδόη τὴν ἀνάστασιν δηλοῖ· δεύτερον δὲ ἀνιστάμεθα, ἅπαξ διὰ βαπτίσματος ἀπὸ τῶν νεκρῶν ἔργων[3] καὶ ἅπαξ ἐν τῇ συντελείᾳ. Ὅθεν ὁ ἕκτος τὴν διὰ λουτροῦ ἀνάστασιν ἐδήλου· Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου[4]· ὁ δὲ ἑνδέκατος τὴν ἐκ νεκρῶν τοῦ κυρίου ἀνάστασιν· Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι[5]. Ἐγὼ λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου[6], ἐπειδὴ πολλὰ τὰ τοῦ νόμου βαπτίσματα. 5. Τί τὸ τέλος καὶ τίς ἡ ὀγδόη ἀναγκαῖον εἰπεῖν, ἥντινα αὐτὸς ὁ θεὸς ἐν τῇ βίβλῳ τοῦ νόμου μνημονεύεσθαι ἐθέσπισε. Τρεῖς ἑορτὰς κατ' ἐνιαυτὸν ἑορτάζειν διέταξε τῷ Ἰσραὴλ ὁ θεός[7]· τὴν ἑορτὴν τοῦ πάσχα καὶ τὴν ἑορτὴν τῆς πεντηκοστῆς καὶ τὴν ἑορτὴν τῆς σκηνοπηγίας. Ἑκάστην ἑορτὴν ἐπὶ ἑπτὰ ἡμέρας ἐπιτελεῖσθαι ἐκέλευσεν. Εἶτα, μετὰ τὴν ἑπταήμερον ἑορτήν, τὸ τέλος αὐτῶν ὀγδόην ὠνόμασε. Καλὸν γὰρ τὴν ἀληθεστάτην ἑρμηνείαν ζητεῖν καὶ ταύτην ὡς θεμέλιον οἰκοδομῆς προαποτίθεσθαι τῇ ψυχῇ. 6. Φέρε τοίνυν τοῦ προτεθέντος νοήματος μάρτυρα παραγάγωμεν Μωϋσέα τὸν φίλον καὶ συνόμιλον θεοῦ. Ὁ δὲ θεοῦ φίλος καὶ συνόμιλος ἀληθεύει καὶ οὐ ψεύδεται. Περὶ [162] τοῦ πάσχα· Ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα. Τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν[8]. Ἑπτὰ ἑβδομάδας ἀριθμήσεις σεαυτῷ, ἀρξαμένου σου δρέπανον ἐπ' ἀμητόν[9]. Περὶ τῆς πεντηκοστῆς ⟨...⟩ Ἐν τῷ ἑβδόμῳ, φησί, μηνὶ ἑορτάσατε τῷ κυρίῳ ἑορτὴν σκηνοπηγίας ἑπτὰ ἡμέρας. Καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας[10]. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ[11]. 7. Ἐπεὶ οὖν τὸ τέλος τῆς ἑπταημέρου ἑορτῆς ἐξόδιον ἐκαλεῖτο καὶ ἀλάτρευτος ἡμέρα, προεῖδε δὲ ὁ προφήτης ὅτι ὁ Ἰσραὴλ ἐν τῇ ἑορτῇ τοῦ

---

1. στ. 1 β. 2. στ. 1. 3. Πρβλ. Ἑβρ. 6, 1 καὶ 9, 14. 4. Ψαλμ. 6, 7. 5. στ. 6 αβ. 6. Ψαλμ. 6, 7. 7. Πρβλ. Ἔξ. 23, 14. 8. Ἔξ. 12, 15. 9. Δευτ. 16, 9. 10. Πρβλ. Λευϊτ. 23, 41-42. Ἀριθμ. 29, 12-13. 11. Ἀριθμ. 29, 35.

πάσχα σταυρώσει τὸν κύριον τῆς ἑορτῆς, ἐν δὲ τῇ τῆς πεντηκοστῆς ἑορτῇ ὑβρίσει τὴν τοῦ ἁγίου πνεύματος δωρεάν, τοὺς ἀποστόλους γλεύκους μεμεστωμένους ἀποκαλῶν[1], ἐν δὲ τῇ ἑορτῇ τῆς σκηνοπηγίας λιθάσαι ζητήσουσι τὸν Χριστόν[2], ⟨διὰ τοῦτο ἐβόα· Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης⟩[3]. Ἐπεὶ οὖν ἀναστήσονται οἱ δίκαιοι εἰς ζωὴν αἰώνιον, οἱ δὲ ἀσεβεῖς εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον[4], ὀγδόη δέ ἐστιν ἡ ἀνάστασις καθ' ἣν ἀνέστη ὁ κύριος, ὑπὲρ τῆς ὀγδόης παρακαλεῖ, ὑπὲρ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, ἵνα μετὰ τῶν ὁσίων ἀναστῇ καὶ μὴ μετὰ τῶν ἀνοσίων καὶ ἀσεβῶν. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[5]. Ὅτι δὲ ἀναστάσεως ἡ ὀγδόη ὧδε κεῖται· Νῦν ἀναστήσομαι, λέγει κύριος[6]. Διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης[7]. Ἄνδρες Νινευῖται κατακρινοῦσι τὴν γενεὰν ταύτην[8]. 8. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[9], ὀγδόην καλῶν ὁ ψαλμῳδὸς καὶ τὴν ἀποπλήρωσιν τοῦ χρέους τῶν θυσιῶν τῶν ἐν τῇ ἑπταημέρῳ ἑορτῇ καὶ τὴν ἔξοδον τὴν ἀπὸ τῶν σκηνῶν, ἥτις ἦν εἰς τὸ τέλος τοῦ βίου τῶν σωμάτων ἀπαλλαγή, ἀντὶ τοῦ· Ὦ θεοφιλέστατε ἄνθρωπε, σκηνοπηγία σοι ἔστω ἡ φαινομένη τοῦ κόσμου σκηνή, [163] ἡ παντὸς ἁπλώματος καὶ σινδόνος καὶ καταπετάσματος συστελλομένη ταχύτερον, ὅταν δὲ κελεύῃ ὁ θεός, ὁ πήξας τὸν οὐρανὸν ὡς καμάραν καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖν[10], πρὸς ὃν ὁ προφήτης ἔλεγεν· Ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται[11]. 9. Ἐπεὶ οὖν σκηνοπηγία ὁ κόσμος, ἑπτὰ ἡμέρας ἑώρταζε ἐν τῇ σκηνοπηγίᾳ. Ποίας ἑπτὰ ἡμέρας; Τὰς ἑπτά σου ἡλικίας, δι' ὧν ὁδεύεις εἰς τὸ ζῆν, ἵνα τὴν ὀγδόην ἡμέραν τὴν ἀλάτρευτον φθάσῃς ἐν τῇ βασιλείᾳ, ὅτε οὐκέτι θυσία ἢ λατρεία ὑπὲρ ἁμαρτιῶν προσφέρεται τῷ θεῷ[12]. Ἀλλὰ λέγεις· Τί οὖν, ἐὰν μὴ φθάσω τὴν ἑβδόμην τοῦ γήρους; Ἀλλὰ κτῆσαι τὸ μαθεῖν καὶ ποιεῖν, καὶ τῆς προθέσεως λαμβάνεις μισθὸν τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσι[13]. 10. Τὴν πρώτην ἡμέραν τὴν τοῦ βρέφους, ἵνα εὐθὺς φωτισθῇς τῷ βαπτίσματι. Καὶ γὰρ τὸ φῶς τῇ πρώτῃ ἐγένετο. Τὴν δευτέραν ἡμέραν τὴν τοῦ παιδίου ἡλικίαν, ἵνα στερεωθῇς τοῖς οὐρανίοις λόγοις. Καὶ γὰρ τὸ στερέωμα τῇ δευτέρᾳ γέγονε. Τὴν τρίτην τὴν τοῦ μείρακος, ἵνα τῇ ἁγνείᾳ ξηράνῃς τὴν ὑγρότητα τῶν παθῶν. Καὶ γὰρ τῇ τρίτῃ ὁ θεὸς

---

1. Πρβλ. Πράξ. 2, 13. 2. Πρβλ. Ἰω. 10, 31. 3. στ. 1. 4. Πρβλ. Δαν. 12, 2. 5. στ. 1. 2 α. 6. στ. 6 β. 7. στ. 8 β. 8. Πρβλ. Ματθ. 12, 41. Λουκ. 11, 32. 9. στ. 1. 10. Πρβλ. Ἡσ. 40, 22. 11. Ψαλμ. 101, 26-27. 12. Πρβλ. Ἑβρ. 10, 26. 13. Ρωμ. 8, 28.

τὴν ξηρὰν ἀπὸ τῆς ὑγρᾶς διέκρινε. Τὴν τετάρτην τοῦ νεανίσκου· τὰς τέσσαρας ἀρετὰς ἀστροφορῶν καὶ ὡς φωστὴρ ἐν κόσμῳ φαινόμενος. Καὶ γὰρ οἱ φωστῆρες τῇ τετάρτῃ γεγόνασι. Τὴν πέμπτην ἡλικίαν τὴν τοῦ μεσήλικος τὰ πέντε σου ζῷα τῶν αἰσθήσεων χαλιναγωγῶν, ἵνα μὴ εἰς ἁμαρτίαν σκιρτήσωσι. Καὶ γὰρ τὰ ζῷα τῇ πέμπτῃ ἐγένοντο. Τὴν ἕκτην τὴν τοῦ πρεσβύτου· τὴν ἐξ ἀρχῆς σου κίνησιν λόγῳ ὡς ἄνθρωπος ἀσφαλιζόμενος καὶ τὸν χοῦν καὶ τὸν πηλὸν τοῦ σώματος πλάττων καὶ ρυθμίζων ταῖς ἀρεταῖς. Καὶ γὰρ τῇ ἕκτῃ ὁ ἄνθρωπος γέγονε. Τὴν ἑβδόμην τὴν τοῦ γέροντος πεπολιωμένην πολιτείᾳ καὶ εὐσεβείᾳ· [164] ἀναπαύων ἐν τῇ γῇ ὅτε ὡς λευκοφόρος ἄσταχυς καὶ ὡς σιτος ὥριμος ἀπελεύσῃ ἐν τῷ τάφῳ, κατὰ καιρὸν συγκομιζόμενος καὶ ὡς ἐν ἑβδόμῃ ἀναπαυόμενος. Καὶ γὰρ τῇ ἑβδόμῃ καὶ ὁ πατὴρ τῶν ἔργων ἐπαύσατο, καὶ ὁ υἱὸς ἀπὸ τῶν ἔργων αὐτοῦ τῶν εὐαγγελικῶν κατέπαυσεν ἐν τῷ τάφῳ. Τὴν ὀγδόην λοιπὸν περίμενε, τὴν ἀπὸ τῆς σκηνῆς ἔξοδον καὶ τὴν ἀπὸ τοῦ τάφου ἀναχώρησιν καὶ τὴν ἐκ νεκρῶν ἔγερσιν. Καὶ γὰρ τῇ ὀγδόῃ ἐκ νεκρῶν ἀνέστη ὁ κύριος. 11. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[1]. Τῇ ὀγδόῃ, φησίν, ἡμέρᾳ ἐξόδιον· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ[2]. Καὶ διὰ τί ἐν τῇ ὀγδόῃ λατρείας καὶ θυσίας προσφέρειν ἐκώλυσεν; Ἐπειδὴ ἡ ὀγδόη τὴν ἀνάστασιν τῶν νεκρῶν ἐσάλπιζεν, ἐν δὲ τῇ ἀναστάσει τῶν νεκρῶν οὐκέτι λοιπὸν θυσίαι, οὐκέτι λατρεῖαι, οὐκέτι προσφοραὶ ὑπὲρ ἁμαρτιῶν ἀφέσεως, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι[3]; Διὰ τοῦτο τὰς ἑπτὰ ἡμέρας τῆς σκηνοπηγίας θυσίας προσφέρειν ἐκέλευσεν, ἵνα, ἐν ᾧ ζῇς καὶ διάγῃς, ὡς ἐν σκηνῇ τῇ σαρκὶ θυσίας προσφέρῃς θεῷ κατὰ τὸ γεγραμμένον· Τέκνον, ὡς ζῇς, ἀξίως πρόσφερε προσφορὰς κυρίῳ τῷ θεῷ σου· μνήσθητι ὅτι ὁ θάνατος οὐ χρονιεῖ καὶ διαθήκη ᾅδου οὐχ ὑπεδείχθη σοι[4]. Ἐν γὰρ τῇ ὀγδόῃ λοιπόν, ἐν τῇ ἀναστάσει τῶν νεκρῶν, ὅτε ἡ ἔξοδος τῆς σκηνῆς, ὅτε ὡς ἀπὸ καλύβης καὶ σκηνῆς τῆς σοροῦ καὶ τοῦ τάφου ἐξερχόμεθα, οὐκέτι λοιπὸν περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, καθὼς εἶπεν ὁ ἀπόστολος, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς βάσανος κατεσθίειν μέλλοντος τοὺς ἁμαρτήσαντας[5], ὅτε ἐξελεύσονται οἱ τὰ [165] ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως[6]. 12. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[7]. Θέλεις ἰδεῖν συντόμως καὶ καθ' ἕτερον τρόπον διὰ τί ὀγδόη λέγεται ἡ τοῦ κυρίου ἀνάστασις; Πρόσεχε·

1. στ. 1. 2. Ἀριθμ. 29, 35. 3. Ψαλμ. 6, 6. 4. Σοφ. Σειρ.14, 11-12.
5. Ἑβρ. 10, 26-27. 6. Ἰω. 5, 29. 7. στ. 1.

βλέπε τὴν ἑβδομάδα τῶν ἡμερῶν ἐν αἷς ὁ κόσμος ἐγένετο ἀναφερομένην εἰς Χριστόν. Πρώτη Χριστοῦ ἡμέρα, ἡ προαιώνιος αὐτοῦ γέννησις· Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με[1] οὐχ ὅτι ἡμέρα τις ἦν πρὸ τῆς τοῦ Χριστοῦ γεννήσεως, ἀλλ' ὅτι αὕτη ἡ τοῦ Χριστοῦ πρὸ αἰώνων γέννησις ἡμέρα ἐλέγετο, καθὼς αὐτὸς λέγει Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου[2]. Δευτέρα Χριστοῦ ἡμέρα, ἡ δευτέρα αὐτοῦ κατὰ σάρκα ἐκ παρθένου γέννησις· Ἐγὼ σήμερον γεγέννηκά σε[3]. Καὶ ὁ ἀπόστολος· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας[4], χθὲς πρὸ αἰώνων καὶ σήμερον ἐν σαρκί. Τρίτη Χριστοῦ ἡμέρα, ἡ διὰ τῶν θαυμάτων αὐτοῦ φανέρωσις· Καὶ τῇ τρίτῃ ἡμέρᾳ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας[5], ὅπου τὸ ὕδωρ οἶνον ἐποίησε. Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν θαυμάτων ὁ Ἰησοῦς καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ[6]. Τετάρτη, ἡ καὶ εἰς τοὺς νεκροὺς θεϊκὴ αὐτοῦ δύναμις, ὅτε ἐν τῇ τετάρτῃ ἡμέρᾳ, ἐν τῷ ἡμίσει τῆς ὀγδοάδος καὶ τῆς ἀναστάσεως, τὸν τεταρταῖον Λάζαρον ἐκ τοῦ τάφου ἀνέστησεν, ἵνα ἐν τῷ τετραημέρῳ δείξῃ ὅτι καὶ ὁ τετραπέρατος κόσμος ἐκ νεκρῶν δι' αὐτοῦ ἀναστήσεται. Πέμπτη ἡμέρα, ἡ τῶν ζωοποιῶν αὐτοῦ μυστηρίων ἐν τῇ πέμπτῃ παράδοσις· καὶ ὁ τὰ ζῷα ἐν τῇ πέμπτῃ δημιουργήσας, αὐτὸς τὰ ζωοποιὰ μυστήρια τοῦ ἄρτου καὶ τοῦ αἵματος ἐν τῇ πέμπτῃ ἐτέλεσε. Καὶ ὅτι ταῦτα ζωοποιὰ μυστήρια, αὐτὸς λέγει ὁ Χριστός· Ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ζήσεται εἰς τὸν αἰῶνα[7]. Τῇ ἕκτῃ, ὁ τοῦ Χριστοῦ σταυρὸς διὰ τὸν ἄνθρωπον. **[166]** Διὰ τοῦτο γὰρ ἐν τῇ ἕκτῃ ἐσταύρωται ἡμέρᾳ, ἵνα πάντες μάθωμεν ὅτι ὁ ἐν τῇ ἕκτῃ δημιουργήσας τὸν ἄνθρωπον, αὐτὸς ἐκεῖνος ἐν τῇ ἕκτῃ ἐσταυρώθη διὰ τὸν ἄνθρωπον. Καὶ οὐ μόνον ἡμέρᾳ ἕκτῃ, ἀλλὰ καὶ ὥραν ἕκτην ἐπὶ τὸ ξύλον ἐκρέματο, ἐπειδὴ ἀρχὴ ἁμαρτίας ὥρᾳ ἕκτῃ ἀπὸ τοῦ ξύλου γέγονεν, ὅτε Ἀδὰμ τὸν θάνατον ἠρίστησεν, εἶτα ἐπειδὴ ἐν τῇ ἕκτῃ ἡμέρᾳ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ τῶν εὐαγγελικῶν θαυμάτων, ὅτε καὶ τὸ ὄξος ἔπιε καὶ εἶπε· Τετέλεσται[8]. Ἐν τῇ ἑβδόμῃ ἐν τάφῳ κατέπαυσεν. Ἐν τῇ ὀγδόῃ ἐκ νεκρῶν ἐγήγερται. 13. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[9], ὅτε τὸ τέλος τοῦ κόσμου ἀρχὴ κόσμου ἐγένετο καὶ ὡς ἐν ὀγδόῃ ὁ θάνατος περιετέμνετο. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[10], ὅτε καὶ ἐν τῇ δευτέρᾳ ὀγδόῃ Θωμᾷ ἐνεφανίζετο καὶ τὴν ἀπιστίαν αὐτοῦ πίστει περιέτεμεν. Ὁ γὰρ λέγων· Ἐὰν μὴ βάλω τὴν χεῖρά μου εἰς τὴν

---

1. Παρμ. 8, 23. 25. 2. Ἰω. 8, 12. 3. Ψαλμ. 2, 7. 4. Ἑβρ. 13, 8. 5. Ἰω. 2, 1. 6. Ἰω. 2, 11. 7. Πρβλ. Ἰω. 6, 54. 51. 8. Πρβλ. Ἰω. 19, 30. 9. στ. 1. 10. ἐνθ' ἀν.

πλευρὰν αὐτοῦ[1], τῇ ὄψει μόνῃ Χριστοῦ ὡς μαχαίρᾳ ἐχρήσατο καὶ τὴν ἀπιστίαν περιέτεμε καὶ πιστεύσας αὐτῷ ἔλεγεν· Ὁ κύριός μου καὶ ὁ θεός μου[2]. 14. Μεθ' ἡμέρας ὀκτὼ τῆς ἀναστάσεως ἔρχεται ὁ Ἰησοῦς πρὸς τοὺς μαθητὰς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· Εἰρήνη ὑμῖν· Ὁ γὰρ πολέμιος θάνατος θανάτῳ τεθανάτωται. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὴν χεῖρά σου εἰς τὴν πλευράν μου[3], οὐχ ἵνα λόγχῃ τὴν πλευρὰν ὡς ὁ στρατιώτης νύξῃς, ἀλλ' ⟨ἵνα⟩ τὸ ἀπὸ τῆς πλευρᾶς αἷμα καὶ ὕδωρ ἐν διανοίᾳ λάβῃς, καὶ μάθῃς διὰ τί ἐξῆλθε τὸ αἷμα καὶ τὸ ὕδωρ, οἱ δύο μάρτυρες τῶν κυριοκτόνων· τὸ αἷμα, ἵνα Ἰουδαίους ἐλέγξῃ εἰπόντας· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν[4]· τὸ ὕδωρ, ἵνα τοῦ Πιλάτου κατηγορήσῃ, ὅτι λαβὼν ὕδωρ καὶ νιψάμενος[5], ὡς ἀθῷος τὸν ἀθῷον καὶ δίκαιον **[167]** ἐφραγκέλλωσε καὶ ἐσταύρωσε. Φέρε τὸν δάκτυλόν σου, Θωμᾶ, καὶ φέρε τὴν χεῖρά σου[6], πρῶτον τὸν δάκτυλον καὶ οὕτω τὴν χεῖρα. Πρῶτον γεῦσαι ὅτι χρηστὸς ὁ κύριος[7], ὃς ἀπιστήσαντά σε οὐκ ἐκονδύλισε, καὶ οὕτω δέξαι τὸν ἄρτον τῆς ζωῆς. Εἶτα ὁ Θωμᾶς οὐδέπω ἐγεύσατο καὶ ἤδη τὴν ὁμολογίαν ἠρεύξατο· καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ κύριός μου καὶ ὁ θεός μου[8]. 15. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. Ψαλμὸς τῷ Δαυὶδ[9] εἴρηται, ὅτι τὴν προφητείαν τῶν ἐσομένων ἀγαθῶν ὡς ἤδη πραχθεῖσαν καὶ ἐπιτελεσθεῖσαν ἔβλεπεν—Διεμερίσαντο τὰ ἱμάτιά μου. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου[10]—καὶ τὰ πάθη τοῦ Χριστοῦ ὡς ἤδη γενόμενα ἔψαλλε. 16. Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[11]. Καὶ διὰ τί τὸν ὑπὲρ τῆς ὀγδόης ψάλλων τὴν ἔκλειψιν τῶν ὁσίων ὠλοφύρετο; Ἀλλὰ καὶ σφόδρα καλῶς· ἐπειδὴ γὰρ ἡ ὀγδόη καὶ ἡ τῶν νεκρῶν ἔγερσις βοᾷ τὴν τοῦ κόσμου συντέλειαν, τότε δὲ γίνεται ἡ κόσμου συντέλεια ὅτε οἱ ὅσιοι καὶ οἱ εὐσεβεῖς ἐκλείψουσι. Καὶ τούτου μάρτυς ὁ Χριστὸς εἰπών· Ἆρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς[12]; Καὶ ὁ ἀπόστολος· Ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον[13], ὅτε ἀποστήσονται τῆς πίστεως προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων. 17. Ἵνα οὖν, ὅτε γίνεται ἐκεῖνο τὸ οἰκουμενικὸν ναυάγιον, ὅτε ἐν κύματι ἀσεβείας ὁ βίος βυθίζεται, ἵνα ὁ τότε εὑρισκόμενος Χριστιανὸς μὴ συναπόληται μετὰ τῶν ἀσεβῶν,

---

1. Ἰω. 20, 25. 2. Ἰω. 20, 28. 3. Ἰω. 20, 26-27. 4. Ματθ. 27, 25. 5. Πρβλ. Ματθ. 27, 24. 6. Ἰω. 20, 27. 7. Ψαλμ. 33, 9. 8. Ἰω. 20, 28. 9. στ. 2 α. 1 β. 10. Ψαλμ. 21, 19. 17. 11. στ. 2 α. 12. Λουκ. 18, 8. 13. Β' Θεσ. 2, 3.

δέδωκεν αὐτῷ ὁ Δαυὶδ ὡς χειμαζομένῳ πλοίῳ σωτήριον ἄγκυραν τὸν ψαλμόν, ἵνα ὡς κυβερνήτης ἄνω βλέπων ἀναβοᾷ· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[1]. Καὶ ἵνα σαφέστερον διδάξῃ ὅτι τότε ἐκλείπει ὅσιος ὅτε τὰ ἀληθινὰ δόγματα τῆς θεογνωσίας εἰς ὀλίγους περιλιμπάνονται, ἐπήγαγεν· Ὅτι ὠλιγώθησαν αἱ **[168]** ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων[2]. 18. Ὥσπερ γάρ, ὅτε ὁ ἀριθμὸς τῶν πιστευόντων ἐπληθύνετο, τότε ὁ λόγος τοῦ κυρίου αὐξάνειν ἐλέγετο, οὕτως ἔμπαλιν, ἐκλιπόντων ὁσίων καὶ εὐσεβῶν, ὀλιγοῦνται τὰ τῆς ἀληθείας δόγματα, οὐκ αὐτὰ μείωσιν ἢ τηκεδόνα ὑπομένοντα, ἀλλὰ τοὺς τὴν ἀλήθειαν ἀρνουμένους ἀποφεύγοντα. Ὡς γὰρ ἐρωτηθεὶς ὁ Δαυὶδ καὶ διὰ τί ἐκλέλοιπεν ὅσιος, ἀποκρίνεται· Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων[3]. 19. Ὥσπερ γὰρ τότε ἀθυμεῖ καὶ στενάζει ἰατρὸς ὅτε ἴδῃ ὅτι αἱ δυνάμεις τοῦ πυρέττοντος ὠλιγώθησαν, ὅτι οἱ τόνοι τῆς φύσεως ἐδαπανήθησαν, οὕτως ἐκλείπει τῇ λύπῃ ὁ ὅσιος ὁρῶν ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων[4], ὅτι εἰς μακρονοσίαν ὁ κόσμος ἐξέπεσεν, ὅτι αἱ δυνάμεις τῶν θεοπνεύστων γραφῶν ἐν αὐτοῖς ἠλαττόνησαν, ὅτι ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέφουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐξετράπησαν. Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων[5]. Καὶ ὥσπερ κυβερνητῶν ἀπώλεια τῶν πλοίων ναυάγια, καὶ ποιμένων ἀπουσία προβάτων ὄλεθρος, καὶ γεωργῶν ἀμέλεια χωρίων ἀφανισμός, οὕτω καὶ τῶν ὁσίων ἡ ἔκλειψις τοῦ κόσμου κατάλυσις. 20. Ὁσιότης δέ ἐστιν ἡ πρὸς τὸν θεὸν καθοσίωσις, καὶ ἐκεῖνος ὅσιος ὁ ἑαυτὸν διὰ πίστεως καθοσιώσας καὶ ἀφιερώσας τῷ θεῷ. Ὅθεν περὶ τοῦ θεὸν καταλιμπάνοντος καὶ ἀρνουμένου τὸ πρὸς θεὸν σέβας ἔλεγεν ὁ Μωϋσῆς· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Ὅσιά μοι γένοιτο[6] ἐν τῷ ἀποστῆναι ἀπὸ κυρίου. Ὥσπερ οὖν ὁ τοῦ θεοῦ ἀποστάτης ἀνόσιος λέγεται, οὕτως ὁ τῷ θεῷ διὰ πίστεως οἰκειωθεὶς ὅσιος. 21. Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι[7], ὡς ἐν καιρῷ ἀφορίας οἱ καρποί. Ὥσπερ δὲ εἷς ὁ Χριστὸς καὶ πολλοὶ οἱ Χριστοί — Μὴ ἅπτεσθε τῶν **[169]** χριστῶν μου[8] — καὶ μία δικαιοσύνη καὶ πολλαὶ αἱ δικαιοσύναι — Δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν[9] — οὕτω καὶ μιᾶς οὔσης τῆς ἐνυποστάτου ἀληθείας, πολλαὶ λέγονται ἀλήθειαι καὶ τὰ τῆς ἀληθείας δόγματα καὶ τὰ τῆς ὀρθῆς πολιτείας ποικίλα θεσπίσματα. 22. Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἐπειδὴ μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[10]. Γέγραπται ὡς ἐν τῷ Ζαχαρίᾳ

---

1. στ. 2 α. 2. στ. 2 β. 3. ἔνθ' ἀν. 4. ἔνθ' ἀν. 5. ἔνθ' ἀν. 6. Πρβλ. Δευτ. 29, 18. 7. στ. 2 β. 8. Α' Παραλ. 16, 22. 9. Ψαλμ. 10, 7. 10. στ. 2 β. 3 α.

καὶ ἐν τῷ ἀποστόλῳ· Λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[1] ἀληθῶς. Ὁ δὲ τοῦτο μὴ ποιῶν καὶ τὸν προφήτην ὕβρισε καὶ τὸν ἀπόστολον ἐλύπησε καὶ τὸν θεὸν ἠθέτησε τὸν λαλοῦντα δι' αὐτῶν· Ὁ γὰρ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ[2]. Λαλεῖτε ἀλήθειαν μετὰ τοῦ πλησίον[3]. 23. Ἀλλ' ἐὰν τῷ πλησίον μάτην ἐχθραίνῃς καὶ οὐ λαλῇς αὐτῷ, πῶς αὐτῷ λαλήσεις τὴν ἀλήθειαν, ὁ μήτε ὅλως αὐτῷ λαλῶν; Ἓν γὰρ τῶν δύο· ἢ οὐ λαλεῖς αὐτῷ ἢ τότε αὐτῷ λαλεῖς ὅταν αὐτὸν ὑβρίζῃς, ὅταν συκοφαντῇς, ὅταν εἰς πρόσωπον δέρῃς. Ἔσω ὡς ἀδελφὸς τὴν σάρκα Χριστοῦ μετ' αὐτοῦ ἐσθίεις καὶ ἔξω ὡς θηρίον τῶν σαρκῶν αὐτοῦ ἐπιθυμεῖς· ἔσω ὡς ἀπόστολος συνδειπνεῖς καὶ ἔξω ὡς προδότης πολεμεῖς. Καὶ ὁ μὲν Ἰούδας οὐχ ὑβρίζων, ἀλλὰ καταφιλῶν ἐπώλει· σὺ δὲ καὶ ὑβρίζεις καὶ συκοφαντεῖς καὶ παντοίας ῥάπτεις ἐπιβουλάς, καὶ ὀργῆς δοῦλος γινόμενος καὶ θυμῷ καπνιζόμενος ἐκεῖνα λέγεις τῷ πλησίον ἅπερ ξένα ἐστὶ τοῦ Χριστοῦ καὶ φίλα τοῦ διαβόλου. 24. Ὁ Χριστὸς εἶπεν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· σὺ δὲ καὶ τὸν ἀδελφὸν μισεῖς. Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς[4]· σὺ δὲ καὶ τὸν φιλοῦντα κακοποιεῖς. Ἆρα, ὅταν ἴδῃς ὅτι ὁ ἀδελφὸς τὸν ἀδελφὸν καὶ ὁ κοινωνικὸς τὸν κοινωνικὸν φονέα καὶ γόητα καὶ δαιμονιῶντα καλεῖ καὶ ὅρκοις καὶ ἐπιορκίαις τὰς συκοφαντίας βεβαιοῖ καὶ ἀπειλεῖ λίαν ἀναλῶσαι τὸν πλησίον ὡς ἐχθρὸν καὶ **[170]** ἄλλος Κάϊν γενέσθαι τῷ Ἄβελ ἐπείγεται, πόσων θρήνων καὶ ὀδυρμῶν ὁρᾷς τὸν τοιοῦτον ἄξιον; Ὅτι σῶμα ὄντες Χριστοῦ ἑαυτοὺς κατατέμνουσιν· ὅτι τὸ αὐτὸ ὑπὲρ ἀλλήλων οὐ μεριμνῶσι τὰ μέλη, ἀλλὰ καθ' ἑαυτῶν ὁπλίζονται. 25. Καὶ λέοντες μὲν λέοντας οὐ κατεσθίουσι καὶ παρδάλεις κατὰ παρδάλεων οὐχ ὁπλίζονται. Ἀδελφὸς δὲ ἀδελφῷ ὡς θηρίον ἀρνίῳ ἐφάλλεται. Ἄρκος τῇ ἄρκῳ οὐκ ἐπιβουλεύει, καὶ ὁ Ἡσαῦ τὸν Ἰακὼβ ἀποκτεῖναι ἠπείλει· Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου[5]. Κεράστης κεράστῃ οὐ λυμαίνεται, καὶ οἱ ἀδελφοὶ κατὰ τοῦ Ἰωσὴφ ὁπλίζονται· Ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται· δεῦτε ἀποκτείνωμεν αὐτόν[6], καὶ τὰ ἑξῆς. Ἀλλὰ μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[7]. Ὃν γὰρ ἀποκτεῖναι διὰ βασκανίαν ἠθέλησαν, τοῦτον διὰ λιμὸν προσεκύνησαν ὡς οὐ προσεδόκησαν. 26. Καὶ διὰ τί ἐκλέλοιπεν ὅσιος; Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἐπειδὴ μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[8] λέγων· Ἄρτι οὐδὲν ὠφελοῦνται οἱ ἀληθεύοντες νῦν οἱ ψευδόμενοι τὰ μεγάλα δύνανται. Εἰ μὴ δὲ μάταια ἐλάλησεν

---

1. Ζαχ. 8, 16. Πρβλ. Ἐφ. 4, 25. 2. Λουκ. 10, 16. 3. Ἐφ. 4, 25. 4. Λουκ. 6, 27. 5. Γέν. 27, 41. 6. Γέν. 37, 19-20. 7. στ. 3 α. 8. στ. 2-3 α.

ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, οὐκ ἂν ὠλιγώθησαν αἱ ἀλήθειαι, οὐκ ἂν ἐκλέλοιπεν ὅσιος[1]. 27. Ὅσιος δέ ἐστιν ὁ εὐσεβὴς καὶ τὰ πρέποντα καὶ ὡς δεῖ θεῷ προσφέρων ὡς Ἄβελ, ἀλλ' οὐκ ὀνειδίζων ὡς Κάϊν. Οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται[2], ὥστε ἔστι καὶ ἀνοσίως ποιεῖν τὰ ὅσια. Οἴμοι ψυχή, ἔλεγεν ἄλλος, ὅτι ἀπόλωλεν εὐσεβὴς ἀπὸ τῆς γῆς[3]. Τί λέγεις, Δαυίδ; Ἐκλέλοιπεν ὅσιος[4], καὶ πῶς ὁ κόσμος συνέστηκεν; Οἱ κίονες ἔπεσον, καὶ πῶς ἡ οἰκία οὐ κατέπεσεν; Αἱ λαμπάδες ἐσβέσθησαν, καὶ πῶς ἡ σκοτία φωτίζεται; Οἱ ἰατροὶ ἀπέθανον, καὶ πῶς ἰαθῶσιν οἱ ἄρρωστοι; Μετὰ **[171]** σοῦ Σαμουὴλ καὶ Νάθαν καὶ Γὰδ καὶ Ἀσὰφ καὶ Αἱμὰν καὶ Ἰδιθοὺμ καὶ οἱ χοροὶ τῶν ἱερέων καὶ τῶν προφητῶν, καὶ πῶς ἐκλέλοιπεν ὅσιος[5]; 28. Ἀλλὰ ἀποκρίνεται· Οὐ περὶ τῶν ἄρτι μοι ὁ λόγος, ἀλλὰ περὶ τῶν ἐν τῇ συντελείᾳ· διὸ καὶ εἰς τὸ τέλος[6] τὸν ψαλμὸν ἐπέγραψα. Ὡς γὰρ ἐρωτηθεὶς πότε ἐκλέλοιπεν ὅσιος, ἀποκρίνεται· Εἰς τὸ τέλος[7], ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων[8]. Ἐν γὰρ τοῖς υἱοῖς τοῦ θεοῦ οὐκ ὠλιγώθησαν—Καὶ υἱοὶ ὑψίστου πάντες[9]—ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, υἱοὶ οἷς οὐκ ἔστιν ἐν αὐτοῖς πίστις[10]· Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι[11]; 29. Ὠλιγώθησαν αἱ ἀλήθειαι[12]. Ἐν συναλλαγαῖς διὰ ὀβολὸν ψεύδονται. Ἐν συνθήκαις, ἐν κοινωνίαις, ἐν δικαστηρίοις, οὐ φυλάττουσι τὸ ναί, ναί, τὸ οὔ, οὔ. Τὸ ναὶ οὐ ἐγένετο καὶ τὸ οὐ ναί, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι[13]. Καὶ διὰ τί οὐκ εἶπεν ἡ ἀλήθεια, ἀλλ' αἱ ἀλήθειαι; Τὸ μὲν διὰ τὰς διαφόρους συνθήκας, τὰς ἄνευ ὅρκων ⟨καὶ τὰς μεθ' ὅρκων⟩, τὰς ἀγράφους καὶ τὰς ἐγγράφους, καὶ τὰς ἀμαρτύρους καὶ τὰς ἐπὶ μαρτύρων· ἢ καὶ διὰ τὰς πολλὰς αἱρέσεις τὰς κακοδόξους καὶ διαφόρως ψευδομένας. Πολλαὶ αἱ ἀλήθειαι, ἵνα ἑκάστη ὡς βέλος πρὸς μίαν ἑκάστην πεμφθῇ· Ὅτι ἀληθείας ἐκζητεῖ κύριος[14] ὁ θεός. 30. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ[15]· οἱ ἐν τῇ πυργοποιΐᾳ, καὶ οἱ ἀδελφοὶ κατὰ τοῦ Ἰωσὴφ, καὶ ἐν τῇ ἐρήμῳ κατὰ Μωϋσέως—Ἀνάστηθι καὶ ποίησον ἡμῖν θεούς. Ὁ γὰρ Μωϋσῆς οὗτος οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ[16]—καὶ οἱ πρεσβύτεροι κατὰ Σουσάννης, καὶ κατὰ Χριστοῦ οἱ Ἰουδαῖοι. 31. Χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά[17]. Καὶ μὴν ἡ καρδία διὰ τῶν χειλέων λαλεῖ, ἀλλ' ὡς ἔχει ὀφθαλμοὺς ἡ

---

1. στ. 3 α. 2 β. 2 α. 2. Σοφ. Σολ. 6, 10. 3. Μιχ. 7, 1-2. 4. στ. 2 α. 5. ἔνθ' ἀν. 6. στ. 1 α. 7. στ. 2 α. 1 α. 8. στ. 2 β. 9. Ψαλμ. 81, 6. 10. Δευτ. 32, 20. 11. Ψαλμ. 4, 3. 12. στ. 2 β. 13. ἔνθ' ἀν. 14. Ψαλμ. 30, 24. 15. στ. 3 α. 16. Ἔξ. 32, 1. 17. στ. 3 β.

καρδία, οὕτω καὶ χείλη Πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῶν καρδιῶν ὑμῶν[1]. [172] Τῷ στόματι αὐτῶν εὐλόγουν καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο[2]. Χείλη δόλια ἐν καρδίᾳ[3]. Περὶ δὲ Ἰουδαίων ὁ λόγος· Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ[4]. 32. Χείλη δόλια ἐν καρδίᾳ[5], ἢ καὶ ἐν καρδίᾳ τοῦ λαλοῦντος καὶ ἐν καρδίᾳ τοῦ ἀκούοντος ἢ καὶ δισσῇ καρδίᾳ ἢ καὶ ἐν καρδίᾳ τῶν μήπω πλανηθέντων καὶ ἐν καρδίᾳ τῶν ἤδη πεπλανημένων, ἵνα ἐκείνους μὲν ἀπατήσωσι, τούτους δὲ στρεβλωτέρους ποιήσωσι. Καὶ οἱ δαίμονες· Τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα[6]. Ἐν καρδίᾳ δὲ λαλεῖ ὁ ἐνδιαθέτως λαλῶν καὶ ἐγγράφων ὡς ἐν πλακὶ τῇ καρδίᾳ αὐτοῦ τοὺς λόγους· Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ[7], ἀντὶ τοῦ Μὴ λόγοις ἀπατηλοῖς τὰς ἀκοὰς θέλγετε, μηδὲ ἐπιπόλαια λέγετε, ἀλλ' ἐμβαθύνατε τὰ σπέρματα τῆς καρδίας, ἅψασθε τὸ συνειδός, μαστίξατε ὡς προφῆται, τὰ τραύματα τῶν ἐνθυμιῶν θεραπεύσατε...

XXII. ΨΑΛΜΟΣ ΙΑ' ΛΟΓΟΣ Γ'

Εἰς τὸν αὐτὸν ψαλμὸν ἄλλως.

1. Ἀναστάσεως Χριστοῦ ἑορταί· καὶ ἄγγελος τῆς ἀναστάσεως καὶ νῦν ὁ Δαυὶδ παρεγένετο, τὴν ὀγδόην τῆς ἀναστάσεως ἡμῖν διὰ τῆς ἐπιγραφῆς σαλπίζων· Εἰς τὸ τέλος γάρ, ὑπὲρ τῆς ὀγδόης· ψαλμὸς τῷ Δαυίδ[8]. Ἐπειδὴ γὰρ ὁ ἐν τῇ ἕκτῃ γενόμενος ἄνθρωπος ἕκτῃ ὥρᾳ θάνατον ἠρίστησε καὶ ὡς ἐν ἑβδόμῃ τῇ ἁμαρτίᾳ κακῶς ἐσαββάτισε, μηκέτι ἐργαζόμενος καὶ φυλάττων τὴν ἐντολὴν τοῦ θεοῦ[9], καὶ ὡς ἐν ὀγδόῃ περιτεμνόμενος τοῦ παραδείσου περιετέμνετο, διὰ ταῦτα ὁ ποιητὴς καὶ δημιουργὸς [173] τοῦ Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐσταύρωται, τῇ ἑβδόμῃ ἐν τῷ τάφῳ ἀναπαύεται, τῇ ὀγδόῃ ἀνίσταται, τοὺς υἱοὺς τοῦ ἀποθανόντος Ἀδὰμ υἱοὺς ἀναστάσεως ἐργαζόμενος. Εἰς τὸ τέλος, ὑπὲρ τῆς ὀγδόης[10]. 2. Ἀλλ' ὁ αἱρετικὸς ἀντιφθέγγεται· Ὁ δημιουργός, φησί, τοῦ Ἀδὰμ ἐσταύρωται. Ἀλλὰ τὸ σταυρωθῆναι ἀνθρώπου ἴδιον, ἀλλ' οὐ θεοῦ. Ἀλλὰ κἀγώ σοι λέγω· Ὁ δημιουργὸς τοῦ Ἀδὰμ χιτῶνας δερματίνους τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ ἐποίησεν[11]. Ἀλλὰ τὸ ποιεῖν χιτῶνας δερματίνους ἀνθρώπου ἴδιον

---

1. Ἐφ. 1, 18. 2. Ψαλμ. 61, 5. 3. στ. 3 β. 4. Ματθ. 15, 8. Μάρκ. 7, 6. Πρβλ. Ἡσ. 29, 13. 5. στ. 3 β. 6. Ἰω. 13, 2. 7. Ἡσ. 40, 2. 8. στ. 1. 9. Πρβλ. Γέν. 2, 15-17. 10. στ. 1. 11. Γέν. 3, 21.

ἔργον καὶ οὐκ ἴδιον θεοῦ, καὶ ἀνθρώπου πένητος καὶ πτωχοῦ. Οὐδεὶς γὰρ πλούσιος ἢ εὐγενὴς χιτῶνας δερματίνους ἐργάζεται. 3. Εἰπέ μοι κἀκεῖνο· ὁ δημιουργὸς τοῦ Ἀδὰμ περιεπάτει ζητῶν τὸν Ἀδὰμ καὶ ὡς ἀγνοῶν ὅπου κρύπτεται ἐφώνει· Ἀ δ ά μ, π ο ῦ εἶ[1]; Ἀλλὰ τὸ περιπατεῖν καὶ ζητεῖν καὶ λέγειν· Π ο ῦ ε ἶ; ἀνθρώπου ἴδιον καὶ οὐκ ἴδιον θεοῦ. Ὥσπερ οὖν ἀκούων ὅτι χιτῶνας δερματίνους ἐποίησε καὶ ὅτι περιεπάτει καὶ ὅτι ἐζήτει καὶ ἠρώτα· Π ο ῦ εἶ; καὶ τὰ ἀνθρώπινα ἔργα καὶ πάθη κατεδέξατο, οὐ λέγεις ἄνθρωπον, οὕτως ἀκούων ὅτι ἐσταυρώθη, ὅτι ἐκρεμάσθη, ὅτι προσηλώθη ἐν σαρκὶ ὁ ποιητὴς τοῦ Ἀδάμ, μὴ λέγε ψιλὸν ἄνθρωπον, ἀλλὰ θεὸν ἐν σαρκὶ τὸ πάθος καὶ τὸν θάνατον τῆς σαρκὸς οἰκειοποιησάμενον. 4. Εἰ γὰρ ὁ ἄρχοντος πρόσταγμα διαρρήξας κινδυνεύει καὶ ὁ βασιλέως σάρκαν σχίσας θανάτῳ ὑπόκειται, οὐχ ὅτι τὸν χάρτην ἔσχισεν, ἀλλ' ὅτι τὸν γράψαντα ὕβρισε, πολλῷ μᾶλλον οἱ τὸν ναὸν τοῦ δεσπότου τοῖς ἥλοις ὀρύξαντες καὶ τὸν δεσποτικὸν τόμον, ὃν ὁ πατὴρ ἐσφράγισε, διαρρήξαντες, οὐ τὸ σῶμα ἁπλῶς, ἀλλὰ τὸν φοροῦντα ὕβρισαν. Ὅτι δὲ τόμος ἐσφραγισμένος τὸ τοῦ Χριστοῦ σῶμα, ὁ μὲν Ἡσαΐας ἀκούει· Λ ά β ε σ ε α υ τ ῷ τ ό μ ο ν κ α ι ν ὸ ν μ έ γ α ν[2]· ὁ δὲ Ἰωάννης· Τ ο ῦ τ ο ν γ ὰ ρ ὁ π α τ ὴ ρ ἐ σ φ ρ ά γ ι σ ε ν[3]. Ὁ προφήτης τὸν τόμον, ὁ εὐαγγελιστὴς τὴν σφραγῖδα εἶπεν. Ὥσπερ οὖν αἱ εἰς τὸν χάρτην ἀτιμίαι οὐ τῷ χάρτῃ, ἀλλὰ τῷ γράψαντι λογίζονται, οὕτως αἱ εἰς τὸ σῶμα τοῦ Χριστοῦ πληγαὶ οὐχ οὕτω τὸ σῶμα [174] ὅσον τὸν φοροῦντα ὕβρισαν. Κἂν τὸ σῶμα ἐσταυροῦτο, ἀλλ' ὁ κύριος τῆς δόξης ἐκρέματο. Ε ἰ γ ὰ ρ ἔ γ ν ω σ α ν, φησίν, ο ὐ κ ἂ ν τ ὸ ν κ ύ ρ ι ο ν τ ῆ ς δ ό ξ η ς ἐ σ τ α ύ ρ ω σ α ν[4]. Κἂν ἡ σὰρξ ἐρραπίζετο, ἀλλ' ἡ θεότης ὑβρίζετο. Κἂν ὁ δοῦλος ἐμαστίζετο, ἀλλ' ὁ δεσπότης ᾐκίζετο. 6. Οὐκ ἐθεάσω ἐν τοῖς τῶν στρατιωτῶν νουμέροις ὅπως στρατιώτου μεγάλα καὶ ἐπικίνδυνα ἁμαρτήσαντος ὅπερ ἔμελλεν ὁ στρατιώτης ὑπομένειν, τοῦτο ἀντ' αὐτοῦ τὸ ἱμάτιον αὐτοῦ πάσχει; Ἀντὶ γὰρ τοῦ στρατιώτου τὴν χλανίδα καίουσι. Καὶ οὐδεὶς τὴν ὕβριν τῇ χλανίδι, ἀλλὰ τῷ στρατιώτῃ λογίζεται. Καὶ τὸ θαυμαστόν, ὅτι πρῶτον τὴν πορφύραν τῆς χλανίδος αἴρουσι καὶ οὕτως αὐτὴν καίουσιν. Ἐπειδὴ γὰρ ἡ πορφύρα βασιλέως ἐστὶ φόρημα, ἵνα μὴ ἐν τῇ καιομένῃ πορφύρᾳ ὁ βασιλεὺς ὑβρισθῇ, εἰς τιμὴν τοῦ βασιλέως τὴν πορφύραν ἀπὸ τῆς χλανίδος αἴρουσιν. Ἡ χλανὶς καίεται καὶ ὁ στρατιώτης ἀτιμάζεται· κόμμα πορφύρας καίεται καὶ ὁ βασιλεὺς ὑβρίζεται· σῶμα ἔνθεον ἐσταύρωται καὶ πῶς ὁ φορῶν οὐχ ὕβρισται; 7. Διὰ τί δὲ καὶ Ἰουδαῖοι τὸν σταυρὸν ἔπηξαν; Ἆρα διὰ τὸ σῶμα ἢ διὰ τὴν θεότητα τὴν ἐνεργοῦσαν τὰ θαύματα; Διὰ τί δὲ καὶ Μωϋσῆς αὐτοῖς ἔλεγεν· Ὄ ψ ε σ θ ε τ ὴ ν ζ ω ὴ ν ὑ μ ῶ ν κ ρ ε μ α μ έ ν η ν ἐ π ὶ ξ ύ λ ο υ[5]. Ἆρα διὰ τὸ σῶμα ἢ διὰ τὴν ζωοποιὸν θεότητα;

---

1. Γέν. 3, 9. 2. Ἡσ. 8, 1. 3. Ἰω. 6, 27. 4. Α' Κορ. 2, 8. 5. Πρβλ. Δευτ. 28, 66.

Ἀλλ' ἐκεῖνοι μὲν σῶμα βλέποντες εἰς τὸ σῶμα πίπτουσιν. Ἡμεῖς δὲ θεὸν ἐν σαρκὶ βλέποντες ἀεὶ ἀνιστάμεθα. Οὗτος γὰρ κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν[1]· εἰς πτῶσιν αἱρετικῶν, ἀνάστασιν δὲ Χριστιανῶν, ἵνα τὸν ὑπὲρ τῆς ὀγδόης ψάλλωμεν Χριστῷ συνανιστάμενοι...

XXIII. ΨΑΛΜΟΣ ΙΒ' ΛΟΓΟΣ Α'

[175] Εἰς τὸν δωδέκατον ψαλμόν.

1. Ὥσπερ ὁ ἐκ πολεμίων διωκόμενος καὶ φεύγων καὶ πυλῶνα πόλεως ἠνεῳγμένον μὴ εὑρών, μηδὲ στρατηγὸν ἀπὸ τοῦ τείχους δεξιὰν ὀρέγοντα, μηδὲ φίλον σπεύδοντα καὶ τὴν πύλην ἀνοίγοντα καὶ τὸν φυγάδα σῴζοντα, βραδύνοντος δὲ τοῦ σῴζοντος ἀπαραμύθητα χειμάζεται, οὕτω ποτὲ ὁ μακάριος Δαυίδ, ὑπὸ τῶν ἐχθρῶν πολιορκούμενος καὶ ταχὺ μὴ βοηθούμενος μηδὲ ἐκδικούμενος, τῷ δεσπότῃ ἔλεγεν· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[2]; Ἡ σὴ βραδεῖα παροχὴ ἐμοὶ βαρεῖα πληγή, καὶ ἡ πρὸς σέ μου καταφυγὴ τῆς ἐλπίδος ἀστοχοῦσα μᾶλλον τῶν πολεμίων τῇ λύπῃ τιτρώσκει με. 2. Καὶ ὥσπερ περιστερὰ ἱέρακας ἢ γῦπας ἀποφεύγουσα καὶ πρὸς τὴν συνήθη θυρίδα τῆς οἰκίας φθάνουσα, ἐὰν εὕρῃ κεκλεισμένην, προεδόθη καὶ ἀπώλετο καὶ τροφὴ τῶν σαρκοβόρων ὀρνέων ἐγένετο, οὕτως ὁ ὑπὸ πειρασμῶν καὶ θλίψεων καὶ ἐχθρῶν πολεμούμενος, ἐὰν μὴ εὕρῃ ὡς πύλην ἠνεῳγμένην τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ, τὸν τῆς περιστερᾶς σπαραγμὸν ὑπέμεινεν. Ἵνα οὖν μὴ τοῦτο πάθῃ ὁ Δαυὶδ ὑπὸ πλειόνων κυκλούμενος καὶ ἐπὶ πολὺ πολεμούμενος, εἰς οἶκτον καὶ εὐσπλαγχνίαν διεγείρων τὸν δεσπότην ἐβόα· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[3]; Καὶ ὅτι περιστερᾶς τρόπῳ ὁ Δαυὶδ φεύγειν τοὺς ἐχθροὺς καὶ σῴζεσθαι ἔσπευδεν, ἄκουσον αὐτοῦ ἐν τῷ πεντηκοστῷ τετάρτῳ ψαλμῷ λέγοντος διὰ τὸν φόβον τὸν ἀπὸ τῶν ἐχθρῶν· Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἔπεσεν ἐπ' ἐμέ· φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ καὶ ἐκάλυψέ με σκότος, καὶ εἶπα· Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι [176] καὶ καταπαύσω[4]; 3. Τίς δὲ καὶ ἡ ἐπιγραφή; Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ[5]. Πολὺ ἐναντία καὶ ξένη ἡ ἐπιγραφὴ τῇ ἀρχῇ τοῦ ψαλμοῦ. Εἰ γὰρ εὐθυμούντων παράκλησις ὁ ψαλμός, πῶς ἀθυμοῦντος καὶ ταλαιπωροῦντος λόγους εἰπὼν ἐν τῇ ἀρχῇ ὁ Δαυὶδ

---

1. Λουκ. 2, 34. 2. στ. 2 α. 3. ἔνθ' ἀν. 4. Ψαλμ. 54, 5-7. 5. στ. 1.

καὶ φήσας· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[1]; καὶ τὰ ἑξῆς, ψαλμὸν ἐπέγραψε τὸν στεναγμόν; Ἀλλὰ προσέχετε· Εἰ μὲν γὰρ ἐπέγραψεν εἰς τὴν ἀρχήν· Ψαλμὸς τῷ Δαυίδ, ἑαυτῷ ἠναντιοῦτο ψαλμὸν εἰπὼν τὸν ὀδυρμόν. Εἰ δὲ εἶπεν· Εἰς τὸ τέλος, ἀνάγνωθι τὸ τέλος τοῦ ψαλμοῦ καὶ εὑρήσεις εὐθυμοῦντα καὶ ψάλλοντα τὸν Δαυὶδ ἐφ' οἷς εὐηργέτηται. Τί γὰρ λέγει; Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου[2]. 4. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ[3]. Εἰς τὴν ἀρχὴν ὀδυρμός, εἰς δὲ τὸ τέλος ψαλμός· Οἱ σπείροντες γὰρ ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσιν[4]. Ἐπεὶ οὖν καὶ ὁ Δαυὶδ ἐν τῇ ἀρχῇ ἔσπειρε δάκρυα καὶ ἐν ἀγαλλιάσει ἐθέρισε τοὺς καρποὺς ὡς δράγματα, εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυίδ[5], καὶ τῷ προφήτῃ καὶ παντὶ τῷ ἱκανῷ τῇ χειρὶ εἰς προσευχάς, εἰς ἐλεημοσύνας, εἰς προστασίαν, εἰς ἀντίληψιν. 5. Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[6]; Διὰ τί δὲ τοῦτο ἔλεγεν; Ἡ ἀκολουθία τῶν ψαλμῶν διδάσκει ἡμᾶς τὴν ἔννοιαν τοῦ ψαλμοῦ. Ἐπειδὴ γὰρ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ καὶ ἐλαυνόμενος ὑπὸ τῆς αὐτοῦ στρατιᾶς, ὑπό τε τῶν Ζιφαίων ἐνδιαβαλλόμενος καὶ ὑπὸ τῶν Γετθαίων ἐπιβουλευόμενος, ἤκουσεν ὑπὸ τῶν συνόντων αὐτῷ στρατιωτῶν ἐν τῷ δεκάτῳ ψαλμῷ. Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον, ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον[7], καὶ τὰ ἑξῆς. Εἶτα ὁ Δαυίδ, τεθαρρηκὼς τῇ προνοίᾳ τοῦ θεοῦ ὡς ἀνικήτῳ πανοπλίᾳ, ἀπεκρίνατο τοῖς ἐκταράσσουσιν αὐτόν· Ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς [177] ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον[8]; 6. Εἶτα, ἐπειδὴ ὠλιγοῦτο αὐτῷ ὁ εὐσεβὴς καὶ φιλόθεος στρατός, ὡς καὶ μόνον πολλάκις εὑρεθέντα ἀμηχανεῖν, ἔλεγεν ἐν τῷ πρὸ τούτου ἑνδεκάτῳ ψαλμῷ· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[9], ὅσιον καλῶν καὶ τὸν συνδιωκόμενον αὐτῷ στρατόν, ὡς φυγόντα τὸν ἀνόσιον Σαοὺλ καὶ προσφυγόντα τῷ ὁσίῳ Δαυίδ, ἵνα ὁσιωθῶσιν. Ἐπειδὴ γὰρ ἤκουσαν αὐτοῦ ψάλλοντος· Μετὰ ὁσίου ὁσιωθήσῃ καὶ μετὰ ἀθῴου ἀθῷος ἔσῃ[10], καταλιπόντες τὸν ἀνόσιον τῷ ὁσίῳ προσεκληρώθησαν. 7. Καὶ ὅτι ὅσιοι ἦσαν οἱ μετὰ τοῦ Δαυὶδ ἐντεῦθεν δῆλον ἀφ' ὧν τὸν ἄρτον τῆς προθέσεως ἔφαγον μετὰ τοῦ Δαυίδ. Εἰ δὲ μὴ ἦσαν ὅσιοι ὡς εὐσεβεῖς, οὐκ ἂν τὸν ἅγιον ἄρτον τῶν ἱερέων ἐτράφησαν. Οὐδ' ἂν ὁ ἱερεύς, τὰ τῆς εὐσεβείας δίκαια παριδών, τὰ τῆς πολιτείας

---

1. στ. 2 α. 2. στ. 6. 3. στ. 1. 4. Ψαλμ. 125, 5. 5. στ. 1. 6. στ. 2 α. 7. Ψαλμ. 10, 1-2. 8. Ψαλμ. 10, 1. 9. Ψαλμ. 11, 2. 10. Ψαλμ. 17, 26.

ἐξήταζε λέγων· Εἰ εἰσὶ τὰ παιδάρια πεφυλαγμένα ἀπὸ γυναικός, καὶ φάγονται[1]. Ὁ γὰρ περὶ τῆς νομίμης τῶν γαμούντων ὁμιλίας ἐρωτῶν, εἰ ἀκοινώνητοί εἰσιν ἡδονῆς οἱ κοινωνοὶ τῆς θείας τροφῆς, οὐκ ἂν ἀνοσίοις καὶ ἀσεβέσι τὸν ἄρτον προέδωκεν, οὐδ' ἂν τὰ ἅγια τοῖς κυναρίοις ἔρριψεν[2]. 8. Ἐπεὶ οὖν οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον καὶ ἡτοίμασαν βέλη εἰς φαρέτραν τοῦ κατατοξεῦσαι τοὺς εὐθεῖς τῇ καρδίᾳ[3], τοὺς συνόντας τῷ Δαυίδ, οἱ δὲ ἐξέλιπον, οἱ μὲν φεύγοντες, οἱ δὲ τῇ ἀθυμίᾳ λιποθυμοῦντες, διὰ τοῦτο ἐβόα· Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος[4], τῇ ἀθυμίᾳ, τῇ ὀλιγοψυχίᾳ, τῇ παρ' ἐλπίδα πολιορκίᾳ, ὅτι συμβασιλεύειν τῷ Δαυὶδ προσδοκήσαντες ὤφθησαν συναιχμάλωτοι. Οὐδὲν οὕτω θλίβει τινὰ ὡς ⟨τὸ⟩ τὸν μεγάλα κερδῆσαι ἐκδεχόμενον ἀφορήτοις ζημίαις περιπεσεῖν. Σῶσόν με, κύριε, καὶ τὸν δρόμον τοῦ Σαοὺλ ἐκκόπτων καὶ ἐμὲ πρὸς δρόμον ἀλείφων καὶ τὸν ἐκλείποντα στρατὸν παραθαρρύνων. **[178]** Ἐπειδὴ σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν ἐχθρῶν ἐζήτει, ὁ δὲ θεός, εἰ καὶ ἐπὶ πολὺ διώκεσθαι αὐτὸν συνεχώρει, οὐχ ὡς ἐχθρὸν μισῶν, ἀλλ' ὡς ἀθλητὴν οἰκουμενικὸν φανερῶν, ἵνα καὶ αὐτῷ εἴπῃ ὡς τῷ Ἰώβ· Μὴ οἴει με ἄλλως σοι κεχρηματικέναι, ἀλλ' ἵνα ἀναφανῇς δίκαιος[5], διὰ ταῦτα ὁ Δαυίδ, οὐχ οὕτω περὶ ἑαυτοῦ ὅσον διὰ τοὺς συνόντας αὐτῷ ἀγωνιῶν, ἔλεγεν· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[6]; 9. Οἶδα, δέσποτα, ὅτι αὐτὸς μὲν ὡς ἀγωνοθέτης θέλεις με διὰ μακροτέρων παλαισμάτων ἐμφανέστερον νικητὴν ἀναδεῖξαι. Ἀλλ' οἱ σὺν ἐμοὶ νομίζουσιν ὅτι ἀφῆκάς με οὐ δοκιμάζων, ἀλλὰ μισῶν· ἵνα οὖν κἀγὼ πρὸς τοὺς ἀγῶνας ἀλείψωμαι, καὶ οὗτοι ἐκλείποντες καὶ λιποθυμοῦντες ἀναπνεύσωσι καὶ ἀνακαινισθῶσι τὸν λογισμόν, εἰπὲ τὸ πέρας τῆς συμφορᾶς, δήλωσον τὸ τέλος τῶν κακῶν, ἀποκάλυψόν μοι τὸν πυθμένα τῶν πειρασμῶν. 10. Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[7]; Ἐμοὶ γὰρ σὴ λήθη ἡ τῶν σὺν ἐμοὶ ἀποβολή, ὡς ἔμπαλιν καρπὸς τῆς περὶ ἐμέ σου μνήμης ἡ τούτων τῶν σὺν ἐμοὶ διαμονή. Καὶ ὅτι μνήμης θεοῦ ἀπόδειξις ἡ τοῦ πεποθημένου πρὸς τὸν ποθοῦντα δίκαιον ἕνωσις, γέγραπται περὶ τοῦ Ἀβραὰμ ἀθυμοῦντος διὰ τὸν Λὼτ μήπως ἐπυρπολήθη μετὰ Σοδομιτῶν· Καὶ ἐμνήσθη ὁ θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς[8]. Καὶ ἦν μνήμη θεοῦ ἡ τοῦ φίλου διάσωσις. 11. Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[9]; Ἔμαθον, δέσποτα, καὶ τὸν σὸν οἰκέτην, ἡμέτερον δὲ πατριάρχην Ἰακώβ, ὅτι ἐδιώκετο

---

1. Α' Βασ. 21, 4. 2. Πρβλ. Ματθ. 7, 6. 3. Πρβλ. Ψαλμ. 10, 2. 4. Ψαλμ. 11, 2. 5. Ἰὼβ 40, 8. 6. στ. 2 α. 7. ἔνθ' ἀν. 8. Γέν. 19, 29. 9. στ. 2 α.

ὑπὸ τοῦ Ἠσαῦ. Ἀλλ' ἀφ' οὗ τὴν πατρίδα καταλιπὼν πρὸς τὸν Λάβαν ἔφυγεν, οὐκέτι παρηνωχλήθη ὑπὸ τοῦ Ἠσαῦ. Ἕκαστος δέ, τὸν ἀπόντα ὡς τεθνεῶτα λογισάμενος, ἐπαύσατο τοῦ πολεμεῖσθαι καὶ πολεμεῖν. Ἀκήκοα καὶ τὸν μέγαν θεράποντά σου Μωϋσέα ὡς φονέα πεφευγέναι τὰ βασίλεια, καὶ ἦν ὁ ἐν τοῖς βασιλείοις ἀνατρεφόμενος ἐν **[179]** ταῖς ἐρήμοις αὐλιζόμενος· καὶ ὁ υἱὸς τῆς θυγατρὸς Φαραὼ γέγονεν ἀνὴρ τῆς θυγατρὸς Ῥαγουήλ, καὶ ὁ πάσῃ σοφίᾳ τῶν Αἰγυπτίων παιδευθεὶς προβάτων ἀλόγων νομεύς[1]. Καὶ ὅμως ἐκεῖνος τὸν Αἰγύπτιον φονεύσας ὑπὸ τοῦ βασιλέως τῶν Αἰγυπτίων οὐκ ἐφονεύθη, ἀλλὰ φυγὼν κατεφρονήθη· ἐγὼ δὲ τὸν ἀλλόφυλον ἀποκτείνας ὑπὸ τῶν ὁμοφύλων ἐπιβουλεύομαι καὶ φεύγω καὶ καταδιώκομαι καὶ σοὶ προσφεύγω καὶ ἀνέσεως οὐκ αἰσθάνομαι. Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[2]; 12. Εἰπέ, ὦ θαυμάσιε Δαυίδ, θεράπον θεοῦ γνήσιε, μελῳδέ, ψαλτῳδέ, πολεμιστά, δαιμόνων φυγαδευτά, πατὴρ κατὰ σάρκα Χριστοῦ τοῦ μέλλοντος ἐκβάλλειν τοὺς τοῦ κόσμου δαίμονας, διαλέγεται γάρ σοι ὁ θεὸς ὡς φίλος φίλῳ καθὰ καὶ τῷ θεράποντι αὐτοῦ Μωϋσεῖ. Ἐμνήσθης Μωϋσέως καὶ Ἰακώβ, περὶ μὲν Μωϋσέως λέγων· Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ· ἐπεκαλοῦντο τὸν κύριον, καὶ αὐτὸς ἐπήκουσεν αὐτῶν[3]· περὶ δὲ τοῦ Ἰακώβ· Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ[4], [καὶ θείας] καὶ ὅσης προνοίας ἀπέλαυσεν. Ἄκουσον οὖν συντόμως τοὺς ἀγῶνας καὶ τὰς θλίψεις Μωϋσέως καὶ Ἰακώβ, ἵνα τὰ ἐκείνων ἀλγήματα γένωνταί σοι ψυχῆς ἀθυμούσης ἰάματα. 13. Ἰακὼβ ὁ μακάριος, βλέπε ποῖα ἤντλησε· τὰ πρῶτα ὑπὸ τοῦ πατρὸς Ἰσαὰκ παρορώμενος, τὰς τοῦ πατρὸς εὐλογίας μετὰ φόβου δεχόμενος, διὰ ταύτας ὑπὸ τοῦ Ἠσαῦ ἐπιβουλευόμενος, τῶν γονέων ἀποξενούμενος, μόνος καὶ ἄνευ συνοδοιπόρου παιδὸς ἐξερχόμενος, τοῦ Λάβαν μισθωτὸς γινόμενος καὶ ποιμὴν καθιστάμενος δεκατέσσαρα ἔτη διὰ γυναῖκα δουλεύων. Κἂν γὰρ τὰ ἑπτὰ ἔτη διὰ τὴν Ῥαχὴλ συνετάξατο, ἀλλὰ τὰ δεκατέσσαρα δι' αὐτὴν ἐδούλευσεν, ἐπειδὴ ἄλλην ἀντ' ἄλλης τὴν πρώτην ἔλαβε. Καὶ ποῖος ἄρα νυμφίος ὑπέμεινεν ἐκεῖνον τὸν πόλεμον, ἵνα, ἄλλην **[180]** μνηστευσάμενος, ἑτέραν ἐν τῷ θαλάμῳ ηὕρισκεν; Εἴκοσιν ἔτη ποιμαίνων τῷ παγετῷ καὶ τῷ καύσωνι ἀεὶ ἐμαστίζετο, τὸν ὕπνον λῃστευόμενος, ὑπὸ τοῦ Λάβαν ἀχαριστούμενος, ὑπὸ τῶν υἱῶν αὐτοῦ μισούμενος, μετὰ γυναικῶν καὶ τέκνων φυγῇ χρώμενος, ὄπισθεν τὸν Λάβαν ἐπιδιώκοντα εὐλαβούμενος, ὡς κλέπτης θεῶν εὐθυνόμενος, ἐπὶ τῇ φθορᾷ τῆς θυγατρὸς αὐτοῦ ὀδυνώμενος, ἐπὶ τέκνοις πολεμούμενος, ἐπὶ τῷ

---

1. Πρβλ. Πράξ. 7, 22. 2. στ. 2α. 3. Ψαλμ. 98, 6. 4. Ψαλμ. 104, 23.

Ῥουβὶμ ὡς μιάναντι τὴν κοίτην τοῦ πατρὸς αἰσχυνόμενος, ἐπὶ τῇ Συμεὼν καὶ Λευῒ φονοκτονίᾳ θλιβόμενος, ἐπὶ τῷ Ἰωσὴφ περιστοιχιζόμενος, ἐπὶ τῷ Βενιαμὶν ὀδυρόμενος, καὶ τοσούτοις καὶ πλείοσι κακοῖς προσπελάσας οὐδέποτε εἶπεν ὡς ἀποκακήσας· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[1]; 14. Ἐννόησον δὲ καὶ τὸν μέγαν Μωϋσέα, οἵας θλίψεις καὶ πόσους κινδύνους ἐξ αὐτῶν τῶν σπαργάνων ἤντλησεν· ὑπὸ τῶν γονέων τῷ ποταμῷ παραρριπτούμενος, τῶν βασιλικῶν ἐνδιαιτημάτων διὰ γένος ἀφιστάμενος, ὑπὸ τῶν ἀδελφῶν ἐπιβουλευόμενος, ὡς φονεὺς ζητούμενος, φυγὰς ἐπὶ ξένης γενόμενος, μετὰ φόβου τὸν ἄρτον ἐδόμενος, κατὰ πᾶσαν ὥραν τὸν θάνατον περιβλεπόμενος, ὡς τύραννος ζητούμενος, ὡς ἀντάρτης ἐρευνώνώμενος, ἀπὸ βασιλικῆς στρωμνῆς ἐπὶ κοπρίαν καὶ χώματα κοιταζόμενος, πρὸς τοὺς ἐχθροὺς Αἰγυπτίους πεμπόμενος, ἐν τῇ ἐρήμῳ ὑπὸ τοῦ λαοῦ καταστασιαζόμενος, τῆς γῆς ῥεούσης γάλα καὶ μέλι[2] διὰ ἕνα λόγον ἀποστερούμενος. Καὶ ὅμως, ὦ Δαυίδ, τοιαῦτα οὐκ εἶπεν ὡς σύ· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[3]; 15. Ἐννόησον δὲ τὰ κατὰ Μωϋσέα καὶ τὰ κατὰ σέ. Σύ, ὦ Δαυίδ, ἐν κώμῃ ἀνετράφης· ἐκεῖνος ἐν πόλει. Σὺ ἀγροικικαῖς χερσὶν ἐβαστάχθης· ἐκεῖνος ἐν βασιλικαῖς ἀγκάλαις ἐγαλουχήθη. Σὺ ἐκ βρέφους ποιμὴν προβάτων· ἐκεῖνος ἐκ παιδίου φύλαξ γραμμάτων· Ἐπαιδεύθη γὰρ Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων[4]. Οἱ σοὶ δάκτυλοι [181] ἥρμοσαν ὄργανον· οἱ ἐκείνου δάκτυλοι δημιουργίαν οὐρανοῦ καὶ γῆς ἔγραψαν. Σοῦ αἱ χεῖρες ἐποίησαν ψαλτήριον δεκάχορδον· ἐκείνου αἱ χεῖρες ἐπήνεγκαν Αἰγυπτίοις δεκάπληγον μάστιγα, τῷ δὲ Ἰσραὴλ ἤνεγκαν δεκάλογον σάλπιγγα. Ἡ σὴ τροφὴ ὡς ποιμένος γάλα καὶ τυρός· ἡ ἐκείνου τροφὴ μάννα καὶ ἄρτος οὐράνιος ⟨...⟩ ἐκεῖνος ᾄδει καὶ ὁ Φαραὼ καταποντίζεται. Σὺ τὸ πτερύγιον τοῦ Σαοὺλ διέρρηξας[5]· ἐκεῖνος τὸν βυθὸν τῆς θαλάσσης ἔσχισε. Σὺ ἀπὸ τοῦ λάκκου τοῦ ἐκ Βηθλεὲμ ὕδωρ πιεῖν ἐπεθύμησας[6]· ἐκεῖνος ἐκ πέτρας ἀκροτόμου ἔπιεν ὕδωρ γλυκύτερον μέλιτος[7]. Σὺ προσδοκῶν τὸν δεσπότην προσεύχει· Ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦλόν σου[8]· ἐκεῖνος ἀπέλαυσε τῆς θεοπτίας εἰπών· Κύριος ἐκ Σινᾶ ἥκει καὶ ἐπέφανεν ἐξ ὄρους κατασκίου[9]. Σοὶ ζῶντι χρηματίζω καὶ διαλέγομαι ὑμῖν τὸν δὲ Μωϋσέα καὶ μετὰ θάνατον παριστῶ καὶ ὁμιλῶ αὐτῷ ἐν τῷ ὄρει ἐπὶ τῶν ἀποστόλων μεταμορφούμενος. 16. Ἀλλ' ἵνα μή, ὦ Δαυίδ, ἐν τῇ συγκρίσει καὶ διαθέσει Μωϋσέως τὰ δευτερεῖα φέρων ἐπιστυγνάσῃς καὶ πρὸς ταῖς ἄλλαις θλίψεσι καὶ τοῦτο λυπήσῃ σε, ἔδωκά σοι ἓν χάρισμα καὶ κτῆμα ἐξαίρετον, ὅπερ ὅλας ὁμοῦ ὑπερνικᾷ τὰς τοῦ Μωϋσέως τιμάς. Μὴ ἀθυμήσῃς μὴ δυσχεράνῃς,

---

1. στ. 2 α. 2. Πρβλ. Ἔξ. 3, 17. 3. στ. 2 α. 4. Πράξ. 7, 22. 5. Πρβλ. Α' Βασ. 24, 5. 6. Πρβλ. Β' Βασ. 23, 15. 7. Πρβλ. Δευτ. 8, 15. 8. Ψαλμ. 30, 17. 9. Πρβλ. Δευτ. 33, 2. καὶ Ἀββ. 3, 3.

διότι σὺ τοῦ νομοθέτου πατήρ, ἐκεῖνος δὲ διάκονος. Σὺ γεννήτωρ καὶ σπορεύς, ἐκεῖνος προφήτης καὶ γραφεύς. Οὐδεὶς ἐν εὐαγγελίοις λέξει· Ἰησοῦ υἱὲ Μωϋσέως, ἐλέησόν με, ἀλλά· Ἰησοῦ υἱὲ Δαυίδ, ἐλέησόν με[1], Ὡσαννὰ τῷ υἱῷ Δαυίδ[2] οὐ τῷ υἱῷ Μωϋσέως, Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυίδ[3]. 17. Ἐπεὶ οὖν τὸ κεφάλαιον τῶν χαρισμάτων ἔχεις, ἵνα πατὴρ χρηματίσῃς τοῦ θεοῦ σου, μηκέτι ὡς καταφρονούμενος καὶ ἐπιλελησμένος λέγε· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[4]; Ἀλλ' εἰπὲ ὡς τὰ μεγάλα εὐεργετηθείς· Ἄισω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου[5]...

XXIV. ΨΑΛΜΟΣ ΙΒ' ΛΟΓΟΣ Β'

[182] Εἰς τὸν αὐτὸν ψαλμὸν ἄλλως· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[6];

1. Ἐπειδὴ πολλάκις ἐδεήθη τοῦ θεοῦ ⟨ὁ Δαυὶδ⟩ ὥστε ῥυσθῆναι τῶν κακῶν, ποτὲ καὶ λέγων· Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με[7]; καὶ τὰ ἑξῆς, ποτὲ δέ· Ἐλέησόν με, κύριε, ὅτι ἀσθενής εἰμι· ἴασαί με, κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα· καὶ σύ, κύριε, ἕως πότε[8]; Ἐπεὶ οὖν εἶπεν ἐκεῖ ἕως πότε καὶ τὸ τί παρέλιπεν, ἄρτι μειζόνως τοῖς πόνοις δακνόμενος λέγει καὶ τὸ εἶδος τῆς ὑποθέσεως· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[9]; Τοῦτο δὲ ὁ προφήτης ἔλεγεν, οὐχ οὕτως ἑαυτὸν παραμυθούμενος ὅσον ἡμᾶς διδάξαι καὶ ὠφελῆσαι ἀφ' ἑαυτοῦ θέλων, ἵνα προσευχόμενοι καὶ μὴ εἰσακουόμενοι μὴ ἀτονήσωμεν μηδὲ ἀποναρκήσωμεν, ἀλλὰ τῇ προσευχῇ καὶ τῇ δεήσει ἀεὶ προσκαρτερήσωμεν. 2. Διὰ γὰρ τρεῖς αἰτίας πολλάκις προσευχόμενοι, ἢ πάντῃ οὐκ εἰσακουόμεθα ἢ βραδέως εἰσακουόμεθα. Μίαν μὲν ὅτι διὰ τοῦτο πολλοὶ οὐκ εἰσακούονται, ἐπειδὴ αἰτοῦσιν ἐκεῖνα ἅτινα μήτε θεῷ ἀρέσκει μήτε συμφέρει τῷ λαμβάνοντι. Καὶ τούτου μάρτυς ὁ μακάριος Ἰάκωβος λέγων· Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε[10]. Εἰ γὰρ σὺ τῷ παιδίῳ αἰτοῦντι μάχαιραν οὐ δίδως, ἵνα μὴ σὺ αἴτιος αὐτῷ τῆς πληγῆς ἢ τοῦ φόνου γένῃ, πολλῷ μᾶλλον ὁ θεὸς τοῖς τὴν φρένα νηπιάζουσι καὶ τὰ ἐπιβλαβῆ αἰτοῦσιν οὐ δίδωσιν. Ὡς δεσπότης γὰρ καὶ πατὴρ οὐ θέλει

---

1. Λουκ. 18, 38. 2. Ματθ. 21, 9 καὶ 15. 3. Ματθ. 1, 1. 4. στ. 2 α. 5. στ. 6 γδ. 6. στ. 2 α. 7. Ψαλμ. 3, 2. 8. Ψαλμ. 6, 3-4. 9. στ. 2 α. 10. Ἰακ. 4, 3.

τὰ τέκνα ἢ τοὺς παῖδας αὐτοῦ βλάπτεσθαι. 3. Κατὰ δεύτερον δὲ τρόπον διὰ τοῦτο βραδύνει ὁ θεὸς πρὸς τὸ δοῦναι, τῇ ὑπερθέσει καὶ τῇ ἀναβολῇ δοκιμάζων σου τὴν διάθεσιν, οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα φανερώσῃ σου τὴν προαίρεσιν. Βραδύτερον γὰρ εἰσα [183] κουόμενος, πλειόνων ἀπολαύσεις τῶν ἐκ θεοῦ δωρεῶν· τοῦτο μὲν ἐφ' οἷς ἤτησας, τοῦτο δὲ ἐφ' οἷς παρέμεινας καὶ βραδέως λαμβάνων οὐκ ἀπενάρκησας. Τούτου μάρτυρες τὰ τοῦ κυρίου ὑποδείγματα, ὁ κριτὴς τῆς ἀδικίας ὁ ὑπὸ τῆς χήρας καταβοώμενος καὶ διὰ τὴν πολλὴν αὐτῆς προσεδρείαν τῆς ἐκδικίας αὐτῆς γενόμενος ὑπήκοος[1], καὶ ὁ φίλος ὁ τοὺς τρεῖς ἄρτους ἐν νυκτὶ ζητούμενος καὶ τῇ καλῇ ἀναιδείᾳ τοῦ φίλου νικώμενος[2]. 4. Εἶτα, κατὰ τρίτον λόγον διὰ τοῦτο τὴν δωρεὰν καὶ τὴν αἴτησιν τέως ὁ θεὸς ὑπερτίθεται, καιρὸν ἐπιτήδειον πρὸς τὸ δοῦναι ἐκδεχόμενος. Εἰ γὰρ ὁ πυρέττων τροφὴν ἢ πόμα ζητῶν οὐχ ὅτε αὐτὸς θέλει τότε λαμβάνει, ἀλλ' ὅτε ὁ ἰατρὸς δοκιμάσει καιρὸν ἐπιτήδειον, πολλῷ μᾶλλον ὁ θεὸς τότε δίδωσι τὰ αἰτήματα ὅτε συμφέρει τῷ λαμβάνοντι. Βοηθὸς γάρ ἐστιν ἐν εὐκαιρίαις, ἐν θλίψεσι[3]. Τούτου μάρτυς αὐτὸς ὁ θεὸς λέγων τῷ προσευχομένῳ· Καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι[4]. Ὅθεν καὶ ὁ Δαυίδ, προσευχόμενος καὶ μὴ παραυτὰ εἰσακουόμενος, τὴν αἰτίαν τῆς ὑπερθέσεως παρεκάλει γνῶναι λέγων· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος[5]; Ἐπιλανθάνεται δὲ ὁ θεός, οὐ λήθῃ κρατούμενος, οὐδὲ τὴν μνήμην κλεπτόμενος, οὐδὲ πάθεσιν ἀνθρωπίνοις ὑποκείμενος, ἀλλὰ τοῖς ὑποκειμένοις καταλλήλως ἁρμοζόμενος. Οὕτω γὰρ αὐθαιρέτως ἐπιλανθανόμενος τῶν ἐπιλανθανομένων τοῦ νόμου αὐτοῦ ἔλεγε· Καὶ ἐπελάθου νόμου θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου[6]. Καὶ διὰ τοῦ Ἱερεμίου τῇ συναγωγῇ ἔλεγε· Σὺ ἐπελάθου μου, λέγει κύριος, ὀπίσω πορεύσῃ[7]. Καὶ πάλιν· Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε κύριος[8]. 6. Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν [184] σου ἀπ' ἐμοῦ[9]; Ἀποστρέφεται δὲ θεός, οὐ λήθῃ κρατούμενος, οὐδὲ τὴν μνήμην κλεπτόμενος, ἀλλ' ἀποστρέφεται τὸν κακοποιοῦντα καὶ ἁμαρτάνοντα. Ὥσπερ ἡμεῖς, ὅταν θεασώμεθά τι αἰσχρόν, ἀποστρέφομεν τὸ πρόσωπον τῷ κακῷ ἀπαρεσκόμενοι, οὕτως ὁ θεὸς ἀποστρέφεται τὸν παρανομοῦντα ὡς βόρβορον καὶ δυσωδίαν τὴν ἁμαρτίαν πνέοντα. Τούτου μάρτυς ὁ προ-

---

1. Πρβλ. Λουκ. 18, 2-6. 2. Πρβλ. Λουκ. 11, 5 κ.ἑ. 3. Ψαλμ. 9, 10. 4. Ἡσ. 49, 8. 5. στ. 2 α. 6. Ὠσηὲ 4, 6. 7. Πρβλ. Ἱερ. 13, 25 καὶ 15, 6. 8. Ἡσ. 49, 15. 9. στ. 2 β.

φήτης Ἀμβακοὺμ εἰπὼν τῷ θεῷ· Καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρά, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ[1]. 7. Ἐπεὶ οὖν καὶ ὁ Δαυὶδ ἐρρυπώθη τῇ μοιχείᾳ καὶ ἐσάπη τῇ ἀνδροκτασίᾳ—προσώζεσαν γὰρ καὶ ἐσάπησαν οἱ μώλωπές μου[2] — ἐπλύθη δὲ τῇ μετανοίᾳ καὶ ἐλευκάνθη τῇ νηστείᾳ καὶ χαμευνίᾳ καὶ ἱκεσίᾳ, ἄξιος γενόμενος τῆς τοῦ θεοῦ ὄψεως παρακαλεῖ· Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ[3]; Ἀπεστράφης με ἀποστραφέντα σε ἐπίστρεψον ὅτι ἐπέστρεψα. 8. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου[4]; Ἐπειδὴ γὰρ δίκαιος ἑαυτοῦ κατήγορος ἐνενόησε τὸ αἰώνιον κριτήριον καὶ τὰ ἀπαραίτητα βασανιστήρια καὶ ὅτι πόρνους καὶ μοιχοὺς κρινεῖ ὁ θεός, καὶ ἤδη ὑπὸ τῶν λογισμῶν ὡς ὑπὸ δημίων ἐν ἡμέρᾳ καὶ νυκτὶ μαστιζόμενος, ὀδύνας ὑπέμενε λέγων· Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου[5]; ὑφ' ἑαυτοῦ δημευόμενος, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός[6]; ὑπὸ τῶν ἐνθυμήσεων καὶ τῶν στεναγμῶν βασανιζόμενος. Ταῦτα, ἀδελφοί, πρὸς νουθεσίαν γέγραπται, ἵνα καὶ ἡμεῖς, ὅταν ἁμαρτήσωμεν, ἑαυτῶν γενώμεθα κατήγοροι καὶ ἔλεγχοι, κριταὶ καὶ μαστικταί, ἵνα δυνηθῶμεν διαφυγεῖν τὴν αἰώνιον ὀργήν. 9. Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ[7]; Ἀρκεῖ αὐτῷ ὅτι ἅπαξ ὑψώθη ἐκεῖνος· ἐμοῦ τῇ ἁμαρτίᾳ ταπεινωθέντος, ἵνα τί πάλιν κατ' ἐμοῦ ὑψοῦται, θεὸν ἱκετεύοντος καὶ μηδὲν ἀνύοντος; Ἵνα οὖν ταπεινωθῇ ὁ ἐχθρὸς διάβολος καὶ πᾶς ὁ τούτου κοινωνός, ἐπίβλεψον, εἰσάκουσόν μου, κύριε ὁ θεός μου[8]. Καὶ διὰ τί πρῶτον λέγει ἐπίβλεψον καὶ οὕτως **[185]** εἰσάκουσον; Ἵνα πρῶτον θεάσηται τὰ κατορθώματα καὶ οὕτω παράσχῃ τὰ αἰτήματα. Ὁ οὖν ἁμαρτίαις κατεσπιλωμένος καὶ παρονομίαις ἐρρυπωμένος μὴ τολμάτω λέγειν τῷ θεῷ· Ἐπίβλεψον, ἀλλὰ παρακαλείτω· Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου[9]. Φώτισον τοὺς ὀφθαλμούς μου[10]. Τῶν δύο χρεία τῷ ἀνθρώπῳ, καὶ φωτὸς ἀνατέλλοντος καὶ ὀφθαλμοῦ ὑγιαίνοντος. Τί γὰρ ὠφελεῖται ὁ τυφλὸς ἡλίου ἀνατέλλοντος; Τί δὲ πάλιν εὐεργετεῖται ὁ βλέπων, σκοτίας περιεχούσης τὸ πᾶν. Ἐπεὶ οὖν ὁ θεὸς φῶς ἐστι καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν[11], ἀλλὰ φῶς ἐστιν ἀληθινόν, ἄδυτον, ἀκοίμητον, ἄσβεστον, ὁ δὲ προφήτης κακῶς ἐμβλέψας τῇ γυναικὶ ἐκαπνίσθη τῇ ἐπιθυμίᾳ καὶ ἐρρευματίσθη τῇ ἀνομίᾳ καὶ ἐτυφλώθη τὴν προφητείαν, οὐ τὸν ἔξω, ἀλλὰ τὸν ἔσω ὀφθαλμὸν ἀποβαλών, διὰ ταῦτα τὸν θεὸν ὡς

---

1. Ἀββ. 1, 13. 2. Ψαλμ. 37, 6. 3. στ. 2 β. 4. στ. 3 α. 5. ἔνθ' ἀν. 6. στ. 3 β. 7. στ. 3 γ. 8. στ. 4 α. 9. Ψαλμ. 50, 11. 10. στ. 4 β. 11. Α' Ἰω. 1, 5.

ἰατρὸν ἀξιοῖ· Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον[1]. 11. Ὥσπερ ὁ νυστάζων πρῶτον καμμύει μικρὸν καὶ ἀναβλέπει καὶ τοῦτο ποιῶν ὑπνοῖ, συνταττόμενος τῷ φωτὶ καὶ σκότος αὐτοσχέδιον ὑφαίνων ἑαυτῷ, οὕτως ὁ μέλλων ἁμαρτάνειν μικρὸν καμμύει μὴ βλέπων τὸ κρῖμα τοῦ θεοῦ, καὶ μικρὸν ἀναβλέπει τὴν αἰσχύνην εὐλαβούμενος· πάλιν καμμύει καὶ ἀναβλέπει, ποτὲ μὲν φοβούμενος, ποτὲ δὲ καταφρονῶν, καὶ οὕτω κενεμβατῶν τῷ ὄμματι τῇ ἁμαρτίᾳ ὑπνοῖ, τὸ φῶς τῆς ἁγνείας ἀπολιπὼν καὶ τὸ σκότος τῆς μοιχείας ἐπισπασάμενος. Οὕτως ἔλεγεν ὁ Ἰώβ· Ὀφθαλμὸς δὲ μοιχοῦ ἐφύλαξε σκότος[2]. 12. Ἵνα οὖν μὴ πάλιν τοῦτο ἐκ δευτέρου ὑπομείνῃ ὁ Δαυίδ, τὸν θεὸν παρεκάλει· Φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον[3]. Φώτισον τοὺς ὀφθαλμούς μου, δαπανηθέντας τοῖς δάκρυσι, μήποτε ὑπνώσω εἰς θάνατον, οὐ τὸν κοινὸν τοῦ γένους θεριστήν, ἀλλὰ τὸν **[186]** ἴδιον τῶν ἁμαρτωλῶν ὀλοθρευτήν. Θάνατος γὰρ κυρίως ἐκεῖνος, οὐχ ὁ χωρίζων τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, ἀλλ᾽ ὁ διαχωρίζων τὴν ψυχὴν ἀπὸ τοῦ θεοῦ. Ὁ θεὸς ζωή ἐστιν· ὁ δὲ τῆς ζωῆς χωριζόμενος τέθνηκεν. Ὥσπερ ἔστιν ἁμαρτία πρὸς θάνατον καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον[4], καθὼς λέγει ὁ Ἰωάννης ἐν τῇ ἐπιστολῇ, οὕτω καὶ ὕπνος ἐστίν, ὁ μὲν πρὸς θάνατον, ὁ δὲ οὐ πρὸς θάνατον. Καὶ ὁ προφήτης· Ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη καὶ ἀποθανεῖται[5], τὴν πρὸς θεὸν παρρησίαν ὡς ζωὴν ἀποβάλλουσα. 13. Καὶ ἐπειδὴ ὁ θάνατος, ὁ διάβολος ὁ τοῦ θανάτου πατήρ, ἕστηκεν ὡς ἀντίπαλος ἰσχυρὸς κατ᾽ ἐμοῦ, ἵνα με κρατήσῃ καὶ ῥίψῃ καὶ εἴπῃ· Ἐνίκησα, παρακαλῶ, δέσποτα, φώτισον τοὺς ὀφθαλμούς μου[6], ἵνα μή με ὑπὸ τὴν ὅρασιν πλήξῃ κάλλος δείξας γυναικός, ἵνα μή με ἀπὸ τῆς ἀκοῆς κρεμάσῃ μέλος ᾄδων πορνικόν, ἵνα μή μου δράξηται τῆς κόμης τῶν ἀρετῶν, ἵνα μή με σκελίσῃ ταῖς ἐπιθυμίαις καὶ φυλακίσῃ τοῖς πειρασμοῖς καὶ ῥίψῃ τῇ ἀσεβείᾳ, μήποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν[7]. 14. Μὴ χαρῶσι, δέσποτα, ὡς ἐν θεάτρῳ, οἱ κακοὶ θεωρηταὶ δαίμονες καὶ οἱ φιλοδαίμονες, ὅτι οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ[8], σκιρτῶντες καὶ γελῶντες καὶ λέγοντες· Ποῦ Δαυὶδ ὁ μεγάλα καυχώμενος καὶ λέγων· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα[9]; Πῶς ἐσαλεύθη καὶ ἔπεσεν ὁ βασιλεὺς καὶ ἀριστεὺς καὶ προφήτης τοῦ θεοῦ; Ἀλλ᾽ ἐκεῖνοι μὲν ὡς ἀντίπαλοι κατ᾽ ἐμοῦ ἀλείφονται, ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα[10], τῷ τῆς σῆς εὐσπλαγχνίας ἐλαίῳ ἀλειφόμενος καὶ

1. στ. 4 β. 2. Ἰὼβ 24, 15. 3. στ. 4 β. 4. Α᾽ Ἰω. 5, 16-17. 5. Ἰεζ. 18, 4. 6. στ. 4 β. 7. στ. 5 α. 8. στ. 5 β. 9. Ψαλμ. 29, 7. 10. στ. 6 α.

τοὺς ἀνελεήμονας δαίμονας προσευχαῖς τροπούμενος. 15. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου[1], ὅτι τοῦ θεοῦ μου καὶ σωτῆρος πατὴρ κηρυχθήσομαι, ὅτι ὁ ἐμὸς σωτὴρ τοῦ κόσμου ἔσται φωστήρ. Ἐπεὶ οὖν ἐγὼ ὁ ἐν σώματι τοὺς ἀσωμάτους ἐνίκησα διὰ σὲ τὸν ἐνισχύοντα, ᾠδὴν ἐπινίκιον τῷ εὐεργέτῃ ἀναπέμπω σοι· Ἄισω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με[2], ἐπειδὴ [187] ἡ ἀχαριστία βλασφημίας ἀδελφή, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου[3], ὅτι πάντοτέ μοι καὶ εἰς πάντα γέγονε μέγα βοήθημα καὶ καύχημα καὶ ἀγαλλίαμα. Αὐτῷ γὰρ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

XXV. ΨΑΛΜΟΣ ΙΓ΄

Εἰς τὸν ιγ΄ ψαλμόν.

Ὥσπερ ὑβριζομένου δεσπότου ὁ καλὸς οἰκέτης ὡς εὐνούστατος ἀγανακτεῖ, οὕτω καὶ ἀθετουμένου θεοῦ ὁ προφήτης τοῦ θεοῦ τὸν ἄθεον παιδαγωγεῖ λέγων, ὡς ἤκουες· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[4]. Ὥσπερ γὰρ δοῦλος φιλοδέσποτος, μαθὼν ὅτι οἱ σύνδουλοι αὐτοῦ ἀθετοῦσιν αὐτῶν τὸν κύριον, εἰς ἀπόδειξιν εὐνοίας πρὸς ἐκδικίαν πτερύσσεται καὶ ἢ χερσὶν ἰδίαις τὸν ὑβριστὴν ἀμύνεται ἢ πᾶσιν ἐκπομπεύει μισητὸν αὐτὸν ποιῶν ἢ εἰς σωφρονισμὸν καὶ φόβον τῶν ἄλλων ἀναγγέλλει τῷ δεσπότῃ καὶ βαρυτέραις πληγαῖς ἔκδοτον ἐργάζεται, τὸν στασιάσαντα πολεμῶν ὡς ἀντάρτην δεύτερον, οὕτως ὁ προφήτης, μαθὼν τὸν κτίστην ὑπὸ τοῦ κτίσματος ἀτιμαζόμενον καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ ὑβριζόμενον καὶ τὸν θεὸν ὑπὸ τοῦ ἀθέου ἀθετούμενον, ὡς λίθου πληγὴν εἰς τὴν καρδίαν λαβὼν καὶ τὸν πόνον μὴ φέρων ἀνεβόα· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[5]. 2. Ἴδε γὰρ ὅπως ἁρμονίαν ἀσπάζεται πρὸς τὸν πρὸ αὐτοῦ ψαλμόν. Ἐπειδὴ ἐν ἐκείνῳ ἀκηδιῶν ἔλεγεν· Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος; Ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ; Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; Ἕως πότε ὑψωθήσεται ὁ ἐχ[188]θρός μου ἐπ᾽ ἐμέ[6]; ὁ ἄφρων ἔλεγε μὴ εἶναι θεόν. Ὁ γὰρ κατὰ τοῦ θεοῦ ὑψούμενος πολλῷ μᾶλλον καὶ κατὰ τῶν τοῦ θεοῦ προφητῶν ὑψωθήσεται, καὶ ὁ κατὰ τοῦ δεσπότου ἐπαιρόμενος καὶ κατὰ τῶν συνδούλων ἐπαρθήσεται. Ὡς ἐρωτηθεὶς καὶ διὰ τί

1. στ. 6 β. 2. στ. 6 γ. 3. στ. 6 δ. 4. στ. 1 α. 5. ἔνθ᾽ ἀν. 6. Ψαλμ. 12, 2-3.

ὀδυνᾶσαι τὴν καρδίαν ἐν ἡμέρᾳ καὶ νυκτί[1], τάδε νῦν ἀποκρίνεται· Διὰ τί ὀδυνῶμαι; Ἐπειδὴ εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[2]. Ἀποστροφὴν θεοῦ νομίζω τὴν μετὰ τοῦ ἀθέου συναναστροφήν· λήθην αὐτοῦ περὶ ἐμοῦ ὑποπτεύω τὴν μετὰ τούτου ζωήν. Ὀδύνη γὰρ καὶ παροξυσμὸς τῷ ἁγίῳ ἡ τῶν ἀθέων ἀσέβεια. Οὕτω καὶ περὶ τοῦ Παύλου εἴρηται· Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου τοῦ Παύλου τοὺς περὶ τὸν Τιμόθεον, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ⟨ἐν αὐτῷ⟩ θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν[3]. Διὰ τί ἀσεβεῖς ζῶσι[4]; 3. Ταῦτα ὁ Δαυίδ καθ' ἱστορίαν περὶ τοῦ Σαοὺλ διὰ τὴν ἐγγαστρίμυθον εἶπεν, ὡς καὶ τὸν πεντηκοστὸν δεύτερον διὰ τὸν Δωὴκ τὰ αὐτὰ περιέχοντα. Εἶπεν ἄφρων Σαούλ· Ἴδετέ μοι γυναῖκα ἐγγαστρίμυθον καὶ ζητήσατε[5]. Ἄλλος Ἀδὰμ γέγονεν ὑπὸ γυναικὸς ἀπατώμενος. Λέγει αὐτῇ· Μάντευσαί μοι ἐν τῇ ἐγγαστριμύθῳ[6], καὶ καταλιπὼν τὴν προφητείαν εἰς μαντείαν ἐκτραχηλίζεται. 4. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[7]. Ἀσφαλισώμεθα, ἀδελφοί, μὴ εἰς τὸ τοῦ ἄφρονος ἐμπέσωμεν ναυάγιον, λόγοις τὸν θεὸν ὁμολογοῦντες, ἔργοις δὲ ἀρνούμενοι, ἀγαθὸν καὶ ἐλεήμονα λέγοντες, μὴ ἐλεοῦντες δὲ νοσοῦντα ἢ πένητα ἢ θλιβόμενον. Καὶ ὅτι οὐ μόνον διὰ λόγων, ἀλλὰ καὶ δι' ἔργων τις ἀρνεῖται θεόν, καὶ Χριστιανὸς ὀνομαζόμενος ἴσα τῷ ἄφρονι λέγει· Οὐκ ἔστι θεός, μάρτυς ὁ ἀπόστολος εἰπών· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται[8]. Ὅσῳ δὲ τὰ ἔργα τῶν λόγων πρὸς πεισμονὴν ἰσχυ[189]ρότερα, τοσοῦτον τὸ ἔργοις ἀρνεῖσθαι τὸν θεὸν ὑπὲρ τὸ εἰπεῖν ἐν στόματι ἢ καρδίᾳ βαρύτερον. 5. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[9]. Ὁ ἐν στόματι λέγων· Ἀγαπήσω σε, κύριε, καὶ ἐν τῇ καρδίᾳ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, πῶς τὸν θεὸν ἀγαπᾷ, παρακούων τοῦ εἰπόντος· Ἀγαπήσεις κύριον τὸν θεόν σου καὶ τὸν πλησίον σου ὡς σεαυτόν[10]; Ὁ δεσπότης λέγει ὅτι Ὁ ἀγαπῶν με τοὺς λόγους μου τηρεῖ[11]. Οὐκοῦν ὁ μὴ τηρῶν οὐκ ἀγαπᾷ· στόματι λέγει θεὸν καὶ τῇ καρδίᾳ λέγει· Οὐκ ἔστι θεός. Μάρτυς ὁ κύριος λέγων· Ὁ λαὸς οὗτος τῷ στόματί με τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόρρω ἀπέχει ἀπ' ἐμοῦ[12]. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[13]. Ὅτι δὲ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ οὗτος καὶ τὸν θεὸν μισεῖ, κἂν τῷ στόματι βοᾷ καὶ κράζῃ ὅτι ἀγαπᾷ θεόν, λέγει ὁ εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ ἐπιστολῇ·

1. Πρβλ. Ψαλμ. 12, 3. 2. στ. 1 α. 3. Πράξ. 17, 16. 4. Ἰὼβ 21, 7. 5. Πρβλ. Α' Βασ. 28, 7. 6. Α' Βασ. 28, 8. 7. στ. 1 α. 8. Τίτ. 1, 16. 9. στ. 1 α. 10. Πρβλ. Δευτ. 6, 5. Λευιτ. 19, 18. 11. Πρβλ. Ἰω. 14, 23. 12. Ἡσ. 29, 13. 13. στ. 1 α.

Ὁ λέγων, φησί, τὸν θεὸν ἀγαπᾶν καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ψεύστης ἐστίν· εἰ γὰρ τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακεν, οὐκ ἀγαπᾷ, τὸν θεόν, ὃν οὐχ ἑώρακεν, πῶς ἀγαπήσει[1]; Ἐπεὶ οὖν θεὸν ὁμολογεῖ εἰδέναι ὁ τοιοῦτος, καὶ μὴ φανερῶς ἀρνούμενος ἐν τῇ καρδίᾳ τὴν ἀθεΐαν χαλκεύει Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[2]. 6. Ὅθεν ταύτην τὴν ἔννοιαν βεβαιῶν ὁ προφήτης ὑποκαταβὰς λέγει· Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[3], οἱ θεὸν ὁμολογοῦντες τοῖς λόγοις, τοῖς δὲ ἔργοις ἀρνούμενοι; Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν κύριον οὐκ ἐπεκαλέσαντο[4]. Θεὸν γὰρ ὁμολογοῦσιν εἰδέναι, ἀλλ' ἐπειδὴ τοῖς ἔργοις ἠρνήσαντο, ἐπικαλούμενοι οὐκ ἐπεκαλέσαντο. Αὐτὸς ὁ κύριος λέγει· Τί με καλεῖτε κύριε, κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω[5]; Πᾶς φησίν, ὁ **[190]** ἁμαρτάνων οὐκ ἐπέγνωκε τὸν θεόν[6], ὁ Ἰωάννης λέγει. Διωκομένων γὰρ ὑπὸ τῆς ἁμαρτίας τῶν ἀρετῶν καὶ ἡ εὐσέβεια συναναχωρεῖ, τὸ παρεῖναι ἐν τῷ μὴ παρεῖναι ἔχουσα. Οὕτως οἱ υἱοὶ Ἠλεὶ υἱοὶ λοιμοὶ καὶ οὐκ εἰδότες τὸν κύριον[7], οὐκ ἐν τῷ ἀρνεῖσθαι αὐτὸν διὰ στόματος, ἀλλ' ἐν τῷ τὰς αἰσχρουργίας τελεῖν ἐν τῇ σκηνῇ. Καὶ οἱ τοκίζοντες τὸν θεὸν οὐκ οἴδασιν. Αὐτὸς λέγει· Τόκος ἐπὶ τόκῳ καὶ δόλος ἐπὶ δόλῳ· οὐκ ἠθέλησαν εἰδέναι με, λέγει κύριος[8], τὸν εἰπόντα· Ἐὰν ἐκδανειῇς ἀργύριον τῷ ἀδελφῷ τῷ πενιχρῷ, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον[9]. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[10]. Καὶ πῶς ⟨τὰ⟩ μετὰ θεόν; Οὐκ ἔστι θεός. Καὶ πῶς τὰ διὰ θεόν; Οὐκ ἔστι θεός. Καὶ πῶς τὰ ὑπὸ θεόν; Οὐκ ἔστι θεός. Καὶ πῶς πᾶσα γλῶσσα ἀνθρώπου ὀνομάζει τὸν θεόν; Ἆρα πᾶσαι αἱ μυριάδες τῶν ἀνθρώπων σφάλλονται λέγουσαι εἶναι θεόν, καὶ μόνος ὁ ἄφρων ἀληθεύει; Καὶ οὗτος νομίζει ἀληθεύειν ὁ μόνος οὕτω ψευδόμενος; Καὶ ὁ μὲν πέντε ἢ ἑπτὰ μαρτύρων ἐν διαθήκαις ἀνατρέψαι θέλων συγκατάθεσιν ἀποδοκιμάζεται· ὅταν δικάζῃ ἡ ἀλήθεια, τὴν δὲ οἰκουμενικὴν καὶ πάνδημον γλῶσσαν τοῦ κόσμου μόνος ὁ ἄφρων ἀνατρέψαι βούλεται; Καὶ πῶς οὐκ ἀδόκιμος ὄντως ἄφρων καὶ ἑαυτοῦ ἀφρονέστερος; Ἄφρων ἐν τῷ ἀρνεῖσθαι, ἀφρονέστερος ἐν τῷ ἀναιδεύεσθαι. Κἂν γὰρ οἱ τοῦ κόσμου ἄνθρωποι διάφορον περὶ θεοῦ ἐβλάστησαν ἔννοιαν, ἀλλ' ὅμως τὸν θεμέλιον τοῦ ὀνόματος οὐδεὶς παρεσάλευσεν. 8. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι

1. Πρβλ. Α' Ἰω. 4, 20. 2. στ. 1 α. 3. στ. 4 α. 4. στ. 4 β. 5. Λουκ. 6, 46. 6. Πρβλ. Α' Ἰω. 3, 6. 7. Α' Βασ. 2, 12. 8. Ἱερ. 9, 5. 9. Ἔξ. 22, 25. 10. στ. 1 α.

θεός[1]. Οὐκ ἔστιν ὁ θεμέλιος, καὶ πῶς ἕστηκεν ἡ οἰκοδομή; Οὐκ ἔστιν ἡ τρόπις, καὶ πῶς τὸ πλοῖον συνέστηκεν; Οὐκ ἔστιν ὁ ναυπηγός, καὶ πῶς ἡρμολόγηται ἡ ναῦς; Οὐκ ἔστιν ὁ οἰκοδόμος, καὶ πῶς γέγονεν ἡ οἰκία; Οὐκ ἔστιν [191] ὁ ἀρχιτέκτων, καὶ τὶς τὴν πόλιν ἔκτισεν; Οὐκ ἔστιν ὁ γεωργός, καὶ πῶς αἱ χῶραι τὰ δράγματα ἤνεγκαν; Οὐκ ἔστιν ὁ μουσικός, καὶ πῶς ἐν τῇ λύρᾳ τοῦ κόσμου τὸ μέλος ὑφαίνεται; Οὐκ ἔστιν ὁ προνοητής, καὶ πῶς διὰ πάντων ὁδεύει ἡ πρόνοια; Οὐκ ἔστιν ὁ ἡνίοχος, καὶ πῶς τὸ ἅρμα τῶν τεσσάρων ἐλαύνεται στοιχείων; Οὐκ ἔστιν ὁ ἀνδριαντοποιός, καὶ πῶς οἱ ἄνθρωποι ὡς ἀνδριάντες ἐν τῷ κόσμῳ γεγόνασιν; Οὐκ ἔστιν ὁ καμαροποιός, καὶ τίς σοι τὸν οὐρανὸν ἐκαμάρωσεν; Οὐκ ἔστιν ὁ χρυσοχόος, καὶ τίς σοι ὡς ὁλόχρυσον δίσκον ὡς ἐν τραπέζῃ τὸν ἥλιον ἐν οὐρανῷ ἔθηκεν; Οὐκ ἔστιν ὁ λαμπαδοῦχος, καὶ τίς σοι ὡς ἀργυρᾶν λαμπάδα ἐν νυκτὶ τὴν σελήνην ἔδωκεν; Οὐκ ἔστιν ὁ φωτίζων, καὶ τίς σοι φωταγωγοὺς καὶ φεγγίτας τοὺς φωστῆρας ἔδωκεν; Οὐκ ἔστιν ὁ ποιῶν φῶτα μεγάλα μόνος, καὶ τίς σοι τὴν λυχναψίαν τῶν ἀστέρων εἰς τὸ ὕψος ἔθηκε, κατὰ τὸν προφήτην τὸν λέγοντα· Τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ, τὸν ἥλιον εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὴν σελήνην εἰς ἀρχὰς τῆς νυκτός[2]; Οὐκ ἔστιν ὁ δημιουργός, καὶ πῶς ἡ καλλονὴ τῶν κτισμάτων τὸν κτίστην μαρτύρεται; Ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται[3]. 9. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[4]. Πάντα τὰ ἐν τῷ κόσμῳ γινόμενα καὶ πραττόμενα καὶ ἐνεργούμενα ἔχει τὸν ἐφεστῶτα καὶ ἀνύοντα, καὶ μόνος ὁ κόσμος οὐκ ἔχει τὸν κοσμήσαντα; Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[5]. Εἰ οὐκ ἔστι θεός, τί ποιεῖς ἐν τοῖς τοῦ θεοῦ; Ἐν τῇ οἰκίᾳ τοῦ θεοῦ μένεις καὶ τὸν δεσπότην τοῦ οἴκου ἀρνῇ; Ἢ δὸς τὸ ἐνοίκιον τὴν εὐχαριστίαν ἢ καὶ τοῦ οἴκου ἔξελθε. Τί καὶ τὸν οἶκον καπνίζεις βλασφημίας ἐρυγῇ; 10. Ἄφρονα δὲ λέγει νῦν [192] οὐ τὸν ἔκφρονα ἢ τὸν λειπόφρονα ἢ τὸν παράφρονα, ἀλλὰ τὸν κακόφρονα· ἄφρονα, οὐ τὸν τῆς ἐμφύτου καὶ κοινῆς φρονήσεως τῶν ἀνθρώπων ἐστερημένον, ἀλλὰ τὸν τὴν μίαν τῶν τεσσάρων ἀρετῶν τὴν φρόνησιν ἀποστραφέντα, τὴν λαμπάδα τῆς ψυχῆς, τὴν βασιλίδα τῶν λογισμῶν, τὴν διδάσκαλον τῶν καλῶν, περὶ ἧς ὁ παροιμιαστὴς ἔλεγε· Καὶ ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν[6]. Καὶ πάλιν· Κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν, μὴ ἐπιλάθῃ[7]. Οὐκ ἂν δὲ τῷ τὸ ἡγεμονικὸν βλαβέντι καὶ τὴν ἔμφυτον φρόνησιν ἀποβαλόντι καὶ τὸν νοῦν πηρωθέντι ἔλεγε· Κτῆσαι σοφίαν καὶ σύνεσιν[8], ἐπειδὴ κἂν θέλῃ οὐ δύναται, ἀπολέσας τὸ τῆς φρονήσεως ὄργανον. 11. Καὶ ὅτι ὁ λεγόμενος νῦν

---

1. στ. 1 α. 2. Πρβλ. Ψαλμ. 135, 7-9. 3. Σοφ. Σολ. 13, 5. 4. στ. 1 α. 5. ἔνθ' ἀν. 6. Παρμ. 19, 8. 7. Παρμ. 4, 5. 8. Πρβλ. ἔνθ. ἀν.

ἄφρων οὐκ ἦν τῶν κατὰ φύσιν ἐστερημένος φρενῶν, βλέπε ὅπως δεινότατος ἦν ἐν φρονήσει ἀφ᾽ ὧν τὸ *Οὐκ ἔστι θεός*[1] διὰ γλώσσης οὐκ εἶπεν οὐδὲ διὰ στόματος ἐλάλησεν, ἀλλ᾽ ἐν τῇ καρδίᾳ τὴν κακίαν ἔκρυψεν· ᾔδει γὰρ ὅτι κινδυνεύσει ταύτην ἐρευξάμενος. Ἐπειδὴ γὰρ ἐν ἐκείνοις τοῖς καιροῖς ὁ τὸν θεὸν βλασφημῶν ἢ τοῦτον ἀρνούμενος ἐλιθάζετο—καὶ μάρτυς ὁ Ναβουθέ, ὁ ὡς βλάσφημος κρινόμενος καὶ λιθαζόμενος[2]—ἵνα μὴ τοῦτο πάθῃ ὁ πονηρόφρων, ἐν καρδίᾳ τὴν ἀθεΐαν ἔγλυψε, ναὸν τῆς ἀσεβείας τὴν ἑαυτοῦ καρδίαν ποιησάμενος. 12. *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός*[3]. Εἰ γὰρ ἦν λειπόφρων καὶ τῶν κατὰ φύσιν φρενῶν ἔρημος, οὐ λέγω ἐν καρδίᾳ μόνον, ἀλλ᾽ εἰ καὶ διὰ στόματος εἰρήκει· *Οὐκ ἔστι θεός*[4], οὐκ ἂν οὔτε παρὰ τῷ θεῷ οὔτε παρὰ ἀνθρώποις ἐκινδύνευσεν. Εἰ γὰρ βασιλεὺς πολλάκις, ὁ τῆς οἰκουμένης ἡνίοχος, ὑπὸ ἄφρονος καὶ μωροῦ ὑβριζόμενος ἀνέχεται, ἐλεῶν τὴν φύσιν ἣν τὸ πάθος ἐλῄστευσε, πολλῷ μᾶλ **[193]** λον τὸν κατὰ φύσιν ἄφρονα βλασφημοῦντα οὐκ ἂν οὔτε θεὸς οὔτε ἄνθρωπος ἠμύνατο, ἀλλὰ ὡς ἄνθρωπον παραλαλοῦντα συγγνώμης ἠξίωσε. Διὸ καὶ οἱ δαιμονιῶντες ἢ μανέντες βλασφημοῦντες οὐ κρίνονται. 13. Καὶ πᾶς δὲ ὁ τὸ πολύθεον θρησκεύων λέγει *Οὐκ ἔστι θεός*[5]. Ὡς γὰρ ἡ πολυανδρία ἀνανδρία—*Πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ*[6]—οὕτω καὶ τὸ πολύθεον ἄθεον. Ἡ γὰρ τῶν πολλῶν θεῶν παρείσδυσις τοῦ ἑνός ἐστιν ἄρνησις. Καὶ ὅτι οἱ πολύθεοι *ἄθεοι* λέγονται, ἄκουσον τοῦ ἀποστόλου Ἐφεσίοις γράφοντος· *Ὑμεῖς ποτε τὰ ἔθνη, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ*[7]. Καὶ πῶς ἄθεοι Ἐφέσιοι; Ἔνθεν εἴδωλα, ἐκεῖθεν ἀγάλματα, ἐκεῖ ἡ νεωκόρος Ἄρτεμις, ἐκεῖ Δημήτριος ἀργυροκόπος ποιῶν ναοὺς ἀργυροῦς τῆς Ἀρτέμιδος· τοσαύτη θεῶν ἀγέλη, καὶ πῶς Ἐφέσιοι ἄθεοι; Ἀλλὰ διὰ τοῦτο ἄθεοι, ὅτι πολλοὺς θεοὺς χειροτονήσαντες τοῦ ἑνὸς ἐξέπεσαν. *Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός. Διεφθάρησαν*[8]. Ἀπὸ τοῦ πρώτου ἄφρονος ἐπὶ τοὺς μαθητὰς αὐτοῦ διέβη. Πρῶτος ἄφρων ὁ διάβολος, ὁ πρῶτος τῆς ἀφροσύνης σπορεύς, ὁ πρῶτος τῆς πολυθεΐας κῆρυξ· *Ἔσεσθε ὡς θεοί*[9]. Ὁ δὲ πολλοὺς λέγων τὸν ἕνα ἠρνήσατο. 14. Ἄφρων καὶ ὁ τῶν Ἰουδαίων λαός—*Καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομα κυρίου*[10]· περὶ Χριστοῦ λέγων· *Οὐκ ἔστι θεός*[11]. *Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι*

1. στ. 1 α. 2. Πρβλ. Γ′ Βασ. 20, 13 (Μασ. 21, 13). 3. στ. 1 α. 4. ἔνθ᾽ ἀν. 5. ἔνθ᾽ ἀν. 6. Ἰω. 4, 18. 7. Ἐφ. 2, 11-12. 8. στ. 1 α. 9. Γέν. 3, 5. 10. Ψαλμ. 73, 18. 11. στ. 1 α.

ἁμαρτωλός ἐστιν[1]. Οἱ δὲ μήτε προφήτην αὐτὸν λέγοντες εἶναι πῶς θεὸν εἶχον εἰπεῖν; Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ θεός[2], ἀντὶ τοῦ· Σὺ οὐκ εἶ θεός. Ὁ δὲ Χριστός· Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις [194] ὑμῶν[3]; Εἶπεν ἄφρων, καὶ τί εἶπεν; Ὅτι ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός[4]. Πανταχοῦ γάρ ἐστιν, ἐν δὲ τῇ καρδίᾳ τοῦ ἄφρονος οὐκ ἔστιν. Ἔλεγεν ὁ θεὸς τῇ συναγωγῇ· Ἀνθ' ὧν οὐκ ἔλαβές με ἐν τῇ διανοίᾳ σου, ἀλλ' ἀπέρριψάς με ὀπίσω τοῦ νώτου σου[5]. 15. Πρῶτος ἄφρων ἐξ ἑαυτοῦ ὁ τῆς ἀφροσύνης σπορεὺς ὁ διάβολος. Καὶ διὰ τί ἄφρων; Ὅτι φρόνιμος ὢν ἀφροσύνης πρᾶγμα ἐπετήδευσεν· Ὁ δὲ ὄφις ἦν φρονιμώτατος[6]. Καὶ τί ἐπετήδευσεν; Ἰσόθρονος τοῦ θεοῦ γενέσθαι ἠθέλησεν εἰπών· Θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ[7]. Ἦρε τὸ θεὸς καὶ τὸ ὕψιστος ἔθηκεν, αἰσχυνόμενος ὀνομάσαι ὃν ἤδη ἠρνήσατο. Οὕτω καὶ πᾶς αἱρετικὸς δεινότατος ἐν καιρῷ διωγμοῦ τῷ ἀρχιερεῖ διαλεγόμενος οὔτε ἀρχιερέα αὐτὸν καλεῖ, οὔτε ἐπίσκοπον, οὔτε θεοσεβέστατον, οὔτε ἅγιον, ἀλλὰ τί; Ἡ τιμιότης σου, ἡ σύνεσίς σου, ἡ φρόνησίς σου, ἡ δικαιοσύνη σου, καὶ τὰ κοινὰ αὐτῷ προσφέρει ὀνόματα, τὰ τῆς ἀξίας αὐτοῦ ἀρνούμενος. Τοῦτο ὁ διάβολος τότε ἐπὶ τοῦ θεοῦ ἐποίησεν· Ἔσομαι ὅμοιος τῷ ὑψίστῳ[8], οὐ τῷ θεῷ, ἀλλὰ τῷ ὑψίστῳ. 16. Καὶ πρόσεχε ἀκριβῶς, παρακαλῶ, ὅπως ὁ προφήτης ἀκριβὴς κατήγορος τοῦ διαβόλου γέγονεν· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ[9]. Οὐκ εἴρηκεν ὅτι λέγει, ἀλλ' ὅτι εἶπεν· ἅπαξ ἐτόλμησε καὶ εἶπε, καὶ ἐπειδὴ εἰπὼν ἀπερρίφθη ὡς ἀντάρτης ἐκ τῶν οὐρανῶν, οὐκέτι δι' ἑαυτοῦ εἰπεῖν ἐτόλμησεν. Ἐπειδὴ γὰρ ἅπαξ μόνον εἶπε· Θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ[10], καὶ θεὸν ἀρνούμενος πεῖραν ἔλαβε θεοῦ ἄνωθεν ῥιπτόμενος καὶ κάτω ὑπὸ [195] ἀνθρώπων καταπατούμενος, οὐκέτι λοιπὸν ἐτόλμησεν εἰπεῖν· Οὐκ ἔστι θεός[11], ἀλλ' εἰρωνείᾳ καὶ ὑποκρίσει τὸν θεὸν ὠνόμαζε· Τί ὅτι εἶπεν ὁ θεός· Οὐ μὴ φάγητε ἀπὸ τοῦ ξύλου[12]; Οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ[13]. Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου εἰσίν[14]. Ἐπεὶ οὖν ἅπαξ εἶπεν ἄθεον δόγμα, οὐκέτι τολμᾷ εἰπεῖν. Οἶδε γὰρ τί ἔπαθεν. Οὐ λέγει ἄφρων, ἀλλ' Εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[15]. 17. Οὐκέτι γὰρ τοῦτο λέγει ἀμέ-

1. Λουκ. 7, 39. 2. Μάρκ. 2, 7. 3. Μάρκ. 2, 8. 4. στ. 1 α. 5. Πρβλ. Ἠσ. 57, 11. Γ' Βασ. 14, 9. 6. Γέν. 3, 1. 7. Πρβλ. Ἠσ. 14, 13-14. 8. Ἠσ. 14, 14. 9. στ. 1 α. 10. Πρβλ. Ἠσ. 14, 13-14. 11. στ. 1 α. 12. Γέν. 3, 1. 13. Λουκ. 4, 34. 14. Πράξ. 16, 17. 15 στ. 1 α.

σως καὶ δι' ἑαυτοῦ, ἀλλ' ἐν καρδίᾳ αὐτοῦ εἶπεν, ἐν παντὶ τῷ ὁμόφρονι αὐτοῦ καὶ ὁμοτρόπῳ καὶ ἀσεβεῖ. Εἶπεν ἐν τῷ Φαραώ· Οὐκ οἶδα τὸν κύριον[1], καὶ βυθὸν αὐτῷ θαλάσσης τάφον προεξένησεν. Εἶπε διὰ τοῦ Σεναχηρεὶμ τοῦ Ἀσσυρίου ὅτι τὸν Ἐζεκίαν ὁ θεὸς οὐ δύναται ῥύσασθαι ἐκ τῶν χειρῶν μου[2], καὶ ταῖς χερσὶ τῶν υἱῶν αὐτοῦ σφαγῆναι αὐτὸν ἐποίησεν. Εἶπε διὰ τοῦ Ναβουχοδονόσορ· Τίς ἐστι θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς μου[3]; Τοῖς παισὶ καὶ ὁ θεοῦ ἰσχυρότερος πάντων ἀνθρώπων ὤφθη ἀτιμότερος, χόρτον ὡς βοῦς ψωμιζόμενος[4], ἵνα μάθῃ ὅτι ἔγνω βοῦς τὸν κτησάμενον[5]· αὐτὸς δὲ αὐτὸν ἠρνήσατο. Τὸν ἀρνησίθεον Ἰούδαν ἀγχόνη ἀπώλεσεν, ὅτι τὸν θεὸν αὐτοῦ ὡς ἄνθρωπον παραδοῦναι ἐποίησε· Τοῦ διαβόλου, φησίν, ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα ἵνα αὐτὸν παραδῷ[6]· Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· Οὐκ ἔστι θεός[7]. Εἰ γὰρ θεὸν αὐτὸν τότε ἔλεγεν, οὐκ ἂν εἰς θάνατον παρέδωκε. Τοὺς Ἰουδαίους κυριοκτονεῖν ἐδίδαξεν, ἐπειδὴ ἔπεισεν αὐτοὺς ὅτι Ἰησοῦς οὐκ ἔστι θεός· Τοῦτον οὐκ οἴδαμεν πόθεν ἐστίν[8].

18. Ἐπεὶ οὖν ἀδύνατα ἐπιτηδεύσαντες φθορᾷ παρεδόθησαν, λέγει ὁ προφήτης πενθῶν· Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι[9]. Τῷ διαβόλῳ [196] γὰρ μαθητεύσαντες, τῷ πτώματι τοῦ διαβόλου ἔπεσαν· ὡς ἐκεῖνος ἀπὸ τῶν οὐρανῶν, οὕτως οὗτοι ἀπὸ τῶν θρόνων τῶν βασιλικῶν. Ὧι γάρ τις ἀκολουθεῖ, τούτῳ καὶ συμμερίζεται. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν[10] αὐτῶν. Διεφθάρησαν, ὅτι φθορὰν τῷ ἀφθάρτῳ ἐπεστράτευσαν· Καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου[11]. 19. Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν διεφθάρησαν, ἀλλὰ καὶ ἐβδελύχθησαν. Διὰ τί; Ὅτι βδέλυγμα ἐρημώσεως[12] τὴν ἀσέβειαν ἐν τῷ ναῷ τῆς καρδίας ἔστησαν. Ἐν ἐπιτηδεύμασι. Διὰ τί; Ὅτι ἃ ἡ φύσις ἠρνήσατο, ταῦτα ἡ κακὴ διάθεσις ἐπενόησε. Διεφθάρησαν, ὡς ὁ Φαραὼ καὶ ὁ Ναβουχοδονόσορ. Διεφθάρησαν, ὅτι τραυματισθέντες καὶ σηπόμενοι καὶ ὄζοντες καὶ εἰς ἰχῶρας ἀναλυόμενοι τὸν ἰατρὸν οὐκ ἐπεζήτησαν. Ἐβδελύχθησαν, ὅτι ὡς χοῖροι ταῖς ἁμαρτίαις βορβορούμενοι καὶ ὡς κύνες ἐπὶ τὸν ἑαυτῶν ἔμετον ἀνακάμπτοντες μισητοὶ γεγόνασιν[13]. Οὕτω γὰρ γέγραπται· Βδέλυγμα ἁμαρτωλοῖς θεοσέβεια[14]. Ἐπεὶ οὖν τὴν θεογνωσίαν ἐβδελύξαντο, ὑπὸ τῶν θεοφιλῶν ἐβδελύχθησαν. Διεφθάρησαν, ὡς

1. Ἔξ. 5, 2. 2. Πρβλ. Δ' Βασ. 18, 29. Ἠσ. 36, 14-20. 3. Δαν. 3, 15. 4. Πρβλ. Δαν. 4, 30. 5. Ἠσ. 1, 3. 6. Ἰω. 13, 2. 7. στ. 1 α. 8. Ἰω. 9, 29. 9. στ. 1 β. 10. ἔνθ' ἀν. 11. Ρωμ. 1, 23. 12. Πρβλ. Ματθ. 24, 15. Μάρκ. 13, 14. 13. Πρβλ. Β' Πέτρ. 2, 22. Παρμ. 26, 11. 14. Σοφ. Σειρ. 1, 25.

ὑπὸ σητῶν ἱμάτιον, ὡς ὑπὸ ἰοῦ σίδηρος ἀφανιζόμενος. Ἐβδελύχθησαν, ὡς οἱ νεκρῶν ὀστέων καὶ ἀποθανόντων ἀψάμενοι. Διὰ τοῦτο γὰρ ὁ νόμος τὸν ἀψάμενον νεκροῦ βδελυκτὸν ἐποίει[1], ἐπειδὴ ὁ Ἰούδας, νεκρὸν ἀεὶ τὸν Χριστὸν ψηλαφῶν καὶ ζῶντα οὐ βλέπων, βδελυκτὸς ἐγένετο· Τῇ διαφθορᾷ σου, Ἰσραήλ, τίς βοηθήσει[2]; 20. Εἶτα, ἵνα δείξῃ τὸν τῆς ἀσεβείας καὶ ἀθεΐας καρπόν, ἐπάγει· Οὐκ ἔστι ποιῶν χρηστότητα[3]. Ὁ γὰρ τὸν θεὸν ἀρνησάμενος καὶ τὸν προνοητὴν μὴ λογιζόμενος, οὐ θάνατον, οὐ συντέλειαν, οὐκ ἀνάστασιν, οὐ κρίσιν, οὐκ ἀνταπόδοσιν ἐκδέχεται. Διὸ οὐδὲ χρηστόν τι ἢ ἀγαθὸν ἐργάζεται. **[197]** Ὥσπερ γὰρ ὁ βασιλέα τινὰ ἐπιγραφόμενος τοῖς νόμοις αὐτοῦ καὶ τοῖς διατάγμασι στοιχεῖ, ὁ δὲ τυράννῳ ἀκολουθῶν οὐ ποιεῖ τὰ τοῦ βασιλέως διατάγματα, οὕτως ὁ θεὸν ἀρνούμενος τὰς τοῦ θεοῦ ἐντολὰς ἀποστρέφεται καὶ ἄχρηστος καὶ ἐπιβλαβὴς τῇ πολιτείᾳ γίνεται. 21. Οὐκ ἔστι ποιῶν χρηστότητα[4]· Οὐχ Ἡρῴδης τὰ ἄκακα νήπια τῆς Βηθλεὲμ ἀναιρῶν· οὐκ Ἰουδαῖος τὸν ἐκβάλλοντα τὰ δαιμόνια Βεελζεβοὺλ ἀποκαλῶν· οὐ νομικὸς πειράζων· οὐκ ἀρχιερεὺς ὑβρίζων· οὐ γραμματεὺς ἀθετῶν· οὐ Φαρισαῖος ἐμπαίζων· οὐ Σαδδουκαῖος ἀντιλέγων· οὐκ Ἰούδας πωλῶν καὶ ὑπηρέτης ῥαπίζων· οὐ Πιλᾶτος κατακρίνων· οὐ λαὸς κράζων· Ἆρον, ἆρον, σταύρωσον αὐτόν[5]· οὐ στρατιῶται δεσμοῦντες· οὐχ οἱ ὄχλοι ἐμπτύοντες, κολαφίζοντες, καλάμῳ τύπτοντες, ἀκάνθινον στέφανον πλέκοντες, σταυροῦντες· Ἐδίψησεν ἐπὶ σταυροῦ καὶ ὄξος καὶ χολὴν ποτίζεται[6]. Οὐκ ἔστι ποιῶν χρηστότητα[7]. 22. Ἐπιτήρει γὰρ ἀσφαλῶς ὅτι ἡ λέξις αὕτη ἐπὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ μάλιστα τὸ πέρας ἐδέχετο. Ἐπὶ μὲν γὰρ τοῦ Δαυίδ, ὅτε ταῦτα ἐλέγετο, ἦσαν οἱ ποιοῦντες χρηστότητα, οἱ μακάριοι προφῆται οἱ συνόντες τῷ Δαυίδ. Ἀλλὰ καὶ ὅτε ἐτέχθη ὁ Χριστός, ἦσαν οἱ περὶ τὸν Ἰωσήφ, τὸν Ζαχαρίαν καὶ τὸν Συμεῶνα δίκαιοι καὶ οἱ ἀπόστολοι ποιοῦντες χρηστότητα, οἱ μὲν θαυμάζοντες, οἱ δὲ ἐν ἀγκάλαις περιέποντες. Μόνον δὲ ἐπὶ τῆς σταυρώσεως οὐκ ἦν ὁ ποιῶν χρηστότητα. 23. Καὶ οὐκ εἶπεν· Οὐκ ἔστιν ὁ λαλῶν χρηστότητα, ὅτι ὁ κεντυρίων καὶ ὁ λῃστὴς χρηστὰ περὶ αὐτοῦ ἔλεγον— Μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου[8]. Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ[9]—ἀλλ' οὐκ ἔστι ποιῶν χρηστότητα[10], ὅτε καὶ οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. **[198]** Ἰωάννης γυμνὸς ἀναχωρεῖ. Πέτρος ἀρνεῖται. Οἱ μαθηταὶ φεύγουσι. Τῆς μητρὸς αὐτοῦ Μαρίας τὴν ψυχὴν ἡ ῥομφαία[11] τῆς ἀμφιβολίας διέρχεται. Ἐπεὶ οὖν ἐν τῷ πάθει οὐδεὶς ἔδειξε τὸν τῆς ἀγάπης καρπόν, οὐκ ἔστι ποιῶν

1. Πρβλ. Ἀριθμ. 19, 16. 2. Ὠσηὲ 13, 9. 3. στ. 1 γ. 4. ἔνθ' ἀν. 5. Ἰω. 19, 15. 6. Πρβλ. Ματθ. 27, 34. 7. στ. 1 γ. 8. Λουκ. 23, 42. 9. Μάρκ. 15, 39. 10. στ. 1 γ. 11. Πρβλ. Λουκ. 2, 35.

χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός[1], οὐδὲ τοῦ ἑνὸς ἐκείνου τοῦ στρατιώτου τοῦ καὶ μετὰ θάνατον τῇ λόγχῃ αὐτοῦ νύξαντος τὴν πλευράν[2]. 24. Καὶ διὰ τί, ὦ προφῆτα; Πρὸ τῆς ἐν σαρκὶ παρουσίας αὐτοῦ καὶ τῆς ἐνανθρωπήσεως οὐκ ἐπεσκέψατο ὡς ἰατρὸς νοσοῦντα τὸν κόσμον; Ναί, ἐπεσκέψατο· ἐπεζήτησε βοηθῆσαι καὶ σῶσαι ἠθέλησεν, ἀλλ' οὐδεὶς ἰατρευθῆναι καὶ σωθῆναι ἠθέλησε. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε τοῦ ἰδεῖν εἰ ἔστι συνίων ἢ ἐκζητῶν τὸν θεόν[3], ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν[4]. Καὶ ἐπληροῦτο τὸ Δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν, ἐκ τοῦ πατρὸς ὁ Χριστός· Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν[5], ἐκ τῆς παρθένου ὁ κύριος. 25. Ἀκούων δὲ ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε[6], μὴ τῆς ἀσωμάτου καὶ θείας φύσεως σκύλσιν ἢ καμπυλότητα ἢ γονυκλισίαν ἢ αὐχένος ἐπίνευσιν νόμιζε, ἀλλὰ τὴν συγκατάβασιν αὐτοῦ καὶ τὴν φιλανθρωπίαν καὶ τὴν ἐποπτείαν μάνθανε. Ὥσπερ γὰρ κεφαλὴν καὶ ὀφθαλμοὺς καὶ ὦτα καὶ στόμα καὶ χεῖρας καὶ πόδας ἔχειν λέγεται, καὶ καθέζεσθαι καὶ ἀνίστασθαι, καὶ οὐ πάντως ἐκ μελῶν καὶ μερῶν καὶ σχημάτων σύγκειται, οὕτω καὶ διακύπτει, οὐκ αὐτὸς καμπτόμενος, ἀλλ' ἡμᾶς φιλανθρωπευόμενος. Τὸ δὲ Ἐκ τοῦ οὐρανοῦ διέκυψεν[7], οὐχ ὅτι ἐν τῷ φαινομένῳ οὐρανῷ θυρίδας ἢ θύρας ἐποίησε καὶ ἀνοίξας διέκυψεν, ἀλλ' ὅτι ἐκ τῶν οὐρανίων ταγμάτων, τῶν νοερῶν καὶ ἀσωμάτων καὶ ἀθανάτων, τὴν ἀνθρωπότητα ἐπεσκέψατο. Ὥσπερ γὰρ γῆ οἱ ἄνθρωποι λέγονται— Ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ[8], Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός[9] — **[199]** οὕτω καὶ οὐρανὸς λέγεται τὰ ἐπουράνια τάγματα, ἀφ' ὧν θεὸς τὴν γῆν, τὴν ἀνθρωπότητα, ἐφορᾷ. 26. Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψε τοῦ ἰδεῖν[10], οὐχ ἵνα τότε ἴδῃ, ἀλλ' ἵνα τότε σώσῃ. Τοῦ ἰδεῖν, οὐχ ἵνα τότε μάθῃ, ἀλλ' ἵνα τότε βοηθήσῃ. Τοῦ ἰδεῖν εἰ ἔστι συνίων ἢ ἐκζητῶν τὸν θεόν[11], ἵνα ὡς φίλον ἀσπάσηται, ἵνα ὡς δίκαιον ἀγαπήσῃ, ἵνα ὡς τῷ Νῶε εἴπῃ· Σὲ μόνον δίκαιον εἶδον ἐν τῇ γενεᾷ ταύτῃ[12], ἵνα ὡς πιστῷ ἐμφανίσῃ· Ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ[13]. Τοῦ ἰδεῖν εἰ ἔστιν ἄρρωστος ἐπιζητῶν τὸν ἰατρόν, εἰ ἔστι πένης λαὸς ἐθνῶν ἐπιζητῶν τὸν Χριστόν, τὸν θησαυρὸν τοῦ πατρός. Τοῦ ἰδεῖν εἰ ἔστι συνίων, ἵνα τούτῳ ὡς φρονίμῳ καὶ συνετῷ διαλεχθῇ, ἢ ἐκζητῶν τὸν θεόν, ἵνα τούτῳ εὑρεθῇ. 27. Εἶτα, ὡς εἶδον οἱ προφῆται ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε τοῦ ἰδεῖν[14], παρακαλοῦσιν

---

1. στ. 1 γ. 2. Πρβλ. Ἰω. 19, 34. 3. στ. 2. 4. στ. 3 α. 5. Ψαλμ. 84,12. 6. στ. 2 α. 7. ἔνθ' ἀν. 8. Γέν. 3,19. 9. Γέν. 18,27. 10. στ. 2 α. 11. στ. 2 β. 12. Πρβλ. Γέν. 7, 1. 13. Σοφ. Σολ. 1, 2. 14. στ. 2 α.

αὐτόν· Οὐκ ἀρκεῖ μόνον, δέσποτα, τὸ διακύψαι σε ἐξ οὐρανοῦ· ὡς διέκυψας καὶ κατάβηθι· Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι[1]. Ἐλθέ, ὁ υἱὸς τοῦ πατρός, ἐκζήτησον τὸν κατ' εἰκόνα. Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν[2]. Τὸ τῶν ἀνθρώπων στρατόπεδον ὅλον τὸν τύραννον ἔνευσε· τῶν στρατηγῶν τῶν προφητῶν οὐκέτι ἀνέχονται. Ἐλθέ, ὁ βασιλεύς, καὶ φάνηθι, καὶ δυσωποῦνται τὸ ἀξίωμα. Πάντες ἐξέκλιναν τὰς ὁδοὺς τῶν προφητῶν· Ἐλθέ, ἡ ὁδός, καὶ οἱ πλανηθέντες ἀνακάμπτουσιν. Εἰπὼν δὲ ἐξέκλιναν, ἔδειξεν ὅτι ἐκ φύσεως ὀρθὰ βαδίζειν ἔμαθον, ἀπὸ κακῆς δὲ προαιρέσεως εἰς τὴν πλάνην ἐξέκλιναν, κατὰ τὸ **[200]** γεγραμμένον ἐν τῷ Ἐκκλησιαστῇ, ὅτι ὁ θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, καὶ αὐτὸς εὗρεν ἑαυτῷ λογισμοὺς πολλούς[3]. Πάντες ἐξέκλιναν, ὡς μόσχοι κατὰ τῶν φαράγγων φερόμενοι. Ἅμα ἠχρειώθησαν, ὡς πίθοι τετρημένοι καὶ ἀσκοὶ ῥήγματα ἔχοντες καὶ πρὸς ὃ γεγόνασι μηκέτι χρησιμεύοντες. Καὶ οὐ κατὰ μικρόν, ἀλλὰ πάντες ὁμοῦ ἅμα ἠχρειώθησαν, ἐνὶ δικτύῳ ἀσεβείας ἅμα συγκλειόμενοι. Πάντες ἐξέκλιναν. Εἰ ἐξέκλιναν, δῆλον ὅτι εὐθεῖς ἦσαν ἐκ φύσεως· ὁ γὰρ θεὸς ποιήσας τὸν ἄνθρωπον, εὐθῆ αὐτὸν ἐποίησε καὶ οὐδὲν κακὸν ἐν φύσει. Καὶ ἐν ἄλλοις· Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς[4].

29. Καὶ τῷ εἰπεῖν· Ἅμα ἠχρειώθησαν, ἔδειξεν ὅτι εὔχρηστοι ἐν φύσει γενόμενοι, ἄχρηστοι ἐξ ἰδίας προαιρέσεως τὸ παρὰ φύσιν γεγόνασι. Διέκυψεν οὖν ὁ κύριος τοῦ ἰδεῖν ἐξ οὐρανοῦ εἰ μετανοοῦσιν οἱ ἐκκλίνοντες, ἵνα σωτηρίας τύχωσιν, εἰ ἀμεταμέλητα ἁμαρτάνουσιν, ἵνα αὐτοκατάκριτοι γένωνται. Καὶ ὅτι διὰ τοῦτο ἐπικύπτει καὶ καταβαίνει καὶ ἐπισκέπτεται ὁ κύριος, ἢ ἵνα σώσῃ ἢ ἵνα κατακρίνῃ, ἄκουσον αὐτοῦ τοῦ κυρίου λέγοντος· Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα· καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται, εἰ δὲ μή, ἵνα γνῶ[5]. Σοδομῖται, ἐπειδὴ πάντες ἐξέκλιναν, διὰ τοῦτο ἅμα ἠχρειώθησαν· κατέβη γὰρ τὸ πῦρ καὶ ὡς ὕλην αὐτοὺς ἀνήλωσε. Νινευῖται ἐξέκλιναν, ἀλλ' ἐπειδὴ ταχέως ἐπὶ μετάνοιαν ὥδευσαν, διὰ τοῦτο ἅμα οὐκ ἠχρειώθησαν, ἀλλ' ἅμα ἐσώθησαν.

30. Εἶδες πῶς κύριος ἐπισκέπτεται, ἢ ἵνα σώσῃ ἢ ἵνα κατακρίνῃ. Διὰ τοῦτο καὶ ὁ προφήτης Ὠσηὲ ἔλεγεν· Ἀκούσατε λόγον κυρίου, **[201]** υἱοὶ Ἰσραήλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν, διότι οὐκ

---

1. Ψαλμ. 143, 5. 2. στ. 3 α. 3. Πρβλ. Ἐκκλ. 7, 29. 4. Ψαλμ. 118, 119. 5. Γέν. 18, 20-21.

ἔστιν ἀλήθεια οὐδὲ ἔλεος οὐδὲ ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς ἀρὰ καὶ ψεῦδος καὶ φόνος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι[1]. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν[2], καὶ διὰ τοῦτο ὁ κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψε[3]. 31. Πῶς διέκυψεν; Ἢ σείων τὸ πᾶν ἢ κεραυνοὺς πέμπων ἢ φόβητρα ποιῶν καὶ δεικνύων τὴν ἑαυτοῦ ἀγανάκτησιν, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν[4]; Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψεν[5], ἵνα ἴδῃ ἡ γῆ, ἡ ἀνθρωπότης, ἀγανακτοῦντα δεσπότην, καὶ ἁμαρτάνουσα παύσηται. Ὥσπερ γὰρ οἰκετῶν κάτω ἐν αὐλῇ ἢ ἐν πλατείᾳ ἀτακτούντων ἄθεσμα δεσπότης ἢ βασιλεὺς παρακύπτει ἄνωθεν, ἵνα ἰδόντες αὐτὸν οἱ οἰκέται φοβηθῶσι καὶ ἡσυχάσωσιν, οὕτως ἐπειδὴ πᾶσα ἡ γῆ ἐσκίρτα πρὸς τὴν ἀσέβειαν, κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψεν[6], ἵνα φοβηθεῖσα ἡ γῆ ἡσυχάσῃ ἁμαρτάνουσα. Καὶ τούτου μάρτυς ὁ προφήτης εἰπών· Γῆ ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν θεόν[7]. 32. Καὶ ἐπειδὴ εἶπε· Πάντες ἐξέκλιναν[8], τὸ δὲ πάντες πολλάκις καὶ ἐπὶ τοῦ πλείονος μέρους λαμβάνεται ὡς τὸ Πάντες με ἐγκατέλιπον[9], καὶ μὴν οἱ γνήσιοι μαθηταὶ τὸν Παῦλον οὐ κατέλιπον, ἵνα δείξῃ τὸ ὁλόστολον τοῦ κόσμου ναυάγιον, ἐπάγει· Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός[10]. Ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἀπὸ τοῦ ἐσχάτου πένητος ἕως τοῦ κρατοῦντος, ὅλος ὁ κόσμος νοσεῖ. Ἕνα ζητεῖ ὁ θεὸς πιστὸν καὶ δίκαιον, ὡς ἐν Χαλδαίοις τὸν Ἀβραὰμ καὶ ἐν Σοδόμοις τὸν Λώτ. Ἀλλ' οἱ μὲν οὔτε πίστιν οὔτε πολιτείαν ἔχουσιν, οἱ δὲ πίστιν ἀληθῆ ἔχουσι, πολιτείαν δὲ καλὴν οὐκ **[202]** ἔχουσι· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται[11]. Περὶ θεοῦ μεγάλα σαλπίζουσι καὶ περὶ εὐποιΐαν νυστάζουσιν. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός[12]. 33. Εἶτα, ἐπειδὴ κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε[13] καὶ ἐπὶ τοῖς ἁμαρτάνουσιν ἠγανάκτησε, διδάσκει ἡμᾶς ὁ προφήτης ὅτι οὐ μόνον διέκυψεν, ἀλλὰ καὶ ἀπειλῶν ἐλάλησεν· Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[14]; Καὶ τί γνώσονται; Ὅτι θεὸς ἐκδικήσεων κύριος. Γνώσονται ὅτι νεκρῶν καὶ ζώντων κριτὴς παραγίνεται[15]· Γνώσονται ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ[16]. Οὐκ ἔγνωσαν

---

1. Ὠσηὲ 4, 1-2. 2. στ. 3 α. 3. στ. 2 α. 4. Ψαλμ. 103, 32. 5. στ. 2 α. 6. ἔνθ' ἀν. 7. Ψαλμ. 75, 9-10. 8. στ. 3 α. 9. Β' Τιμ. 4, 16. 10. στ. 3 β. 11. Τίτ. 1, 16. 12. στ. 3 β. 13. στ. 2 α. 14. στ. 4 α. 15. Πρβλ. Πράξ. 10, 42. 16. Ρωμ. 2, 6. Πρβλ. Ψαλμ. 61, 13.

νουθετούμενοι· γνώσονται ὀδυνώμενοι. Οὕτω ποτὲ τὰ ὅμοια καὶ περὶ τῶν ἀθέων Αἰγυπτίων ἔλεγεν ὁ θεός· Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ καὶ ἐν τοῖς ἅρμασιν αὐτοῦ[1]. Γνώσονται τότε, ὅτε ἀπὸ τῆς γνώσεως οὐδὲν ὠφεληθήσονται, ὅτε διώκοντες ἅρμασι καλυφθῶσι κύμασιν. 34. Ἢ καὶ κατὰ ἀπόφασιν ἀναγνωστέον· Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[2]. Καὶ τί οὐ γνώσονται; Ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψε[3]. Τί οὐ γνώσονται; Ὅτι τοῖς κακῶς γινομένοις ἀπαρέσκεται. Τί οὐ γνώσονται; Τὰς ὁδοὺς τοῦ θεοῦ μαθεῖν οὐ θελήσουσι. Τούτου μάρτυς ὁ Ἰὼβ φάσκων· Λέγει δὲ ὁ ἀσεβὴς τῷ κυρίῳ· Ἀπόστα ἀπ' ἐμοῦ, τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι[4]. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[5]. Ἐν ᾧ γὰρ τὴν ἀνομίαν ἐργάζονται, τοὺς νόμους τοῦ θεοῦ γνῶναι οὐκ ἀνέξονται. Καὶ νῦν γίνονται πόλεμοι καὶ λοιμοὶ καὶ σεισμοί, καὶ εἰς συναίσθησιν τῶν ἁμαρτιῶν οἱ πολλοὶ οὐκ ἔρχονται οὐδὲ τοῖς ἐπικειμένοις κακοῖς σω [203] φρονίζονται. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[6]. Τί οὐ γνώσονται; Τὸ θέλημα τοῦ θεοῦ, τὰς ἐπαγγελίας, τὰ ἐπουράνια ἀγαθά, τὸν θησαυρὸν τοῦ θεοῦ, τὸν παράδεισον τῆς τρυφῆς, τὴν αἰώνιον ζωήν. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[7], οἱ Ἰουδαῖοι, ὅτι ὁ νομοθέτης καὶ κύριος τῆς δόξης ὑπ' αὐτῶν ἐσταύρωται· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν[8]. 35. Καὶ τίνες οὗτοι; Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου[9], οἱ βασκανίᾳ πεινῶντες τὸν τῶν πιστῶν θάνατον. Καὶ οὐκ εἶπεν Οἱ ἐσθίοντες, ἀλλ' Οἱ κατεσθίοντες, οἱ θηρῶν ἀγρίων χαλεπώτεροι. Τὰ μὲν γὰρ θηρία ἀνθρωπίνης σαρκὸς γευσάμενα ταχέως παύονται, τὴν ἀηδῆ τροφὴν αἰσχυνόμενα· οἱ δὲ πονηροὶ καὶ βάσκανοι δι' ὅλου κατεσθίοντες ταῖς λοιδορίαις τὸν πιστόν, οὐ κορέννυνται. 36. Ἀσφαλισώμεθα, ἀδελφοί, μήπως, τοὺς ὁμοπίστους λοιδορήσαντες καὶ συκοφαντήσαντες, μετὰ τῶν ἀνόμων εὑρεθῶμεν. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν[10], κἂν αἱρετικοί, κἂν ὁμόπιστοι, οἱ κατεσθίοντες τὸν λαόν μου[11]. Ὅτι δὲ καὶ ὁμόπιστοι ὁμοπίστους κατεσθίουσι, λέγει ὁ ἀπόστολος· Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε[12]. Ἀλλοφύλοις ἔθνεσι, τοῖς Σύροις καὶ τοῖς Ἕλλησι,

1. Ἔξ. 14, 18. 2. στ. 4 α. 3. στ. 2 α. 4. Ἰὼβ 21, 14. 5. στ. 4 α. 6. ἔνθ' ἀν. 7. ἔνθ. ἀν. 8. Α' Κορ. 2, 8. 9. στ. 4 β. 10. στ. 4 α. 11. στ. 4 β. 12. Γαλ. 5, 15.

τοὺς κατεσθίοντας τὸν λαὸν παρεικάζων Ἡσαΐας ἔλεγεν· Ἄξω Συρίαν ἀπὸ ἀνατολῶν καὶ τοὺς Ἕλληνας ἀπὸ ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν λαόν μου ὅλῳ τῷ στόματι[1]. 37. Ἀλλά, κἂν διὰ τὰς ἁμαρτίας ἡμῶν ὑπὸ τῶν ἐχθρῶν ὡς ὑπὸ λεόντων κατεσθιώμεθα, ἀλλὰ διὰ τὴν εἰς θεὸν ἡμῶν εὐσέβειαν ἐκδικίας τευξόμεθα. Ἄκουσον Ἱερεμίου λέγοντος· Ἅγιος Ἰσραὴλ τῷ κυρίῳ· πάντες οἱ κατεσθίοντες αὐτὸν πλημμελήσουσι, κακὰ ἐπάξω ἐπ' [204] αὐτούς, λέγει κύριος[2], ὅτι τοὺς ἁμαρτήσαντας κατεσθίοντες βαρύτερα τῶν κατεσθιομένων ἡμάρτανον, πλείονα τῆς τοῦ θεοῦ γνώμης τὸν λαὸν αὐτοῦ μαστίξαντες, καθὼς εἶπε περὶ αὐτοῦ ὁ θεός· Ἐγὼ παρέδωκα αὐτὸν εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἐποίησας ἔλεος μετ' αὐτοῦ[3]. Καὶ πάλιν· Ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά[4]. Καὶ ὅτι δι' ἁμαρτίας ὁ λαὸς τοῦ θεοῦ ὑπὸ τῶν ἐχθρῶν τοῦ θεοῦ κατεσθίεται, Ἱερεμίας λέγει· Πρόβατον πλανώμενον Ἰσραήλ, λέοντες ἐξῶσαν αὐτόν[5]. Ὁ πρῶτος κατέφαγεν αὐτὸν βασιλεὺς Ἀσσυρίων, καὶ ὁ δεύτερος βασιλεὺς Βαβυλῶνος τὰ ὀστᾶ αὐτοῦ συνέτριψεν. Εἰ δὲ μὴ ὡς πρόβατον ἐπλανήθη, οὐκ ἂν ὑπὸ τῶν λεόντων κατεβρώθη. 38. Νόει ἃ λέγω· Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν κύριον οὐκ ἐπεκαλέσαντο[6], κἂν ἐπικαλεῖσθαι ἐνόμισαν. Ὥσπερ γὰρ ὁ ἐξ ἁρπαγῆς τῷ θεῷ τι προσφέρων οὐ προσφέρει, ἐπειδὴ ὁ θεὸς αὐτὰ οὐ προσδέχεται, οὕτω καὶ οἱ κατεσθίοντες τὸν ἀδελφὸν ἐπικαλούμενοι θεὸν οὐκ ἐπικαλοῦνται. Ἢ καὶ τὸν κύριον οὐκ ἐπεκαλέσαντο[7], ἀντὶ τοῦ· ἀπὸ τοῦ Χριστοῦ Χριστιανοὶ οὐκ ἐκλήθησαν, ἐπειδὴ τῷ Χριστῷ ἐπολέμησαν. Οὐδὲ γὰρ ἤκουσαν τοῦ εἰπόντος· Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ[8]. 39. Ὅμως, κἂν ὡς θηρία ὥρμησαν, ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ ἦν φόβος· ὡς λέοντες ἐθρασύνθησαν καὶ ὡς λαγωοὶ ἐδειλίασαν. Τοῦτο καὶ πρὸς τοὺς δειλοὺς ἐν τοῖς διωγμοῖς ὁ προφήτης λέγει ὅτι ἀκούσαντες[9]· Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι[10], καὶ Μὴ φοβεῖσθε ὀνειδισμοὺς ἀνθρώπων[11], ἐκεῖ ἐφοβήθησαν φόβον οὗ οὐκ ἦν φόβος[12]. Τὸν θεὸν γὰρ μὴ φοβηθέντες, ἀνθρώπους ἐφοβήθησαν. Ἢ καὶ Ἐκεῖ ἐφο[205]βήθησαν φόβον ἀσεβεῖς θεασάμενοι τοὺς εὐσεβεῖς βοηθηθέντας ὑπὸ θεοῦ. 40. Ὡς γὰρ ἐρωτη-

1. Ἡσ. 9, 11-12. 2. Ἱερ. 2, 3. 3. Ἡσ. 47, 6. 4. Ζαχ. 1, 15. 5. Ἱερ. 27, 17. 6. στ. 4 β. 7. ἐνθ' ἀν. 8. Ψαλμ. 104, 1. 9. στ. 5 α. 10. Ματθ. 10, 28. 11. Ἡσ. 51, 7. 12. στ. 5 α.

θεὶς καὶ διὰ τί ἐφοβήθησαν φόβον οἱ ἀσεβεῖς, ἀποκρίνεται· Ὅτι ὁ θεὸς ἐν γενεᾷ δικαίων[1]. Ὡς ἐν στρατιώταις στρατηγός, ὡς ἐν συγκλήτῳ βασιλεύς, ὁ θεὸς ἐν γενεᾷ δικαίων[2], ὁ εἰπών· Ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν[3]. Εἰ δὲ ἐν μέσῳ δύο ἁγίων καὶ τριῶν ἔρχεται, πολλῷ μᾶλλον ἐν γενεᾷ δικαίων εὑρίσκεται, ὅπου ἡ ἄμαχος ζωή, ὅπου ἡ ἄλυπος διαγωγή, ὅπου ἡ ἀθάνατος ἀνάπαυσις, ὅπου ἡ ἀμέριστος κληρονομία, ὅπου ἡ ἀδιάδοχος βασιλεία, ἐφ' ἣν ὁ Χριστὸς καλεῖ λέγων· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν[4]...

ΨΑΛΜΟΣ ΙΔ' ΛΟΓΟΣ Α'

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου. Ψαλμὸς τῷ Δαυὶδ[5] ιδ'.

1. Καλὸς ὁ τοῦ προφήτου ψαλμός· τῆς γὰρ ψυχῆς ἐστιν ἁγιασμός. Καλὸν τὸ τοῦ ψαλμοῦ μέλος· κατὰ δαιμόνων γὰρ δείκνυται ὀξύτατον βέλος, καὶ οὐχ οὕτως ἔλαφοι τὰ βέλη φεύγουσιν ὡς τοὺς ψαλμοὺς τοῦ Δαυὶδ οἱ δαίμονες. Ἐλάμβανε Δαυὶδ τὴν κινύραν καὶ ἔψαλλε, καὶ ἀφίστατο ἀπὸ Σαοὺλ τὸ πνεῦμα τὸ πονηρόν[6], καὶ ἀναχωρῶν ὁ δαίμων ἔπιπτεν ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. Καλὴ ἡ τοῦ Δαυὶδ κιθάρα· τῆς γὰρ ψυχῆς ἐστι παραμυθία. Καλὴ ἡ τοῦ ποιμένος **[206]** λύρα· νευροῖ γὰρ ἡμῶν τὸν νοῦν πρὸς ἀρετάς. Καλὸς ὁ τοῦ ποιμένος καὶ βασιλέως προφητικὸς αὐλός· ἔχει γὰρ κάλαμον τὴν γλῶσσαν καὶ πνεῦμα τὸν παράκλητον καὶ φθόγγον τὸν λόγον καὶ μέλος τὴν σώφρονα ἡδονὴν καὶ ἁρμονίαν τὴν προφητείαν καὶ ὄχημα τὸ ἄνωθεν χάρισμα. 2. Ἐπεὶ οὖν εἰς πνευματικὸν θέατρον καὶ οὐρανίων λόγων ἀκροατήριον συνεδράμετε, διὰ ταῦτα ὁ θεορήτωρ καὶ θεολόγος καὶ θεοδίδακτος μουσικός, ὁ μακάριος Δαυίδ, ἦλθεν ὡς τοῦ λαοῦ παιδευτὴς καὶ ἐρωτᾷ τὸν θεὸν ὡς μαθητής· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[7]; Σκήνωμά σου βασιλικὸν ὡς ἐν ἀγρῷ τῷ κόσμῳ τὴν ἐκκλησίαν ὁρῶ. Ἀλλ' ἐπειδὴ πολλοῦ τιμήματος ἐκτήσω τὴν σκηνήν—τὸ γὰρ τίμιον αἷμά σου δεδωκὼς ἔλαβες τὸ σκήνωμα, καὶ τὴν πλευρὰν ἀνοίξας, τὴν θήκην τῆς ἐνθήκης, τὸν μάρσιπον τῆς θεότητος, τὴν κιβωτὸν τοῦ ἁγιάσματος, καὶ τὴν λόγχην, ὡς κλεῖδα ἐμβαλὼν ἐν τῇ κιβωτῷ, ἐμβαλὼν δὲ οὐ κακουργῶν, ἀλλὰ συγχωρῶν ἐκ τοῦ

---

1. στ. 5 β. 2. ἔνθ' ἀν. 3. Ματθ. 18, 20. 4. Ματθ. 25, 34. 5. στ. 1. 6. Α' Βασ. 16, 23. 7. στ. 1 β.

πατρῴου θησαυροῦ ἔδωκας τὸ τίμημα—ἐπεὶ οὖν πολλοῦ τιμήματος ἠγοράσθη σου ἡ σκηνή, καὶ πολύτιμος οὖσα ἔχει καὶ παράδεισον τῶν θεοπνεύστων γραφῶν, πάροικοι δὲ καὶ νέοι ἐν ἀποκρύφοις σου γέγοναν οἱ νεοφώτιστοι, δίδαξον αὐτοὺς δι' ἐμοῦ, δέσποτα, ὁποῖος εἶναι ὀφείλει ὁ σὸς πάροικος, ἵνα μαθόντες σου τὸν σκοπὸν εὐάρεστοι γένωνται. 3. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[1]; Τίς ἐναρίθμιος γενόμενος τῆς ποίμνης σου τῆς καλῆς καὶ τὴν σφραγῖδα λαβὼν τοῦ ἁγίου πνεύματος καὶ τῷ ἀνθηρῷ αἵματι τοῦ ποιμένος Χριστοῦ μιλτωθεὶς μὴ σπιλώσῃ τὴν ἀνθηρὰν σφραγῖδα ὑγροπίσσῃ ποίᾳ, μετὰ τῶν ἄλλων αἱρέσεων τῇ Ἀρείου καὶ Εὐνομίου πίστει ὑγραινομένῃ τῷ βαπτίσματι, τῇ ὑγραινομένῃ κόλλῃ, τῷ δυσαπονίπτῳ σπίλῳ; Εἶχόν ποτε κἀκεῖνοι ὡς πρόβατα λευκὸν τὸν πόκον καὶ τὴν σφραγῖδα ἀνθηράν. Ἀλλ' ἕως τότε λευκὸν τὸν πόκον [207] ἐτήρουν ἕως εἶχον τὸ τῆς ἐκκλησίας βάπτισμα, καὶ ἕως τότε ἡ σφραγὶς αὐτῶν τὴν ἀνθηρότητα τοῦ αἵματος Χριστοῦ ἔφερεν ἕως οὗ ἐσφραγισμένην ἐτήρουν τὴν περὶ τοῦ βαπτίσματος διάταξιν. Ἀφ' οὗ δὲ τὰς τρεῖς καταδύσεις εἰς μίαν συνέστειλαν, τριάδος ἑτερουσίου παράσιτοι γέγοναν· ὡς γὰρ ἐκείνοις τὸ δόγμα ἑτεροούσιον, καὶ τούτοις τὸ βάπτισμα. Ἵνα οὖν καὶ οἱ νέοι σου πάροικοι οἱ νεοφώτιστοι ὡς πρόβατα φύγωσι τοὺς προβατομόρφους θῆρας, τοὺς ἐνδύμασι προβάτων πλανῶντας τὰ πρόβατα, νόμους, δέσποτα, δίδαξον τοὺς παροίκους σου. 4. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[2]; Τίς καταφρονήσει τῆς τοῦ βίου φαντασίας; Τίς τὰ ἡδέα τοῦ κόσμου φύγῃ ὡς Μωϋσῆς τὰ βασίλεια; Τίς μᾶλλον ἑλεῖται συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ διωκόμενος ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, δόμασι καὶ ἀξιώμασι κολακευόμενος; Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[3]; Τίς ὡς πάροικος ἐν χωρίῳ ἀκενόδοξον βίον ἀσπάσεται; Τίς παραιτήσεται τὰ ἄδικα χρήματα, ἵνα φύγῃ τὰ ἐγκλήματα; Γέγραπται δὲ καὶ ἐν τῷ Ἰώβ· Πλοῦτος συναγόμενος ἀδίκως ἐξεμεθήσεται ἐκ κοιλίας αὐτοῦ[4]. Τίς ἀποτάξεται τῇ τοῦ κόσμου ματαιότητι καὶ συντάξεται τῇ τοῦ θεοῦ ἀγάπῃ λέγων· Συντάσσομαι τῷ Χριστῷ; Τίς εἴπῃ μετὰ Παύλου· Ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ[5]. Τίς ἐρρῶσθαι πᾶσιν εἰπὼν ἀκολουθήσει τῷ Χριστῷ; 5. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου καὶ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου[6]; Ἴδωμεν δὲ πρῶτον καθ' ἱστορίαν τί τὸ σκήνωμα καὶ τί τὸ ὄρος. Σκήνωμα τοῦ θεοῦ ἐκαλεῖτο ἡ σκηνὴ τοῦ μαρτυρίου ἣν ἔπηξεν ὁ Μωϋσῆς, ὄρος δὲ θεοῦ ὁ ναὸς ὃν ᾠκοδό[208]μησεν ὁ Σολομῶν. Καὶ ὅτι σκήνωμα τοῦ θεοῦ ἐλέγετο ἡ

---

1. στ. 1 β. 2. ἔνθ' ἀν. 3. ἔνθ' ἀν. 4. Ἰὼβ 20, 15. 5. Γαλ. 6, 14. 6. στ. 1 βγ.

Μωσαϊκὴ σκηνὴ ὡς οἶκος θεοῦ καὶ ναός, γέγραπται ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν· Καὶ εἰσῆλθον Ἑλκανᾶ καὶ Ἄννα εἰς τὸν οἶκον κυρίου ἐν Σηλών, καὶ τὸ παιδάριον Σαμουὴλ ἦν μετ' αὐτῶν[1]. Καὶ μὴν ὁ ναὸς καὶ ὁ οἶκος οὐδέπω ᾠκοδόμητο, ἡ σκηνὴ δὲ Μωϋσέως ἦν ἐν τῇ Σηλώμ. Καὶ πάλιν· Καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ τοῦ θεοῦ[2], ναὸν δὲ θεοῦ λέγων τὴν σκηνήν, ὥστε σκηνὴ κυρίου ἐλέχθη εἶναι ἡ σκηνὴ ὡς οἶκος θεοῦ καὶ ναός. Ὅτι δὲ ὄρος ἐλέγετο ὁ τοῦ κυρίου ναὸς ὅν ἔκτισε Σολομῶν, γέγραπται· Δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακώβ[3]. 6. Καὶ ταῦτα μὲν ἡ ἱστορία. Ἴδωμεν δὲ καὶ κατὰ θεωρίαν τί τὸ σκήνωμα καὶ τί τὸ ὄρος τοῦ θεοῦ καὶ πῶς δεῖ πρῶτον παροικῆσαι ἐν τῷ σκηνώματι καὶ οὕτω κατασκηνῶσαι ἐν τῷ ὄρει τοῦ θεοῦ. Ἡ τοῦ Μωϋσέως σκηνὴ καὶ ὁ τοῦ Σολομῶντος ναὸς εἰκόνας καὶ τύπους ἔφερον τῶν δύο ἐκκλησιῶν τοῦ Χριστοῦ, τῆς ἐν κόσμῳ καὶ τῆς ἐν οὐρανοῖς. Τῆς ἐν κόσμῳ ἐκκλησίας εἰκὼν ἡ τοῦ Μωϋσέως σκηνή, καὶ τῆς ἐν οὐρανοῖς ἐκκλησίας εἰκὼν ὁ ἐν τῷ ὄρει ναός. Δύο ἐκκλησίαι τῷ ἀριθμῷ, μία δὲ τῷ τῆς πίστεως ῥυθμῷ. Περὶ τῆς ἐν τῷ κόσμῳ ἐκκλησίας ἔλεγεν ὁ κύριος· Ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν[4]. Καὶ περὶ τῆς ἐπουρανίου ἐκκλησίας εἶπεν ὁ ἀπόστολος· Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων ἀπογεγραμμένων ἐν οὐρανοῖς[5]. 7. Ὥσπερ οὖν ἡ τοῦ Μωϋσέως ἐν τῇ ἐρήμῳ σκηνὴ καλύβη ἦν συνακτή, ἥνπερ παπυλεῶνα Ῥωμαῖοι ἐκάλεσαν, καὶ τόποις ἀπὸ τόπων συνεχῶς μετήγετο καὶ παροίκους ἐποίει τοὺς ἐν αὐτῇ συναγομένους, οὕτω **[209]** καὶ ἡ ἐπὶ γῆς ἐκκλησία τοῦ Χριστοῦ σκηνή ἐστιν ἐν ἐρήμῳ τῷ βίῳ ἐκλάμπουσα. Καὶ διὰ τί σκηνή; Ἐπειδὴ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν[6]. Διὰ τί σκηνή; Διὰ τὸν εἰπόντα· Ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος[7]. Διὸ καὶ ἡ ἐκκλησία σκηνὴ ἥν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος[8], καὶ ὡς παροικίαν τὸν κόσμον ἀσπάζεται καὶ ὡσεὶ σκηνὴ τόποις ἐκ τόπων ἐν τοῖς διωγμοῖς μετανίσταται. Διὰ τί; Διὰ τὸν εἰπόντα· Ἐὰν διώκωσιν ὑμᾶς, ἐκ τῆς πόλεως ταύτης φεύγετε εἰς τὴν ἄλλην[9]. Ἀλλὰ τόπους ἀλλάσσει, τοὺς δὲ τρόπους φυλάσσει· ἀπὸ πόλεως εἰς πόλιν φεύγει, ἀπὸ εὐσεβείας εἰς ἀσέβειαν οὐ καταφεύγει. 8. Ὥσπερ οὖν ἡ τοῦ Μωϋσέως σκηνὴ ὧδε κἀκεῖ μετήγετο

---

1. Α' Βασ. 1, 24. 2. Α' Βασ. 3, 3. 3. Μιχ. 4, 2. 4. Ματθ. 16, 18.
5. Ἑβρ. 12, 22-23. 6. Ἰω. 1, 14. 7. Ζαχ. 2, 14. 8. Ἑβρ. 8, 2.
9. Ματθ. 10, 23.

καὶ πολλῶν τόπων πάροικος ἐγίνετο, ὁ δὲ τοῦ Σολομῶντος ναὸς ἐν ὄρει θεμελιωθεὶς εἰς ἕνα τόπον εἱστήκει, ἀσάλευτος καὶ ἀδόνητος ἕως ἦν ναὸς θεοῦ, οὕτω καὶ ἡ ἐπὶ γῆς ἐκκλησία τοῦ Χριστοῦ ὡς ἐν παροικίᾳ διάγουσα παροίκους ποιεῖ τοὺς εὐσεβεῖς, ἡ δὲ ἄνω ἐκκλησία τῶν πρωτοτόκων[1] ἐν οὐρανοῖς οὐκ ἔχει παροίκους ἐκεῖ, ἀλλὰ κατοίκους τοὺς θεοφιλεῖς. Ἐκεῖ οὐκ εἰσὶ πάροικοι· οὐδὲ γὰρ διωγμὸς ἐκεῖ. Εἷς πολίτης, ἐκεῖ ὡς πάροικος ἐστασίασε, καὶ ἐρρίφη ὡς ξένος καὶ ἀλλότριος θεοῦ, καὶ σὺν αὐτῷ οἱ αὐτῷ ἑπόμενοι δαίμονες· Ἐκεῖθεν ἔρριψέ σε τὰ Χερουβίμ, ἔλεγε περὶ τοῦ διαβόλου ὁ Ἰεζεκιήλ[2]. Ἐπεὶ οὖν ἡ ὧδε ἐκκλησία ὡς σκηνή ἐστιν ἐν παροικίᾳ, ἡ δὲ ἄνω ἐκκλησία πόλις ἐστὶν ἐν ἀσφαλείᾳ, καὶ δεῖ πρῶτον ἐν ταύτῃ παροικῆσαι καὶ οὕτως ἐν ἐκείνῃ κατασκηνῶσαι, διὰ τοῦτο τὸν ἄξιον ὁ Δαυὶδ ἐπιζητῶν ἐρωτᾷ· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου[3]; 9. Ἀλλὰ πάντως ἐρεῖς· Καὶ πῶς παροικοῦμεν τὴν ὧδε ἐκκλησίαν; Πῶς; Ἄκουσον. Ὥσπερ ὁ πάροικος εἰς τὸ **[210]** κτῆμα εἰσελθὼν πάλιν εἰς ἄλλο κτῆμα μεθίσταται, τοῦ δεσπότου θέλοντος, οὕτως ἡμεῖς διὰ βαπτίσματος εἰς τὴν ἐκκλησίαν εἰσερχόμενοι πάλιν διὰ θανάτου μεθιστάμεθα, καὶ ἐκκλησίαν εὑρόντες ἐκκλησίαν ἀφίεμεν, καὶ ἐν αὐτῇ παροικήσαντες ἐξ αὐτῆς λαμβανόμεθα, καὶ ὡς πάροικοι ἀπὸ κτήματος εἰς κτῆμα, ἀπὸ τῆς κάτω ἐκκλησίας εἰς τὴν ἄνω μεταγόμεθα. Καὶ οἱ κάτω πάροικοι ἄνω πολῖται καὶ κάτοικοι, καὶ οἱ ὧδε ὡς πάροικοι διωκόμενοι ἐκεῖ ὡς φίλοι καὶ κληρονόμοι ἀναπαυόμενοι. Δεῦτε γάρ, φησίν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν[4]. Ἐπεὶ οὖν τὴν ὧδε ἐκκλησίαν παροικοῦμεν, τὴν δὲ ἄνω κατοικοῦμεν, τὸν τῆς ὧδε παροικίας καὶ τῆς ἄνω κατοικίας ἄξιον ἐπιζητῶν ἐρωτᾷ· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[5]; 10 [Ἡ δικαιοσύνη ἐκ πολλῶν συγκροτεῖται ἀρετῶν, καὶ μία πρακτικὴ ἀρετὴ δικαιοσύνην οὐ ποιεῖ, ὡς οὐδὲ μία σανὶς πλοῖον ἐξαρτίζει, οὐδὲ εἷς λίθος οἰκίαν. Μόνη ἀρετὴ μία δικαιοῖ, ἡ πίστις, ἡ κορυφὴ τῶν ἀρετῶν· Ἐπίστευσεν Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην[6], καὶ Δικαιωθέντες οὖν ἐκ πίστεως[7]. 11. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου καὶ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου[8]; Καὶ ἔστι διαφόρως τὸ σκηνῶσαι. Σκηνὴ δὲ καὶ ὁ βίος καὶ ὄρος ὁ οὐρανός. Σκήνωμα καὶ τὸ γράμμα τῶν θείων γραφῶν καὶ ὄρος ὁ ἐν αὐτοῖς νοῦς. Σκήνωμα καὶ ὁ νόμος καὶ ὄρος τὸ εὐαγγέλιον. Σκήνωμα καὶ τὸ τοῦ κυρίου

1. Πρβλ. Ἑβρ. 12, 23. 2. Πρβλ. Ἰεζ. 28, 16-17. 3. στ. 1 βγ. 4. Ματθ. 25, 34. 5. στ. 1 β. 6. Γέν. 15, 6. Ρωμ. 4, 3. 7. Ρωμ. 5, 1. 8. στ. 1 βγ.

σῶμα καὶ ὅρος ἡ θεότης. Ἅτινα ὅπως δεῖ παροικεῖν καὶ κατοικεῖν, ὁ καιρὸς λέγειν οὐ συγχωρεῖ]. 12. Ἐπεὶ οὖν ἠρώτησεν ὁ [211] μακάριος Δαυὶδ τίς ὁ παροικῶν ἐν τῷ σκηνώματι καὶ τίς ὁ ἐν τῷ ὄρει κατασκηνῶν, ἀκούει λέγοντος τοῦ ἁγίου πνεύματος Ἠρώτησας, ὦ μακάριε προφῆτα, τίς ὁ ἄξιος πάροικος καὶ κάτοικος; Μάθε ὁποῖος ὀφείλει εἶναι· γράφω σοι τὸν ἄνδρα τῷ λόγῳ, ἵνα εὕρῃς ὃν ζητεῖς· Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην [1]. Καὶ τίς οὗτος; Ὁ τὴν ἄμωμον τοῦ θεοῦ ὁδὸν ὁδεύων· Ὁ θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ [2]. Ὁ μῶμον ἁμαρτίας μὴ ἔχων. Καὶ ὅτι μῶμος ἡ ἁμαρτία, λέγει ἡ γραφὴ περὶ τοῦ ψεύδους· Πονηρὸς μῶμος ἐν ἀνθρώπῳ τὸ ψεῦδος [3]. Μῶμος καὶ ἡ πορνεία· οὕτως ἐλέγετο πρὸς τὸν Σολομῶντα τῇ πράξει μεθύοντα· Καὶ ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου [4], καὶ τὰ τοιαῦτα. Πορευόμενος ἄμωμος [5]. Ὥσπερ δὲ ὁ μῶμον καὶ σπῖλον ἔχων ἐν τῇ ὄψει ἐγγὺς βασιλέως ἢ ἄρχοντος οὐκ ἔρχεται, οὕτως ὁ κλέπτης ἢ ὁ ψευδόμενος ἐγγίσαι θεῷ οὐ δύναται. Διὰ τί; Ἐπειδὴ Καθαρὸς ὁ ὀφθαλμὸς αὐτοῦ τοῦ μὴ ὁρᾶν πονηρά [6], καὶ Οὐ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου [7]. 13. Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην [8]. Ἔκκλινον γὰρ ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν [9]. Καὶ τίς ὁ ἐργαζόμενος δικαιοσύνην; Τίς ὁ λαλῶν ἀλήθειαν [10] μετὰ τοῦ πλησίον; Ὃς τῇ καρδίᾳ ἐστὶ καθαρός. Ὁ μὴ δολώσας τῇ γλώσσῃ αὐτοῦ [11] ὡς ὁ Ναθαναήλ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν [12]. Ὁ μὴ ποιήσας τῷ πλησίον αὐτοῦ κακόν [13], ὡς τῷ Ναβουθὲ ὁ Ἀχαάβ. Ὁ μὴ ὀνειδίσας τὸν ἔγγιστα [14], ὡς ὁ [212] Φαρισαῖος τὸν τελώνην, μηδὲ ὀνειδισθεὶς ἐπὶ τοῖς ἔγγιστα, ὡς ὁ Ἠλεὶ ἐπὶ τοῖς υἱοῖς. Ὁ ἐξουδενώσας τοὺς πονηρούς [15], ὡς ὁ Ἠλίας τοὺς ἱερεῖς τοῦ Βάαλ. Ὁ τοὺς φοβουμένους τὸν κύριον δοξάζων [16], ὡς τοὺς ἑκατὸν προφήτας ὁ Ἀβδιού [17]. Ὁ ὀμόσας τῷ πλησίον καὶ μὴ ἀθετήσας [18], ὡς τῷ Ἀβιμέλεχ ὁ Ἀβραὰμ καὶ τῷ Ἰωνάθαν ὁ Δαυίδ. Ὁ τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ μὴ δούς [19], ὡς ὁ Ζακχαῖος καὶ Κορνήλιος. Ὁ δῶρα ἐπ' ἀθῴοις μὴ λαβών [20], ὡς οὐδὲ ὁ Πέτρος τὰ τοῦ Σίμωνος. Ὁ μὴ ποιήσας ταῦτα καὶ μὴ σαλευθείς [21], ὡς ὁ Παῦλος ἐν τοῖς διωγμοῖς. Ἐὰν ἴδῃς τοιοῦτον, ὦ Δαυίδ, εὗρες ὃν ζητεῖς· Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ [22].

14. Ἀλλὰ πάντως ἐρεῖ τις· Καὶ ἔστιν ὅλως τοιοῦτος εὑρισκόμενος

---

1. στ. 2 α. 2. Ψαλμ. 17, 31. 3. Σοφ. Σειρ. 20, 24. 4. Σοφ. Σειρ. 47, 20. 5. στ. 2 α. 6. Ἀββ. 1, 13. 7. Ψαλμ. 5, 6. 8. στ. 2 α. 9. Ψαλμ. 33, 15. 10. στ. 2 αβ. Πρβλ. Ζαχ. 8, 16. 11. Πρβλ. στ. 3 α. 12. Ἰω. 1, 48. 13. Πρβλ. στ. 3 β. 14. Πρβλ. στ. 3 γ. 15. Πρβλ. στ. 4 α. 16. Πρβλ. στ. 4 β. 17. Πρβλ. Γ' Βασ. 18, 13. 18. Πρβλ. στ. 4 γ. 19. Πρβλ. στ. 5 α. 20. Πρβλ. στ. 5 β. 21. Πρβλ. στ. 5 γ. 22. στ. 2 β.

ἄνθρωπος; Ἔστιν ὄντως ὁ μακάριος Ἰώβ, ὁ πολυνίκης ἀθλητής, ὁ τοῦ διαβόλου κονδυλιστής· Καὶ ἦν, φησίν, ὁ ἄνθρωπος ἐκεῖνος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ[1]. Ἄρμοσον τοίνυν ἕν τῷ ἑνί· Τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου; Πορευόμενος ἄμωμος· ὁ Ἰὼβ ἄμεμπτος. Καὶ ἐργαζόμενος δικαιοσύνην· δίκαιος. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ· ἀληθινός. Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ θεολογῶν. θεοσεβής. Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν[2]· ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. Εἶδες πῶς προενεδύσατο ὁ Ἰὼβ τὸν ψαλμόν, ὡς καὶ ὁ Δαυίδ, ὅλον. Ἤ τίς κατασκηνώσει ἐν τῷ ὄρει τῷ ἁγίῳ σου[3]; Πολλοὶ γὰρ παρῴκησαν ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐπεὶ μὴ ἕως τέλους παρῴκησαν, ἀλλὰ παρέβησαν, διὰ τοῦτο εἰς τὸ ὄρος οὐ κατεσκήνωσαν. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ[4]· ὁ τὴν ἀλήθειαν ὡς [213] παρθένον καὶ νύμφην κατὰ ψυχὴν ἀγαπῶν, ὁ ὡς μητέρα καὶ βασιλίδα ταύτην ἐντίμως ὁρῶν, ὁ λαλῶν ἀλήθειαν[5] μετὰ τοῦ πλησίον αὐτοῦ. 16. Ἀλλ' ἵνα μή τις εἴπῃ. Τί οὖν; Βλάπτομαι ἐν διωγμῷ, ἐὰν εἴπω τὸ ψεῦδος, ἐν τῇ καρδίᾳ τὴν ἀλήθειαν λαλῶν; Ἐπειδὴ γέγραπται· Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ[6], ἠσφαλίσατο τὸν λόγον τῇ ἐπαγωγῇ εἰπὼν οὕτως· Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ[7]. Μὴ ὡς ἐν τάφῳ τῇ καρδίᾳ θάψῃς τὴν ἀλήθειαν μηδὲ ὡς ἀποθανοῦσαν εἰς μνημεῖον ἀπόκλειε, ἀλλὰ ὡς ζῶσαν καὶ βασιλεύουσαν προϊέναι τὰς πύλας τῶν αἰσθήσεων δίωκε. Κρυπτομένης γὰρ ἀληθείας, τὸ ψεῦδος τυραννεῖ καὶ ὡς ἀδέσποτα χωρία τὰς ψυχὰς ληΐζεται· ἀληθείας δὲ στρατηγούσης, τὸ ψεῦδος κεῖται νεκρόν. Ὥσπερ γὰρ τὸ σκότος φωτὶ καταπίνεται, οὕτω καὶ τὸ ψεῦδος τῇ ἀληθείᾳ θάπτεται. Λαλῶν ἀλήθειαν[8] μετὰ τοῦ πλησίον αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ[9]· οὐδὲ γὰρ ὁ προδότης ἐν γλώσσῃ ἐβάστασεν, ἀλλὰ τὸν δόλον ὡς ἰὸν ἀπέπτυσε. 17. Φύγωμεν, ἀδελφοί, τὸν δόλον ὡς θανάσιμον φάρμακον. Δόλος τὸν ὄφιν ὁπλίσας ἐπικατάρατον ἐποίησε. Δόλος τὴν μητέρα τοῦ γένους ἡμῶν ἔρημον κατέστησε. Δόλος τὸν Κάϊν τρέμειν καὶ στένειν παρεσκεύασε. Δόλος τὸν Ἄβελ ὡς θηρίον ἀρνίον ἐσπάραξε. Δόλος δέκα ἀδελφοὺς κατὰ τοῦ ἑνὸς ὥπλισε, τοὺς δὲ πράτας προσκυνητὰς τοῦ πραθέντος ἔδειξε, καὶ ὃν διὰ δόλον ὡς δοῦλον ἐπώλησαν, τοῦτον διὰ φόβον ὡς δεσπότην προσεκύνησαν. Δόλος τὸν μαθητὴν προδότην ἐποίησε καὶ τὸν ἀπόστολον

---

1. Ἰὼβ 1, 1. 2. στ. 1 γ - 3 β. 3. στ. 1 γ. 4. στ. 2 β. 5. ἔνθ' ἀν. Πρβλ. Ζαχ. 8, 16. 6. στ. 2 β. 7. στ. 3 α. 8. στ. 2 β. Πρβλ. Ζαχ. 8, 16· 9. στ. 3 α.

θεοῦ πράτην ἀπότομον ἔδειξεν. Ἀλλ' ὁ μὲν θεὸν πωλήσας ἀγχόνην ἠγόρασεν, ὁ δὲ πραθεὶς [214] θεὸς τὸν κόσμον ἐξηγόρασεν, ῥήξας τὸ καθ' ἡμῶν χειρόγραφον ἐπὶ τοῦ σταυροῦ καὶ ἐλευθερώσας ἡμᾶς τῆς τοῦ διαβόλου τυραννίδος καὶ τῆς ἐπουρανίου αὐτοῦ καὶ θείας βασιλείας μετόχους ἡμᾶς καὶ κληρονόμους ἀπεργασάμενος χάριτι καὶ φιλανθρωπίᾳ τῇ αὐτοῦ· ὅτι αὐτῷ πρέπει ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΨΑΛΜΟΣ ΙΔ' ΛΟΓΟΣ Β'

Εἰς τὸν αὐτὸν ιδ' ψαλμόν.

1. Ἔργοις ὁμοῦ καὶ λόγοις πεπλήρωται τὸ παρὰ τοῦ κυρίου λεχθέν· Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε[1]. Τοῦτο εἰδὼς ὁ μακάριος Δαυίδ, ᾔτησε καὶ ἔκρουσε καὶ ἐζήτησε, καὶ εἰς τὰ τρία ἐπέτυχεν. Ἤιτησεν ἄφεσιν ἁμαρτιῶν εἰπών· Ἄφες πάσας τὰς ἁμαρτίας μου[2], καὶ ἤκουσε· Καὶ κύριος ἀφῆκε τὸ ἁμάρτημά σου[3], πᾶν ἁμάρτημα ὡς ἕν. Καὶ λαβὼν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἔλεγεν εὐχαριστῶν· Σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου[4]. Ἔκρουσε τὰς πύλας τῆς δικαιοσύνης εἰπών· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης[5], καὶ ἠνοίγησαν αὐτῷ αἱ πύλαι καὶ εἶδεν ἐν ταῖς πύλαις τῶν προφητῶν τὴν μονογενῆ τοῦ πατρὸς πύλην, τὴν λέγουσαν· Ἐγώ εἰμι ἡ θύρα[6], ἐν ταῖς πολλαῖς τὴν μίαν πύλην. Καὶ θαυμάσας ἔλεγεν· Αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ[7]. Ὡς οὖν ᾔτησε καὶ ἔκρουσε καὶ εἰς τὰ δύο ἤνυσε, διὰ τοῦτο καὶ τὸ τρίτον ἐξήτησε καὶ [215] ζητήσας εὗρεν. Ἐρωτήσας γάρ· Τίς παροικήσει ἐν τῷ σκηνώματί σου[8]; εὗρεν, ὃ ἐζήτησεν ἀκούσας. Τίς παροικήσει θέλεις μαθεῖν; φησίν· Ἄκουε· Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην[9]. 2. Ψαλμὸς τῷ Δαυίδ[10]. Καὶ διὰ τί οὐ περιέχει εἰς τὸ τέλος; Ἐπειδὴ περὶ δικαιοσύνης καὶ τῶν λοιπῶν ἀρετῶν διδάσκει· ὁ δὲ περὶ δικαιοσύνης καὶ ἀρετῶν διδάσκων οὐκ ὀφείλει εἰς τὸ τέλος τῆς ζωῆς παραινεῖν ταύτας κτᾶσθαι, ἀλλ' ἐξ ἀρχῆς, ἐξ αὐτῶν τῶν σπαργάνων καὶ ἐξ ἁπαλῶν ὀνύχων συναναστρέφεσθαι ταύταις. Οὐδεὶς γὰρ τῷ παιδίῳ παραινῶν καὶ νουθετῶν αὐτῷ λέγει· Σώφρων γενοῦ εἰς τὸ τέλος· φρόνιμος γενοῦ, δίκαιος γενοῦ εἰς τὸ τέλος, ἀλλ' ἐξ ἀρ-

---

1. Ματθ. 7, 7. Λουκ. 11, 9. 2. Ψαλμ. 24, 18. 3. Β' Βασ. 12, 13. 4. Ψαλμ. 31, 5. 5. Ψαλμ. 117, 19. 6. Ἰω. 10, 7 καὶ 9. 7. Ψαλμ. 117, 20. 8. στ. 1 β. 9. στ. 2 α. 10. στ. 1 α.

χῆς παιδαγωγεῖ πρὸς τὸν σώφρονα βίον καὶ θεμέλιον αὐτῷ ἀπὸ παιδόθεν ἐναποτίθεται τὸν τοῦ θεοῦ φόβον. Καί τούτου μάρτυς ἡ πεῖρα. Προσφέρει τις παιδίον ὑπομάζιον βαπτισθῆναι, καὶ εὐθέως ὁ ἱερεὺς τὴν ἀβέβαιον ἡλικίαν ἀπαιτεῖ συνταγὰς καὶ συγκαταθέσεις, καὶ ἐγγυητὴν τοῦ ἀφήλικος τὸν ἀνάδοχον λαμβάνει καὶ ἐπερωτᾷ· Ἀποτάσσεται τῷ Σατανᾷ; Καὶ οὐ λέγει· Ἀποτάσσεται τῷ Σατανᾷ εἰς τὸ τέλος; Συντάσσεται τῷ Χριστῷ εἰς τὸ τέλος; Ἀλλ' εὐθέως εἰς τὴν ἀρχὴν τῆς ζωῆς ἀπαιτεῖ τὰς ἀποτάξεις καὶ συντάξεις. 3. Ἀλλὰ καὶ πᾶς ἀνὴρ προσεύχεται ἵνα ὁ υἱὸς αὐτοῦ καὶ τὸ τέκνον οὐκ εἰς τὸ τέλος τῆς ζωῆς πλουτήσῃ, οὐδ' ἵνα, ὅταν γηράσῃ, τότε φρόνιμος γένηται, ἀλλ' ἵνα καὶ πλοῦτος καὶ φρόνησις καὶ ἀξία ἐξ ἀρχῆς αὐτῷ καὶ ἐκ νέας ἡλικίας συναναστραφεῖσαι συνοδεύσωσιν αὐτῷ εἰς τὸ τέλος. Διὰ ταῦτα ἔλεγε καὶ ὁ μακάριος Ἱερεμίας· Ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν βαρὺν ἐκ νεότητος αὐτοῦ[1]· ἐκ νεότητος καὶ οὐκ εἰς τὸ τέλος, ἐξ ἀρχῆς καὶ οὐκ εἰς τὸ γῆρας. Εἰ γὰρ οὐδεὶς ὑμῶν θέλει κτήσασθαι γέροντα οἰκέτην, καὶ οὐδεὶς στρατολογῶν **[216]** σφραγίζει γέροντα καὶ πρεσβύτην, ἀνάγκης δὲ στρατηγούσης καὶ βίας ὠθούσης τότε εἰς στρατείαν προχωρεῖ καὶ τὸ γῆρας, πολλῷ μᾶλλον ἡ βασιλεύουσα ἀρετὴ τὴν νεότητα θέλει ὑπὲρ τὸ γῆρας καὶ ὡς παρθένον ἀνύβριστον μᾶλλον τὴν νεότητα οἰκειοῦται, τὰς ἀπαρχὰς τῆς ζωῆς ἑαυτῇ μνηστευομένη. Ἐπεὶ οὖν καὶ ὁ προκείμενος ψαλμὸς ἀρετῶν ἐστι στήλη—Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου καὶ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ, καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν[2]—διὰ τοῦτο εἰς τὸ τέλος οὐ περιέχει, ἵνα μὴ τὴν νεότητα προπιὼν τῇ ἁμαρτίᾳ τὸ σαθρὸν γῆρας τῇ ἀρετῇ τηρήσῃ καὶ τὴν τρυγίαν τῆς ζωῆς τῇ σοφίᾳ κεράσῃ. 4. Ψαλμὸς τῷ Δαυίδ[3], νόμος ἀγαθῶν πράξεων μετὰ μέλους καὶ ἡδυφωνίας προσενηνεγμένος. Διὰ τί; Ἵνα τὸ τραχὺ τῆς ἀρετῆς τῷ μέλει τῆς φωνῆς κεράσας εὐπαράδεκτον ἐργάσηται τὴν νουθεσίαν, ἵνα τοὺς καταφρονητὰς τῶν τοῦ θεοῦ νόμων γνησίους ἀκροατὰς ποιήσῃ διὰ τοῦ μέλους, ἵνα ὡς καλάμῳ τῷ μέλει καὶ ἰξῷ τῇ μελῳδίᾳ τὸν ἀκροατὴν ἀγρεύσῃ. 5. Ψαλμὸς τῷ Δαυίδ[4]. Ὁ προκείμενος ψαλμὸς πολλὴν ἁρμονίαν καὶ συμφωνίαν ἔχει πρὸς τὸν πρὸ αὐτοῦ. Ἐπειδὴ οὖν ἐν ἐκείνῳ πάνδημος ὥσπερ ἀπόφασις κατὰ τοῦ γένους τῶν ἀνθρώπων προεφέρετο καὶ ἐλέγετο· οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς[5]· οὐκ ἦν ἄνθρωπος ὁ εἰπών, ἀλλὰ θεός. Εἰ γὰρ ἄνθρωπος εἰρήκει, ὑπενοήθη ἂν ὅτι ἀγνοῶν ἢ λυ-

1. Θρῆνοι Ἱερ. 3, 27. 2. στ. 1β-3β. 3. στ. 1α. 4. ἔνθ' ἀν.
5. Πρβλ. Ψαλμ. 13, 1.

πηθεὶς εἶπεν, ἢ ἔχθραν ἀμυνόμενος ἢ ζῆλον ἔχων, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. Οὕτω γὰρ καὶ ὁ Ἠλίας ποτέ, ὡς ζηλωτὴς νομίσας ὅτι μόνος ὑπελείφθη τῷ θεῷ προσκυνητής, ἔλεγε τῷ θεῷ Ζηλῶν ἐζήλωσα [217] κυρίῳ θεῷ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε υἱοὶ Ἰσραήλ· τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. Καὶ εἶπε κύριος πρὸς αὐτόν· Πορεύου, ἀνάστρεφε εἰς τὴν ὁδόν σου[1], ὅτι οὐκ εἶ μόνος. Κατέλιπον γὰρ ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ[2]. Ἀλλὰ καὶ νῦν οὐκ ἄνθρωπος· ἀλλὰ θεὸς εἶπεν· Οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς. Κύριος γὰρ ἐκ τοῦ οὐρανοῦ διέκυψε τοῦ ἰδεῖν[3], οὐχ ἵνα τότε ἴδῃ, ἀλλ' ἵνα τότε σώσῃ, ἵνα ἃ προεῖπε δείξῃ· οὐκ ἔστιν ὁ συνιών, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν[4]. 6. Ὁ μακάριος Δαυΐδ φόβου καὶ θάμβους καὶ ἀθυμίας πληρωθείς, ἐν τῷ προκειμένῳ ψαλμῷ ἐπερωτᾷ· Εἰ οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς, εἰ οὐκ ἔστιν ὁ συνιὼν ἢ ὁ ἐκζητῶν τὸν θεόν, κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου[5]; Ὡς φαίνεται, ἐγὼ μάτην ἐπεθύμησα σκήνωμα καὶ ναὸν ἐν τῷ ὄρει οἰκοδομῆσαί σοι. Τοσαύτην ἔσχον ἀγρυπνίαν καὶ ἐπιθυμίαν καὶ χαμευνίαν· ὄρθριος ἔμεινα, ὅρκοις ἐμαυτὸν ἔδησα, ὤμοσα τῷ κυρίῳ εἰπών· Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου καὶ τοῖς βλεφάροις μου νυσταγμὸν καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ θεῷ Ἰακώβ[6]; Καὶ οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς. 7. Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[7]; Ἐρωτῶ σε περὶ τῶν παροίκων ὡς ἐπίτροπος· ὡς δεσπότης μοι ἀποκρίθητι. Ὁρῶ, δέσποτα, καὶ τὴν ἐκκλησίαν σου, τὴν ἀληθινὴν σκηνήν, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος[8]. Ἀλλ' ἐπειδὴ οἱ μὲν πατριάρχαι ἐτελεύτησαν, οἱ [218] προφῆται ἐκοιμήθησαν, οἱ δίκαιοι ἡρπάγησαν, Ἰουδαῖοι ἐσταύρωσαν, Ἕλληνες ἐβλασφήμησαν, αἱρετικοὶ ἐπλανήθησαν, Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[9]; Ἀνελάμφθην τῷ ἁγίῳ πνεύματι. Ἔμαθον τίς παροικήσει ἐν τῷ σκηνώματί σου[10]. Ὁ λαὸς ἐκεῖνος παροικήσει, ὁ ἐν τῷ πρὸ τούτου ψαλμῷ μνημονευόμενος, ὁ διὰ τὸ ὄνο-

---

1. Γ' Βασ. 19, 14-15. 2. Πρβλ. Γ' Βασ. 19, 18. 3. Ψαλμ. 13, 2 α. 4. Πρβλ. Ψαλμ. 13, 2 β. 5. στ. 1 βγ. 6. Ψαλμ. 131, 3-5. 7. στ. 1 β. 8. Ἑβρ. 8, 2. 9. στ. 1 β. 10. ἔνθ' ἀν.

μά σου κατεσθιόμενος βρώσει ἄρτου, περὶ οὗ ἔλεγες· Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου[1]. Οἱ κατεσθίοντες οὐ παροικοῦσιν· οἱ κατεσθιόμενοι παροικοῦσι. Πρόβατα γὰρ εἰς αὐλὰς δύνανται αὐλίζεσθαι. Σκήνωμα λέγεται καὶ τοῦ κυρίου τὸ σῶμα, πρὸς ὃν ἔλεγε τὸ πνεῦμα· Οὐ προσελεύσεται πρός σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου[2]. 8. Ἀλλ' ἐπειδὴ οὐδεὶς τυφλὸς ἢ χωλὸς ἢ μῶμον ἔχων ἐν ὄψει μένει εἰς τὰ βασίλεια μετὰ τοῦ βασιλέως, ἐρωτήσας ὁ Δαυίδ· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου; ἀκούει· Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην[3], ὁ μῶμον ἁμαρτίας μὴ ἔχων, ὁ μὴ ἐσπιλωμένος πορνείᾳ, ὁ μὴ τετραυματισμένος ἐπιορκίᾳ, ὁ μὴ κωλυθεὶς τὴν χεῖρα πρὸς εὐποιΐαν, ὁ μὴ χωλεύων τὸν πόδα πρὸς ἐκκλησίας δρόμον, ὁ μὴ ἀμβλυωπῶν καὶ τὸ ἑτερούσιον βλέπων. Πορευόμενος ἄμωμος[4]. Εἰ γὰρ τῷ βασιλεῖ Ναβουχοδονόσορ παρειστήκεισαν νεανίσκοι ἐν οἷς οὐκ ἦν ἐν αὐτοῖς μῶμος, καὶ πᾶσα ἡλικία ἀνθολογουμένη τὰ τῆς νεότητος ἀκροθίνια τῷ βασιλεῖ παρεῖχε[5], πόσῳ μᾶλλον ὁ τῷ θεῷ ἐγγίζων ὀφείλει ἄμωμος εἶναι; Πορευόμενος ἄμωμος[6]. Ὅτι δὲ μῶμος ἡ ἁμαρτία, γέγραπται περὶ τοῦ ψεύδους· ⟨Πονηρὸς μῶμος ἐν ἀνθρώπῳ τὸ ψεῦδος⟩[7]... 9. [... καὶ ὁ Δαυίδ· Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ λειτούργει μοι[8]. Εἶτα ὁ Δαυὶδ καλῶς· Καὶ εἰ ὁ πορευόμενος ἄμωμος[9] μετὰ **[219]** τοῦ θεοῦ οἰκεῖ, καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ[10]. Εἶτα πάλιν ὁ Δαυίδ· Εἰ ὁ ἐργαζόμενος δικαιοσύνην[11] μετὰ τοῦ θεοῦ οἰκεῖ, ἀμεριμνῶ· Ἐποίησα κρῖμα καὶ δικαιοσύνην[12] ἐπὶ τῆς γῆς. Ἀδικίαν δὲ ἐμίσησα καὶ ἐβδελυξάμην[13]. 10. Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ[14]. Εἶτα ὁ Δαυίδ· Εἰ ὁ λαλῶν ἀλήθειαν, δέσποτα, μετὰ σοῦ οἰκεῖ, τὴν δικαιοσύνην σου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου, τὴν ἀλήθειάν σου καὶ τὸ σωτήριόν σου εἶπα, οὐκ ἔκρυψα τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῶν[15]. 11. Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ[16]. Εἶτα ὁ Δαυίδ. Καὶ εἰ ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ μετὰ σοῦ, δέσποτα, οἰκεῖ, κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με· σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου, ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου[17]. 12. Καὶ οὐκ ἐποίησε τῷ πλησίον

1. Ψαλμ. 13, 4. 2. Ψαλμ. 90, 10. 3. στ. 1 β. 2 α. 4. στ. 2 α. 5. Πρβλ. Δαν. 1, 4. 6. στ. 2 α. 7. Σοφ. Σειρ. 20, 24. 8. Ψαλμ. 100, 6. 9. στ. 2 α. 10. Ψαλμ. 17, 24. 11. στ. 2 α. 12. Ψαλμ. 118, 121. 13. Ψαλμ. 118, 163. 14. στ. 2 β. 15. Ψαλμ. 39, 11. 16. στ. 3 α. 17. Ψαλμ. 138, 1. 2. 4.

αὐτοῦ κακόν[1]. Εἶτα καὶ ὁ Δαυίδ· Καὶ εἰ ὃς οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακὸν μετὰ σοῦ, δέσποτα, οἰκεῖ, ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύθην[2]. Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου[3]. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, μὴ οἰκήσαιμι ὡς φίλος μετὰ σοῦ, ἀλλ' ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός[4]. 13. Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν, καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα αὐτοῦ[5]. Εἶτα ὁ Δαυίδ· Καὶ εἰ ὁ μὴ ὀνειδιζόμενος διὰ τοὺς ἔγγιστα μετὰ τοῦ θεοῦ οἰκεῖ, καὶ τοῦτο κατώρθωσα· Τὸν καταλαλοῦντα λάθρᾳ τῶν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴκει ἐν μέσῳ τοῦ οἴκου μου ποιῶν ὑπερηφανίαν, λαλῶν ἄδικα **[220]** οὐ κατεύθυνεν ἐνώπιόν μου[6]. Μὴ ὠνείδισα τοὺς ἔγγιστα, πάντας τοὺς μὴ δυνηθέντας πατάξαι τὸν Γολιάθ; 14. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος[7]. Εἶτα ὁ Δαυίδ· Εἰ ὁ ἐξουδενῶν τοὺς πονηρούς, κύριε, ἐν τῷ ὄρει σου κατασκηνοῖ, τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσησα αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι[8]. Ἐξουδένωσα γὰρ αὐτοὺς εἰπών· 15. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον[9]. Τοὺς δὲ φοβουμένους τὸν κύριον δοξάζει[10]. Εἶτα ὁ Δαυίδ· Εἰ καὶ ὁ δοξάζων τοὺς φοβουμένους σε, κύριε, μετὰ σοῦ οἰκεῖ, ἐγγισάτωσάν μοι οἱ φοβούμενοί σε, ἵνα κατὰ πρόσωπον αὐτοὺς δοξάσω λέγων· Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον[11]. Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ[12]. 16. Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν[13]. Εἶτα ὁ Δαυίδ· Καὶ τοῦτο κατώρθωσα· Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου[14]. Ὤμοσα καὶ τῷ πλησίον μου τῷ Ἰωνάθαν τοῦ μὴ ἐξολοθρεῦσαι τὸ σπέρμα αὐτοῦ μετ' αὐτόν, καὶ οὐκ ἠθέτησα αὐτόν[15]. Μετὰ γὰρ τὸν αὐτοῦ καὶ τὸν τοῦ πατρὸς αὐτοῦ Σαοὺλ θάνατον, ὅτε οἱ Γαβαωνῖται, διὰ τὴν ἐπιορκίαν τὴν κατ' αὐτῶν γενομένην ἐπὶ τοῦ Σαούλ, τὸ σπέρμα τοῦ Σαοὺλ ἐκκόψαι ἠθέλησαν κατὰ θεοῦ ψῆφον,

---

1. στ. 3 β. 2. Ψαλμ. 25, 11. 3. Ψαλμ. 100, 2. 4. Ψαλμ. 7, 5. 5. στ. 3 βγ. 6. Ψαλμ. 100, 5-7. 7. στ. 4 α. 8. Ψαλμ. 138, 21-22. 9. Ψαλμ. 57, 8. 10. στ. 4 β. 11. Ψαλμ. 127, 1. 12. Ψαλμ. 149, 9. 13. στ. 4 γ. 14. Ψαλμ. 118, 106. 15. Πρβλ. Α' Βασ. 20, 15 καὶ 42.

τότε ὁ Δαυὶδ τοὺς ἀπογόνους τοῦ Ἰωνάθαν, ἐγγόνους ὄντας τοῦ Σαούλ, ἀποκρύψας, τὸ λοιπὸν σπέρμα τοῦ Σαοὺλ τοῖς Γαβαωνίταις ἐξέδωκεν [1]. Καὶ ὀμόσας τῷ Ἰωνάθαν ὁ Δαυίδ, τὸν ὅρκον οὐκ ἠθέτησεν. 17. Καὶ ἐπειδὴ ὅρκου μνήμη, κέχυται δὲ πανταχοῦ νῦν ἡ ἐπιορκία ὡς ὁμίχλη, δεῦρο μάθε διὰ τὸ σύντομον ἀπὸ ἱστορίας ὅπως μετὰ **[221]** ἑξακόσια ἔτη ὁ θεὸς ἐξεδίκησε τὸν ὅρκον καὶ ἀπώλεσε τέκνα ἀνατρέψαντα πατέρων ὅρκους. Ὅτε Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐπολέμησε τοὺς εἰκοσιεννέα βασιλεῖς καὶ τὰ πολυάνθρωπα ἔθνη, ἐπέστη καὶ τῷ ἔθνει τῶν Γαβαωνιτῶν. Εἶτα οἱ Γαβαωνῖται εἰς πόλεμον μὲν τῷ Ἰσραὴλ οὐ παρετάξαντο· τέχνην δὲ καὶ δόλον ἀμφιεσάμενοι ἐσοφίσαντο τὸν θάνατον. Ἄρτους γὰρ σεσηπότας καὶ παλαιοὺς ἀσκοὺς βαστάσαντες καὶ ὑποδήματα παλαιὰ φορέσαντες προσῆλθον τῷ Ἰησοῦ λέγοντες· Μηκόθεν πρεσβευταὶ ἀπεστάλημεν, τὸ μὲν πολεμεῖν παραιτούμενοι, τὸ δὲ δουλεύειν ὑμῖν συντιθέμενοι. Εἶτα μάρτυρας δῆθεν τοῦ διαστήματος τὰ ἐφόδια ἐδείκνυον λέγοντες· Τοὺς ἄρτους τούτους θερμοὺς ἐφωδιάσθημεν, καὶ ἰδοὺ κατεσάπησαν. Τὰ αὐτὰ δὲ καὶ περὶ τῶν ἀσκῶν καὶ τῶν ὑποδημάτων ἔλεγον. Εἶτα Ἰησοῦς ὁ τοῦ Ναυῆ ἀνακοινοῦται περὶ τῶν Γαβαωνιτῶν τοῖς στρατηγοῖς καὶ τοῖς ἄρχουσι, καὶ ὤμοσαν τοῖς Γαβαωνίταις μὴ πολεμῆσαι αὐτούς· εἶχε δὲ αὐτοὺς ξυλοκόπους καὶ ὑδροφόρους. Λαβόντες δὲ τὸν ὅρκον οἱ Γαβαωνῖται τότε ὡμολόγησαν τῷ Ἰησοῦ καὶ τοῖς ἄρχουσιν ὅτι οὐκ ἦλθον ἀπὸ διαστήματος ποθέν, ἀλλ' ὅτι ἐντόπιοί εἰσι καὶ αὐτόχθονες. Καὶ ἐπειδὴ ὤμοσαν αὐτοῖς οἱ Ἰσραηλῖται, οὐκέτι αὐτοὺς ἐπολέμησαν [2]. 18. Τούτων οὕτω γενομένων, μετὰ ἑξακόσια ἔτη Σαοὺλ ὁ βασιλεὺς τοῦ Ἰσραὴλ τὸν ὅρκον τῶν πατέρων ἠθέτησεν καὶ τοὺς Γαβαωνίτας ἐπολέμησεν. Καὶ ὠργίσθη πρὸς τοῦτο ὁ θεός, οὐκ ὅτι ἐπολεμήθησαν οἱ Γαβαωνῖται, ἀλλ' ὅτι ὁ ὅρκος παρελύθη. Καὶ ἵνα μὴ νόμον λαβοῦσα ἡ παρανομία λυμήνηται τὸν βίον, τὸν πρὸ ἑξακοσίων ἐτῶν ὅρκον ὡς νέον ἐξεδίκησεν, διδάσκων τῷ πράγματι ὅτι ὁ ὅρκος οὐ παλαιοῦται οὐδὲ σήπεται. Εἶτα, ὁ μὲν Σαοὺλ ἅμα τοῖς υἱοῖς αὐτοῦ πολεμούμενος, ταῖς ἑαυτῶν μαχαίραις ἑαυτοὺς περιέπειραν, καὶ τὰς μαχαίρας ἃς ἐγύμνωσαν κατὰ τῶν Γαβαωνιτῶν, ταύταις ἑαυτοὺς διεχειρίσαντο, ἵνα μάθωσιν ὅτι δι' ὧν τις **[222]** ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται. 19. Μετὰ δὲ τὸν Σαοὺλ τρία ἔτη λιμὸς ἐγένετο, καὶ λιμὸς καὶ μάχαιρα ἐδήμευε τοὺς ἀθετήσαντας τὸν ὅρκον. Ἐπερωτᾷ ὁ Δαυὶδ τὸν θεὸν τὴν αἰτίαν τοῦ λιμοῦ. Ἀποκρίνεται αὐτῷ ταῦτα τὰ ῥήματα ὁ θεός· Ἐπὶ Σαοὺλ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἡ ἀδικία διὰ τὸ θανάτῳ θανατῶσαι αὐτὸν τοὺς Γαβαωνίτας [3], οἷς ὤμοσαν οἱ υἱοὶ Ἰσραὴλ μὴ θανατῶσαι αὐτούς. Εἶτα καλεῖ τοὺς Γαβαωνίτας ὁ Δαυὶδ κατὰ θεοῦ κέλευσιν καὶ ἐκδότους αὐτοῖς ἔδωκε

1. Πρβλ. Β' Βασ. 21, 1-9. 2. Πρβλ. Ἰησ. Ναυῆ κεφ. θ'. 3. Β' Βασ. 21, 1.

τοὺς ἐγγόνους τοῦ Σαοὺλ καὶ ἀπέκρυψε τοὺς τοῦ 'Ιωνάθαν υἱούς, ἐπειδὴ ὤμοσεν αὐτῷ ζῶντι ὥστε μὴ ἐξολοθρεῦσαι αὐτοῦ τὸ σπέρμα μετὰ θάνατον. Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ [1], τοῦτο λογισάμενος εἰ τέκνα ἀθετήσαντα πατέρων ὅρκους ὑπὸ θεοῦ ἐξεδόθησαν τῇ ἀπωλείᾳ, τί ἂν ὑπομείνω ἐγὼ τολμήσας ἐπιορκῆσαι; Εἰ οὖν μετὰ ἑξακόσια ἔτη ὁ θεὸς ἐδικαίωσε καὶ ἐξεδίκησε τὸν ὅρκον, καὶ ἄλλων ὀμοσάντων ἄλλοι ἀνατρέψαντες ἐτιμωρήθησαν, τί ἂν ὑπομείνωμεν οἱ ὀμνύοντες καὶ ἐπιορκοῦντες; 20. 'Ο ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν· τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ [2]. Καὶ τοῦτο ἐποίησεν ὁ Δαυίδ, οὐ τοκίζων τὸ ἀργύριον, ἀλλ' ἐξ ἑαυτοῦ τὸν ναὸν τοῦ θεοῦ κτίζων. Αὐτὸς γὰρ ἔδωκε τὰ χρήματα τῆς οἰκοδομῆς τοῦ ναοῦ τῷ Σολομῶντι. 21. Καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν [3]. Καὶ τοῦτο ὁ Δαυὶδ ἐποίησεν. "Οτε γὰρ αὐτῷ τὴν ἅλωνα καὶ τοὺς βόας προσήνεγκεν ὁ 'Ορνᾶ, ἵνα ἐν μὲν τῇ ἅλωνι τὸν ναὸν οἰκοδομήσῃ, εἰς δὲ ὁλοκαύτωσιν τὰ ζεύγη τῶν βοῶν ἀνενέγκῃ, οὐ κατεδέξατο ὁ Δαυὶδ τὰ δῶρα, ἀλλ' ἔδωκε τὰς ὑπὲρ αὐτῶν τιμὰς εἰπών· Οὐ μὴ λάβω παρά σου τὰ σὰ δωρεὰν τοῦ **[223]** προσενέγκαι τῷ κυρίῳ [4]. Οὐκ ἐπεθύμησεν ὡς ὁ ⟨...⟩ Ναβουθέ, ἵνα κῆπον λαχάνων ποιήσῃ τὸν ἀμπελῶνα [5]. 22. 'Ο ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα [6]. "Οθεν ποιήσας ταῦτα ὁ Δαυὶδ καὶ εὐθηνούμενος ταῖς ἀρεταῖς ἔλεγεν· 'Εγὼ εἶπον ἐν τῇ εὐθηνίᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα [7]. 'Ημέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σοί [8]. 23. Τοῦτον καὶ ἡμεῖς μιμησώμεθα ἀνατυποῦντες καὶ ἀναζωγραφοῦντες καθ' ἑκάστην ἐν τῇ ἡμῶν διανοίᾳ ἅπαντα τὰ ἐν τῷ ψαλμῷ τούτῳ ἀναγεγραμμένα καὶ μὴ δῶμεν τὸ ἀργύριον ἡμῶν ἐπὶ τόκῳ, ἀλλὰ σκορπίσωμεν εἰς τὰς τῶν δεομένων χεῖρας, ἵνα λάβωμεν ἑκατονταπλασίονα ... 24. ...Γένοιτο δὲ πάντας ἡμᾶς ἀσάλευτον καὶ ἀνόλισθον καὶ ἀδιάπτωτον βίον ζῶντας φθάσαι τὴν τῶν οὐρανῶν βασιλείαν χάριτι Χριστοῦ· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. 'Αμήν].

ΨΑΛΜΟΣ ΙΕ'

Εἰς τὸν ιε' ψαλμόν.

1. 'Η τῶν προφητικῶν ψαλμῶν μνήμη Χριστιανοῖς ἀκατάλυτός ἐστιν ἀρετῶν στήλη. 'Η εἰς τοὺς ἁγίους μνήμη ἀνεξάλειπτος ἐν ψυ-

---

1. Ψαλμ. 23, 4. 2. στ. 4 γ 5 α. 3. στ. 5 β. 4. Πρβλ. Β' Βασ. 24, 22-24. 5. Πρβλ. Γ' Βασ. 20, 1 κ.ἑ. 6. στ. 5 γ. 7. Ψαλμ. 29, 7. 8. Ψαλμ. 55, 4.

χαῖς θεογνωσίας γίνεται στήλη. Μεμνημένοι τοίνυν τοῦ Δαυίδ, ἴδωμεν τὰ τοῦ Δαυίδ. Στηλογραφία τῷ Δαυίδ[1]. Καὶ διὰ τί στηλογραφίαν τὴν προκειμένην πραγματείαν ἐπέγραψεν ὁ Δαυίδ; Ἐπειδὴ ὡς ἐν ἀσαλεύτῳ καὶ ἀνεξαλείπτῳ στήλῃ θαρρεῖ τῇ περὶ Χριστοῦ προφητείᾳ. Ὥσπερ γὰρ στήλη χαλκῆ ἢ λιθίνη γράμμασιν ἐγκεκολαμμένη καὶ ῥήμασι βασιλικοῖς ἐγγεγλυμμένη οὐκ εὐχερῶς ἀνατρέπεται ἢ ἐξαλείφεται, οὕτω τὰ τοῦ [224] προφήτου ῥήματα ἀδιάπτωτα καὶ ἀδιαμάρτητά ἐστι δόγματα· πνεύματος γὰρ ἁγίου εἰσὶ διδάγματα, Χριστοῦ μαθήματα, τοῦ πατρὸς θεσπίσματα. 2. Στηλογραφία τῷ Δαυίδ[2]. Ὥσπερ γὰρ ὁ ἐπίγραμμα στήλης ἢ ἀνδριάντος ἀναγινώσκων ἀπὸ τῆς στηλογραφίας ἐν ἑαυτῷ ζωγραφεῖ τὸν ἀριστέα καὶ τὸν ἐν τάφῳ κείμενον ἀναχαλκεύει τῇ μνήμῃ καὶ τὸν ἀπὸ τοῦ βίου ὁδεύσαντα ἐν τῇ διανοίᾳ φέρει καὶ ὡς παρόντι τῷ ἀπόντι συνοδεύει, οὕτως ἕκαστος ἡμῶν τὴν στηλογραφίαν τοῦ Δαυὶδ ἀναγινώσκων ὡς εἰκόνα τοῦ γράψαντος περιπτύσσεται τὸ γράμμα καὶ ὡς λείψανα τοῦ Δαυίδ, μᾶλλον δὲ ὡς ὅλον τὸν Δαυίδ, μετὰ πόθου περιλαμβάνει. Εἰ γὰρ ἁγίων λείψανα, τὰ γῆς ἔγγονα καὶ πηλοῦ βλαστήματα, πολὺ τίμια, πόσῳ μᾶλλον τὰ τῶν προφητῶν καὶ τοῦ πνεύματος τοῦ ἁγίου ῥήματα, ἀθάνατα ὄντα καὶ εἰς ἀθανασίαν ἡμᾶς ἄγοντα, [οὐ] περισπούδαστα; 3. Καὶ εἰ ὁ μακάριος Μωϋσῆς τὰ λείψανα καὶ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ ἔλαβε καὶ τὴν Αἴγυπτον ἐξερχόμενος οὐκ ἀφῆκε τὸν Ἰωσὴφ εἰς τὴν Αἴγυπτον[3], ἵνα μὴ ὡς εἰς δεύτερον λάκκον τῷ τάφῳ ἐάσῃ τὸ λείψανον τοῦ δικαίου, ἵνα μὴ ἡ ἀγνωμοσύνη τῶν ἐγγόνων τὴν ἀπόνοιαν τῶν προγόνων ζηλώσασα τὰ ὅμοια ἐκείνοις ἀντλήσῃ παθήματα — ἐπειδὴ γὰρ τοῖς ἀδελφοῖς ὁ Ἰωσὴφ προεῖπεν· Ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς ὁ θεός, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν[4], καθάπερ στηλογραφίαν ἀναγνόντες τὴν τοῦ Ἰωσὴφ προφητείαν, ὡς ἀπὸ δευτέρου λάκκου τοῦ τάφου τὰ ὀστᾶ αὐτοῦ ἦραν, ἵνα μήτε μετὰ θάνατον ὁ σώφρων Ἰωσὴφ τῇ Αἰγυπτίᾳ γῇ συγκαθεύδῃ ἄκων, ἵνα μήτε ἡ κόνις τῶν ἀκολάστων ἀνδρῶν τὸ ἅγιον σῶμα κατέχῃ, ἵνα μὴ ὀνώδεις καὶ φιλόσαρκοι ἄνθρωποι τὸν τῇ ἁγνείᾳ ὀστεωθέντα καταπατῶσιν—Εἰ οὖν τὸ λείψανον τοῦ σώφρονος ὡς σωφροσύνης φυλακτήριον ἀπὸ τοῦ τάφου ἦραν, πόσῳ μᾶλλον προφητείαν τῆς τοῦ Χριστοῦ ἐπιδημίας [225] προκειμένην ἐπὶ στηλογραφίας δίκαιον καὶ εὔλογον ἐν τῇ ψυχῇ μεταγράψαι, μήτε τὴν στήλην ζημιοῦντας καὶ ἑαυτοὺς ὠφελοῦντας; 4. Ὡς γὰρ ἡ στήλη μεταγραφομένη οὐ ζημιοῦται τὰ γράμματα, οὕτως ἡ περὶ Χριστοῦ προφητεία τῇ ἑρμηνείᾳ ἀντλουμένη οὐ μειοῦται τὰ δόγματα. Ἐπεὶ οὖν ἐπιτάφιός ἐστι Χριστοῦ στηλογραφία ἡ τοῦ προκειμένου ψαλμοῦ πραγματεία, καὶ τὸ πάθος Χριστοῦ καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν περιέχει ὡς ἡρμήνευσεν ὁ μακάριος ἀπόστο-

---

1. στ. 1 α. 2. ἔνθ' ἀν. 3. Πρβλ. Ἔξ. 13, 19. 4. Γέν. 50, 25.

λος Πέτρος [1], ἴδωμεν τὸν Δαυὶδ τὰ τοῦ Χριστοῦ λαλοῦντα καὶ λέγοντα· Φύλαξόν με, κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα [2]. 5. Ἐξ Αἰγύπτου ἐρρυσάμην καὶ εἰς Αἴγυπτον φεύγω. Ἔμπροσθεν αὐτῶν ἐπορευόμην καὶ ὄπισθεν ἠκολούθουν· ἔμπροσθεν ὡς ὁδηγός, ὄπισθεν δὲ ὡς ποιμήν, ἵνα μήτε ἔμπροσθεν αὐτοῖς τὰ ἔθνη ὡς θηρία ἀπαντήσωσι, μήτε ὄπισθεν οἱ Αἰγύπτιοι ὡς κύνες πολλοὶ καταφάγωσι· Περιεκύκλωσαν γάρ με κύνες πολλοί· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος [3]. Φύλαξόν με, κύριε [4]. Εἰ μὴ ἔμπροσθεν αὐτῶν ἐγὼ προῆγον, οὐκ ἂν ἡ θάλασσα ἰδοῦσά με ἔφυγεν· οὐδ' ἂν ὁ λαὸς εἰς πυθμένα βυθοῦ εἰσελθεῖν ἐτόλμησεν, εἰ μὴ εἶδεν ἐμὲ πρῶτον εἰσερχόμενον. 6. Ἐν τῇ Μερρᾷ ὕδατα πικρὰ αὐτοῖς ἀπήντησαν τῆς θαλάσσης πικρότερα· καὶ ἦν τὰ πικρὰ ὕδατα τὴν πικρίαν τῆς ψυχῆς αὐτῶν ἐρευγόμενα. Καὶ ἐγὼ μὲν ξύλῳ τὰ πικρὰ ἐγλύκανα ὕδατα [5]· αὐτοὶ δὲ παρεπίκρανάν με ἐν τοῖς εἰδώλοις αὐτῶν. Ὕδωρ ἐκ πέτρας αὐτοῖς προήνεγκα, καὶ λίθους κατ' ἐμοῦ ἐβάστασαν. Ξύλῳ τὸ ὕδωρ αὐτοῖς ἐγλύκανα, καὶ τῷ ξύλῳ με προσέπηξαν. Τῷ μάννα αὐτοὺς διέθρεψα, καὶ κατ' ἐμοῦ ἐμάνησαν. Δι' αὐτοὺς ἐνηνθρώπησα, καὶ ἀπανθρώπως μοι ὑπήντησαν. Τοὺς δαίμονας αὐτῶν ἐδίωξα, καὶ δαιμονιῶντά με ἐκάλεσαν. Τὴν Σαμάρειαν ἐφώτισα, καὶ Σαμαρείτην ὠνόμασαν. Ἐπὶ θρόνου βασιλείας αὐτοὺς ἐκά [226] θισα, καὶ τῷ Πιλάτῳ με παρέστησαν. Δουλεύοντας ἠλευθέρωσα, καὶ ῥάπισμα ὑπὸ δούλου ἔλαβον. Πραθέντας τῇ ἁμαρτίᾳ ἀγοράσαι ἦλθον, καὶ τριάκοντά με ἀργυρίων ἐπώλησαν. Νεφέλῃ αὐτοὺς ἐσκέπασα, καὶ χλαμύδα με περιέβαλον. Διάδημα βασιλείας αὐτοῖς ἔδωκα, καὶ ἀκάνθαις με ἐστεφάνωσαν. Τὰς χεῖρας αὐτῶν κατὰ τῶν ἐχθρῶν ὥπλισα, καὶ ἥλοις ἐν τῷ σταυρῷ τὰς χεῖράς μου ἔτρησαν. Μέλι καὶ γάλα αὐτοῖς ἔδωκα, καὶ ὄξος καὶ χολήν μοι προσήνεγκαν. Σκῆπτρα βασιλείας ἔδωκα, καὶ κάλαμόν μοι ἐπέδωκαν. Τὰς ὡς καλάμῳ αὐτοῖς χειρογραφηθείσας ἁμαρτίας ἦλθον ἐξαλεῖψαι, καὶ καλάμῳ με εἰς τὴν κεφαλὴν ἔτυπτον. Ἐγὼ αὐτοῖς ἐκ πέτρας μέλι δέδωκα, καὶ αὐτοὶ καλάμῳ καὶ σπόγγῳ ὄξος με ἐπότιζον. Ἐγὼ αὐτοῖς τὰς πλάκας τοῦ νόμου κατέγραψα, καὶ αὐτοί μοι τὸν τίτλον τῷ σταυρῷ προσέπηξαν. Ἐγὼ αὐτοῖς ὕδωρ ἐκ πέτρας ἔδωκα, αὐτοὶ δὲ ἐκ τῆς πλευρᾶς μου αἷμα ἐξήνεγκαν. Ἐγὼ μετὰ δύο ἀδελφῶν Μωϋσέως καὶ Ἀαρὼν αὐτοὺς ἔσωσα, καὶ αὐτοὶ ἐν μέσῳ με δύο λῃστῶν ἐσταύρωσαν. Ἐγὼ ἀγγέλοις αὐτοὺς ἐκύκλωσα, καὶ αὐτοὶ ὡς κύνες περιεκύκλωσάν με. Ἐγὼ αὐτοῖς τὰς πόλεις τῶν ὑπεναντίων ἀνέῳξα, καὶ αὐτοί με θάψαντες τὸν τάφον ἐσφράγισαν. Ἐγὼ αὐτοὺς πλανωμένους ὡδήγησα, καὶ αὐτοὶ με πλάνον ἐκάλεσαν λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν

1. Πρβλ. Πράξ. 2, 31. 2. στ. 1β. 3. Ψαλμ. 21, 13-14. 4. στ. 1β. 5. Πρβλ. Ἔξ. 15, 23-25.

ὅτι μετὰ τρεῖς ἡμέρας ἐγείρομαι[1]. 7. Ἐπεὶ οὖν πάντα πρὸς τὴν ἐμὴν ἀπώλειαν ἐπραγματεύσαντο, φύλαξόν με, κύριε[2]. Διὰ τοῦτο τερπνότης ἐν τῇ δεξιᾷ μου[3]. Τῆς πενθερᾶς τοῦ Πέτρου ἅπτομαι, καὶ φεύγει ὁ πυρετός. Τῷ λεπρῷ προσψαύω, καὶ καθαρίζεται. Πηλῷ ὀμματῶ τυφλόν 〈...〉 Κρατῶ τῆς δεξιᾶς τῆς ἀποθανούσης, καὶ ἡ κόρη ὡς ἀπὸ ὕπνου τοῦ θανάτου ἐγείρεται. [227] Εἰς τέλος[4]· οὐδὲ γὰρ ἀρξάμενος θαυματουργῶ ἢ αἰτῶ τὴν δύναμιν. Φύλαξόν με, κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα[5] [...Ἐγὼ δὲ οὐ τοῦτον μόνον τὸν λόγον ἐπιλύομαι. Τί δήποτε οἱ τὰ ὀρθὰ βαδίζοντες πρὸ τῶν πειρασμῶν μετὰ τοὺς πειρασμοὺς κατέπεσαν; Τίς οὖν ὁ καλῶς τοὺς τὰ ὀρθὰ βαδίζοντας ἐπιστάμενος καὶ τὸ ἔσχατον τῶν ὀρεκτῶν κατειληφότας πλὴν τοῦ πλάσαντος κατὰ μόνας τὰς καρδίας ἡμῶν καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν; Πολλοὶ γὰρ πολλάκις τῶν δοκούντων ἡμῖν εἶναι χρηστῶν πάντων εἰσὶ πονηρότεροι. Καὶ τοῦτο ἀπεδείχθη μὲν ἤδη καὶ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐπ' ἐνίων, περιστάσεώς τινος γινομένης καὶ ἀνάγκης. Ὅταν ὁ δοκιμάζων τὰς καρδίας καὶ τοὺς νεφρούς[6], ζῶν καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὁ διικνούμενος μέχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν[7], καθέζηται δικάζων ἡμῖν, τότε δὴ τότε οὐκ ὀλίγους τινὰς ἐκ πολλῶν, ἀλλὰ πάντας ἐκκαλυπτομένους ὄψει τοὺς τοιούτους. Καὶ οὔτε δορὰ προβάτου τὸν λύκον δύναιτ' ἄν, οὔτε κονίασις τάφου τὸν ἔνδον ἀποκρύψαι μολυσμόν. Οὐκ ἔσται γὰρ κτίσις ἀφανὴς τοῦ τότε κρίνοντος, ἀλλὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ[8]. Ὅπερ καὶ ὁ Παῦλος δηλῶν Κορινθίοις ἔλεγεν· Ὥστε μὴ πρὸ καιροῦ τι κρίνητε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν[9]. 9. Ταῦτα οὖν ἀκούοντες, ἀγαπητοί, διαναστῶμεν ἐκνήψαντες, μὴ πάλιν ὕπνῳ ἁμαρτίας καθεύδωμεν. Ἐξιλασώμεθα τοῖς δευτέροις τὰ φθάσαντα. Ἀδίκως συνέλεξας· δικαίως ἀνάλωσον. Ἐξ αὐτῶν τῶν τοῦ πάθους ἀφορμῶν τῷ πάθει κατασκευά[228]σον φάρμακα. Ἠδίκησάς ποτε. Πρῶτον ὧν ἠδίκησας φεῖσαι, πρῶτον δίκαιος, καὶ τότε φιλάνθρωπος. Πρῶτον ἀπόδος, εἶθ' οὕτω μετάδος· πρῶτον ἔκκλινον τὸ κακόν, εἶθ' οὕτω ποίησον ἀγαθόν[10]. Μὴ φαίνου φιλόδωρος ἀφ' ὧν οὐκ ἐγένου φιλάδελφος. Ὅταν στήσῃς τῶν ὑπό σου ἀδικηθέντων τὸ δάκρυον, τότε πένησιν ἑτέροις συμπάθησον κλαίουσι. Τίμα γάρ,

1. Ματθ. 27, 63. 2. στ. 1 β. 3. Πρβλ. στ. 11 γ. 4. ἔνθ' ἀν. 5. στ. 1 β. 6. Πρβλ. Ἱερ. 11, 20. 7. Ἑβρ. 4, 12. 8. Ἑβρ. 4, 13. 9. Α' Κορ. 4, 5. 10. Πρβλ. Ψαλμ. 33, 15.

φησί, τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων[1]. Μὴ ἀπατᾶσθε· θεὸς οὐ μυκτηρίζεται[2]. Οὐ δέχεται δωρεὰν ἑτέρου στενάζοντος. Οὐκ ἔστιν ἐκεῖ παροφθῆναι τὸ δίκαιον, ἀλλ' εἴ τι σύνοιδας σαυτῷ ἄτοπα πεπραχώς, μετανόησον. Ὑπόχρεως γέγονας πολλῶν πλημμελημάτων, μὴ φοβηθῇς τὸν κριτὴν καὶ ἀπογνῷς τῆς σαυτοῦ σωτηρίας. Δότε γὰρ ἐλεημοσύνην[3], καὶ πάντα πεπλήρωται. Ἀνέχεται καὶ δύο ὀβολοὺς καὶ ποτήριον ψυχρόν· οἶδε καὶ πρόθεσιν ἀπόρου ἐλεήμονος ὑποδέξασθαι· αὐτὸς γὰρ εἶπεν· Ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ[4]· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν].

ΨΑΛΜΟΣ ΙΗ'

Εἰς τὸν ιη' ψαλμόν.

1. Θεωρῶν ὀφθαλμὸς καλὰ[5] τέρπεται, λέγει ὁ παροιμιαστής. Καὶ ποῖά ἐστι κυρίως τὰ καλὰ οἷς τέρπεται ὀφθαλμός; Ἆρα τὰ πολυθρύλητα ἱπποδρόμια, ἐν οἷς ἡ ψυχὴ πρὸ τοῦ σώματος τὸ βλέπειν ἀπώλεσεν, ὅπου τυφλὸς τυφλόν, οὐ τὸ σῶμα, ἀλλὰ τὴν ψυχὴν ὁδηγεῖ καὶ ἀμφότεροι εἰς βόθυνον ἁμαρτίας πίπτουσιν; Εἰ γὰρ ἔβλεπον οἱ ταπεινοὶ καὶ δείλαιοι, οὐκ ἂν τὴν ἀλλοτρίαν βλάβην οἰκείαν τέρψιν ἐνόμιζον. Βλέπουσι τὸν ὅμοιον ἄνθρωπον ἀποπεσόντα τοῦ ἅρματος καὶ ὡς νεκρὸν κύνα τὸν ζῶντα συρό [229] μενον καὶ ὑπὸ τῶν ἀλόγων τὸν λογικὸν σπαραττόμενον, καὶ τῇ μανίᾳ τὰ σπλάγχνα στειρώσαντες, τὴν ἀλλοτρίαν πληγὴν ἰδίαν ἡδονὴν νομίζουσιν. 2. Ἄλλων πάλιν ὀφθαλμοὶ τοῖς θεάτροις τέρπονται, ἔνθα οἱ βλέποντες ὡς μὴ βλέποντες τὴν σωφροσύνην λῃστεύονται, ὅπου τὰ κρυπτὰ τῆς φύσεως ἀναιδῶς θριαμβεύονται, ὅπου ἄνδρες θηλυνόμενοι καὶ γυναῖκες τὸ σεμνὸν ἀρνούμεναι ὡς ἐν κρυπτῷ ἐν μέσῳ τῷ θεάτρῳ ἀναιδῶς πομπεύουσιν, ὅπου νεότης ἀκμάζουσα τῷ πόθῳ μαραίνεται, πεπυρωμένοις βέλεσι τοξευομένη τὸν νοῦν. Καὶ οὐδαμοῦ σίδηρος, καὶ ὁ νέος τέτρωται· οὐδαμοῦ βάρβαρος, καὶ οὗτος αἰχμάλωτος ἄγεται καὶ λαμβάνει τοξεύματα πορνικὰ βλέμματα. Καὶ μάρτυς ὁ παροιμιαστής· Πολλοὺς γὰρ τρώσασα καταβέβληκε[6]. Καὶ τὸ πάντων βαρύτερον, ὅτι οἱ μὲν ἐν τοῖς πολέμοις τοξευόμενοι, τραυματιζόμενοι τὰ σώματα, εὐθέως τῆς ἰάσεως φροντίζουσιν, ἀφ' ἑαυτῶν ἢ ὑπὸ ἄλλων ἰατρευόμενοι· οἱ δέ, ὡς μηδὲν παθόντες δεινόν, ἀθεράπευτοι μένουσιν, αἰωνίους ὀδύνας ἑαυτοῖς συνάγοντες. Ὥσπερ γὰρ οἱ ἀπὸ λίθου ἢ σιδήρου πληγέντες καὶ παραυτὰ ἰατρευόμενοι ταχὺ

1. Παρμ. 3, 9. 2. Γαλ. 6, 7. 3. Λουκ. 12, 33. 4. Παρμ. 19, 17. 5. Παρμ. 15, 30. 6. Παρμ. 7, 26.

θεραπεύονται, οἱ δὲ καταφρονήσαντες δυσίατοι ἢ καὶ ἀνίατοι γίνονται, οὕτως οἱ ἁμαρτίᾳ τρωθέντες καὶ ταχέως μὴ μετανοήσαντες. Πρὸς καιρὸν γὰρ τὸν φάρυγγα τῷ πορνικῷ μέλιτι λιπαινόμενοι, ὕστερον πικροτέραν χολῆς τὴν πληγὴν εὑρίσκουσι καὶ μαχαίρας ἠκονημένης ὀξυτέραν τὴν τοῦ δικαστοῦ ἀπόφασιν. 3. Ποῖα οὖν θεωρῶν ὁ ὀφθαλμὸς καλὰ τέρπεται [1]; Καλὰ λέγει τὰ ἔργα τῆς κτίσεως. Τούτου μάρτυς ὁ Μωϋσῆς· Καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν [2]. Τούτων γὰρ καὶ ἡ θέα ἐπωφελὴς καὶ ἡ τέρψις ἀκίνδυνος, ὅτι καὶ φαινόμενα τέρπουσι καὶ φθεγγόμενα εὐφραίνουσι καὶ ἄνευ γλώσσης ρητορεύουσι καὶ ἄνευ χειλέων διδάσκουσι. 4. Τούτων ἀκροατὴς γενόμενος ὁ Δαυὶδ ἀρτίως ἔλεγεν· Οἱ οὐρανοὶ **[230]** διηγοῦνται δόξαν θεοῦ [3]. Καλὸς μαθητὴς ὁ τῶν οὐρανῶν ἀκροατής. Καὶ τίνας λέγει οὐρανούς; Κατὰ τὸ φαινόμενον, τὸν ὁρώμενον οὐρανὸν καὶ πάντα τὰ ὑψηλὰ καὶ περίβλεπτα ἔργα τὰ ἐν τῷ οὐρανῷ, ἥλιον, σελήνην, ἀστέρας καὶ τὰ ἄστρα, καὶ πάντα ὅσα ἔχει καλὰ ὁ φαινόμενος οὐρανός. Ὥσπερ γὰρ οἱ ἔκ τινος πόλεως πολῖται τὸ τῆς πόλεως αὐτῶν ἐνδύονται ὄνομα, οἱ μὲν Ἀντιοχεῖς, οἱ δὲ Ῥωμαῖοι, οἱ δὲ Βυζάντιοι, ἀπὸ τῶν πόλεων καλούμενοι, οὕτω καὶ οἱ πολῖται τοῦ οὐρανοῦ, οἱ φωστῆρες, οὐρανοὶ χρηματίζουσιν. Ὅθεν καὶ οἱ ἅγιοι καὶ θεοφιλεῖς ἄνθρωποι οὐρανοὶ λέγονται, ὡς οὐρανόφρονες καὶ οὐράνιον τὸ πολίτευμα ἔχοντες. 5. Ὅτι δὲ καὶ οἱ φαινόμενοι φωστῆρες οὐρανοὶ λέγονται, μάρτυς ὁ Δαυὶδ εἰπών· Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου. Καὶ ποίους οὐρανούς; Σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας [4], τὴν σελήνην καὶ τοὺς ἀστέρας οὐρανοὺς καλῶν. Εἰ γὰρ μὴ περὶ τοῦ αἰσθητοῦ οὐρανοῦ ἔλεγεν, οὐκ ἂν εἶχεν εἰπεῖν· Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου [5], ὄψομαι ἀντὶ τοῦ· Νοήσω πῶς ἔθου αὐτὰ εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς [6]. Εἰ γὰρ καὶ ὁ ὑψηλὸς καὶ αἰθέριος ἀὴρ λέγεται οὐρανός—διὸ λέγεται· Τὰ πετεινὰ τοῦ οὐρανοῦ [7]—καὶ οἱ ὀλίγον ὑψηλότεροι τοῦ ἀέρος τόποι εἴρηνται οὐρανοί, ὡς καὶ περὶ τῶν κυμάτων τῆς θαλάσσης λέγεσθαι· Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν [8], πολλῷ μᾶλλον εὐκαιρότερον οἱ οὐράνιοι φωστῆρες λεχθήσονται οὐρανοί. Εἰ γὰρ τὸν ἀσώματον οὐρανὸν οὐκ εἶδεν αἰσθητοῖς ὀφθαλμοῖς, πῶς εἶπεν· Ὄψομαι τοὺς οὐρανούς [9]; 6. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ [10], οἱ φωστῆρες τὸ μεγαλοπρεπὲς κάλλος τοῦ δημιουργήσαντος σαλπίζοντες. Διηγοῦνται δὲ οὐ ῥήμασι πείθοντες, ἀλλὰ τοῖς σχήμασι διδάσκοντες. Καὶ τίσι διηγοῦνται οἱ

---

1. Πρβλ. Παρμ. 15, 30. 2. Γέν. 1, 31. 3. στ. 2 α. 4. Ψαλμ. 8, 4. 5. ἔνθ' ἀν. 6. Γέν. 1, 14. 7. Γέν. 2, 19 κ.ἑ. 8. Ψαλμ. 106, 26. 9. Ψαλμ. 8, 4. 10. στ. 2 α.

οὐρανοί; Τοῖς οὐράνιον φρόνημα ἔχουσι, τοῖς κεκτημένοις ὦτα ψυχῆς, τοῖς [231] συνετοῖς ἀκροαταῖς, τοῖς δυναμένοις εἰδέναι τί λαλοῦσιν οἱ οὐρανοί. Ὥσπερ γὰρ Σύρου ἢ Ἑβραίου ἢ Ῥωμαίου λαλοῦντος, ὁ μὴ εἰδὼς αὐτῶν τὴν γλῶσσαν οὐκ οἶδε τί λέγουσιν, οὕτως, ἀεὶ οὐρανῶν διηγουμένων, οἱ μὴ ὄντες οὐρανόφρονες οὐ δύνανται εἰδέναι τί λέγουσιν οἱ οὐρανοί. Ὁ ἥλιος λάμπει, ἀλλ' οὐκ ὠφελεῖται ὁ τυφλὸς εἰς τὸ ὁρᾶν· ἡ σελήνη φαίνει, ἀλλ' οὐ φωτίζεται ὁ ἀνόμματος· οἱ ἀστέρες ἀνατέλλουσιν, ἀλλ' οὐ βλέπουσιν οἱ τοὺς ἀστέρας τῆς φύσεως ἀπολέσαντες. 7. Ἴδε τὸν ἥλιον, τὸν ἀκάματον δρομέα προσευχῇ χαλινούμενον [1] καὶ τὴν δόξαν τοῦ θεοῦ αἰδούμενον· οὐ γὰρ τὴν φωνὴν τοῦ δικαίου φοβηθεὶς ἔστη ὁ ἥλιος, ἀλλὰ τὴν δόξαν τοῦ θεοῦ εὐλαβούμενος. Ἴδε μοι καὶ τὴν σελήνην τῇ προσευχῇ τοῦ στρατηγοῦ συνεργοῦσαν διὰ τὸν τὴν προσευχὴν δεχόμενον, καὶ νεωστὶ τότε σαββατίζουσαν. Ἀπὸ τοῦ αἰῶνος γὰρ τρέχουσα, τότε πρῶτον ἐγεύσατο ἀναπαύσεως. Ἴδε μοι καὶ τὰ ἄστρα λάμπειν καὶ φαίνεσθαι κωλυόμενα καὶ ὡς ὑπὸ σφραγῖδος τῷ ὅρῳ τοῦ θεοῦ ἐγκλειόμενα. Ὁ λέγων γάρ, φησί, τῷ ἡλίῳ μὴ ἀνατέλλειν, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει [2]. 8. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ [3], οἱ οὐράνιοι φωστῆρες τὸ κέλευσμα καὶ τὸ πρόσταγμα τοῦ θεοῦ ἀφόβως ἀνύοντες. Οἱ οὐρανοὶ διηγοῦνται θεοῦ δόξαν [4], ὁ ἀόρατος καὶ ἀσώματος οὐρανὸς καὶ ὁ φαινόμενος οὗτος οὐρανός· ὁ μὲν τὴν δοξολογίαν τῆς ἄνω ἐκκλησίας βοῶν· Ὅτε γὰρ ἐγενήθησαν ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοι θεοῦ [5]· ὁ δὲ διὰ τῶν φωστήρων καὶ τῶν ἀστέρων καὶ τῶν νεφελῶν καὶ τοῦ περὶ τὰς νεφέλας τόξου διηγούμενος τὴν δόξαν τοῦ θεοῦ. Οὕτω γὰρ γέγραπται· Ἴδε τόξον καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτό [6]. Δοξολογία ἐπὶ ταῖς νεφέλαις· Ὁ ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς [7]. Δοξολο[232]γία ἐπὶ σελήνῃ καὶ ἄστροις· Σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας [8]. Δοξολογία ἐπὶ ἡλίῳ· Ὅτι δεῖ τὸν ἥλιον φαίνειν ἐπὶ εὐχαριστίᾳ σου καὶ πρὸς ἀνατολὰς φωτὸς ἐντυγχάνειν σοι [9]. Ἐπεὶ οὖν διδάσκαλοι δοξολογίας θεοῦ γίνονται ἡμῖν οἱ οὐρανοί, οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ [10]. 9. Οὐρανοὶ καὶ αἱ θεῖαι γραφαί, οὐρανοὶ καὶ οἱ ἅγιοι ὡς θεὸν ἐνοικοῦντα ἔχοντες, ἄστρα δὲ τὰς ἀρετάς. Οὐρανοὺς δὲ λογικοὺς διηγουμένους δόξαν θεοῦ καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ δηλοῖ. Ἀβραὰμ ὡς οὐρανὸς διηγήσατο δόξαν θεοῦ, εἰπών· Ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν θεὸν τὸν ὕψιστον, ὃς ἐποίησε τὸν οὐρα-

---

1. Πρβλ. Ἰησ. Ναυῆ 10, 12-13. 2. Ἰὼβ 9, 7. Πρβλ. 25, 5. 3. στ. 2 α. 4. ἔνθ' ἀν. 5. Ἰὼβ 38, 7. 6. Σοφ. Σειρ. 43, 11. 7. Ψαλμ. 134, 7. 8. Ψαλμ. 8, 4. 9. Σοφ. Σολ. 16, 28. 10. στ. 2 α.

νὸν καὶ τὴν γῆν[1]. Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ[2]. Μωϋσῆς ὡς οὐρανὸς διηγεῖται τὴν δόξαν τοῦ θεοῦ· Ἄισωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται[3]. Ἰὼβ ὡς οὐρανὸς διηγεῖται τὴν δόξαν τοῦ θεοῦ λέγων· Χρυσαυγοῦντα νέφη ἀπὸ γῆς βορρᾶ[4]· ἐπὶ τούτοις μεγάλη ἡ δόξα τοῦ παντοκράτορος. Δαυὶδ ὡς οὐρανὸς διηγεῖται τὴν δόξαν τοῦ θεοῦ· Σὺ δέ, κύριε, ἀντιλήπτωρ μου, δόξα μου εἶ καὶ ὑψῶν τὴν κεφαλήν μου[5]. Ἰωάννης ὡς οὐρανὸς διηγεῖται· Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός[6]. Στέφανος ὡς οὐρανὸς διηγεῖται· Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραάμ[7]. Παῦλος ὡς οὐρανὸς διηγεῖται τὴν δόξαν· Καὶ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ[8]. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ[9]· Ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός[10]. 10. Καὶ τί γὰρ οὐκ ἀνέρχομαι τῷ λόγῳ ἐπὶ τοὺς θειοτέρους οὐρανοὺς τῶν οὐρανῶν διηγουμένους δόξαν **[233]** θεοῦ; Καὶ τίνες οὗτοι; Ἄγγελοι, ἀρχάγγελοι, τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ. Τὰ Χερουβὶμ διηγοῦνται δόξαν θεοῦ· ἤκουσε γὰρ αὐτῶν Ἰεζεκιὴλ ὁ προφήτης λεγόντων· Εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ[11]. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ[12]. Τὰ Σεραφὶμ διηγοῦνται τὴν δόξαν· ἤκουσε γὰρ αὐτῶν Ἡσαΐας κεκραγότων καὶ λεγόντων· Ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ[13]. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ[14]· ἤκουσε γὰρ αὐτῶν Λουκᾶς ὁ εὐαγγελιστὴς καὶ εἶπε· Καὶ ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία[15]. Εἶδες οὐρανοὺς διηγουμένους δόξαν θεοῦ. Καὶ οὐκ εἶπε διηγήσαντο, ἀλλὰ διηγοῦνται· οὐ γὰρ ἤρξαντο καὶ ἐσιώπησαν, ἀλλ' ἀφ' οὗ ἤρξαντο, ἀκαταπαύστοις στόμασι διηγοῦνται τὴν τοῦ θεοῦ δόξαν. 11. Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα[16]· Ἐπειδὴ εἶπεν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν ⟨θεοῦ⟩[17], ἵνα μὴ ἀγενήτους ἢ αὐτομάτους εἶναι τούτους νομίσῃς, ποίησιν στερεώματος εἰσήγαγεν, ἵνα μάθωμεν ὅτι, εἰ ὁ θεμέλιος καὶ τὸ

---

1. Γέν. 14, 22. 2. Πράξ. 7, 2. 3. Ἔξ. 15, 1. 4. Ἰὼβ 37, 22. 5. Ψαλμ. 3, 4. 6. Ἰὼβ 1, 14. 7. Πράξ. 7, 2. 8. Τίτ. 2, 13. 9. στ. 2α. 10. Φιλιπ. 2, 11. 11. Ἰεζ. 3, 12. 12. στ. 2α. 13. Ἡσ. 6, 3. 14. στ. 2α. 15. Λουκ. 2, 13-14. 16. στ. 2β. 17. στ. 2α.

δοχεῖον πεποίηται τῶν φωστήρων, πολλῷ μᾶλλον ἡ ἐνθήκη τῶν ἐν αὐτῷ φύσεων. Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα[1]. Καὶ γὰρ ὁ τῶν προφητῶν χορὸς λέγει· Καὶ αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐκ ἡμεῖς[2]. Καὶ ὁ τῶν ἀποστόλων θίασος βοᾷ· Αὐτοῦ γάρ ἐσμεν ποίημα[3]. 12. Ὅτι δὲ στερέωμα οὗτοι κατὰ τὸ στερέωμα τῆς δημιουργίας —Ποίησιν δὲ χειρῶν αὐτοῦ [234] ἀναγγέλλει τὸ στερέωμα[4]— θεώρησον τὸ φαινόμενον στερέωμα, τὸν τοῦ κόσμου περίβολον, τὸν τῆς κτίσεως ὄροφον, τὴν τῆς πανδήμου οἰκίας κεράμωσιν, τὴν ἀπαλαίωτον στέγην, τὴν ὑδατοπαγῆ καμάραν, τὴν κρυστάλλινον φιάλην, τὴν ὁμαλὴν ὑποχάρτωσιν, τὴν χρυσογράμματον βίβλον, τὴν ἀργυρόστικτον τοῖς ἄστροις, τὸν κυανοβαφῆ θάλαμον, τὸν πυρσοφόρον παστόν, ἐν ᾧ ἥλιος καὶ σελήνη ὡς νυμφίος καὶ νύμφη προκάθηνται· Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ[5]. Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα[6], ἐκ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τὸν τεχνίτην μαρτυρούμενον[7]. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[8]. Τὴν ἄλαλον αὐτῶν ὁμιλίαν ἐρυγὴν ὠνόμασεν, ὅτι ὥσπερ ἡ ἐρυγὴ ἦχός ἐστιν ἄσημος καὶ πνεῦμα μὴ διαλεγόμενον, οὕτως ἡ τῶν ἡμερῶν ὁμιλία λαλιά ἐστιν ἄγλωσσος. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[9], ὡς ἐν ἀντιφώνοις ἀντιψάλλουσαι καὶ τὸν ζυγοστάτην καὶ ὁροθέτην θαυμάζουσαι. Τίς γὰρ ἔπεισεν αὐτὰς ἀλλήλαις τὰς ὥρας παραχωρεῖν; Πῶς δαὶ παρ᾿ ἑαυτῶν τὰς ὥρας δανειζόμεναι πρὸς τὴν ἀπόδοσιν οὐ ψεύδονται, καὶ ἀγράφως δανειζόμεναι ἀγνωμονεῖν οὐκ οἴδασιν; Ὡς γραμματεῖον γὰρ ἀναγινώσκουσαι τὸ τοῦ θεοῦ πρόσταγμα πρὸς τὴν ἀπόδοσιν οὐ βραδύνουσι, τῇ δοσοληψίᾳ τῶν ὡρῶν ἑαυτὰς οὐχ ὑβρίζουσαι. Καὶ ἡ ἡμέρα ἡ μεγάλη, ἡ πεντεκαιδεκάωρός φημι, ὡς ἀξίωμα λαβοῦσα τὸ μακρὸν διάστημα, τὴν ἐννάωρον ἡμέραν ὡς πτωχὴν οὐ καταπονεῖ, οὐ βιάζεται, οὔτε ὑπερηφανίαν κατ᾿ αὐτῆς ἐνδύεται, οὔτε τῷ φωτὶ καὶ τῇ θέρμῃ γαυριῶσα τῇ χειμαζομένῃ ἐπανίσταται, ἀλλ᾿ ὡς ἀδελφὴν μικροτέραν ἡ μεγάλη ἀγαπᾷ, καὶ τὰς ὥρας ἀντιλαμβάνουσαι καὶ ἀντεισφέρουσαι τέρπουσι τοὺς θεατάς. 14. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[10], καὶ ἀπόστολος ἀποστόλῳ τὸ εὐαγγελικὸν [235] κήρυγμα· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾿ ἀρχῆς αὐτόπται[11]. Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον[12]· ὁ Ἀνδρέας τῷ Πέτρῳ εὐαγγελιζόμενος τὸν Χριστόν, ὃν ἔγραψε Μωϋσῆς[13]· ὁ Φίλιππος τῷ Ναθαναήλ· ὁ Ἰωάννης τοῖς δυσὶ μαθηταῖς αὐτοῦ. Υἱοὶ φωτός ἐσμεν καὶ υἱοὶ ἡμέρας[14].

1. στ. 2 β. 2. Ψαλμ. 99, 3. 3. Ἐφ. 2, 10. 4. στ. 2 β. 5. στ. 6. 6. στ. 2 β. 7. Πρβλ. Σοφ. Σολ. 13, 5. 8. στ. 3 α. 9. ἔνθ᾿ ἀν. 10. ἔνθ᾿ ἀν. 11. Λουκ. 1, 2. 12. Γαλ. 2, 2. 13. Ἰω. 1, 46. 14. Πρβλ. Α´ Θεσ. 5, 5.

Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[1], καὶ ἡ δουλοτόκος Ἐλισάβετ τὴν θεοτόκον Μαρίαν θαυμάζουσα ἐβόα· Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρός με[2]; Οὔπω ὁ τοῦ κυρίου πρόδρομος καὶ ἤδη μητέρα κυρίου ἡ τούτου μήτηρ εὐηγγελίζετο. 15. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[3]· ὡς μὲν πρὸς τὴν ἱστορίαν τὴν ἰσονομίαν τῶν διαστημάτων καὶ τὴν πρόνοιαν τοῦ θεοῦ κηρύττουσα, ὡς δὲ πρὸς ⟨τὴν⟩ θεωρίαν καὶ ἀσεβὴς ἀσεβεῖ, καὶ νὺξ νυκτί, Αἰγύπτιος Αἰγυπτίῳ ἀναγγέλλει γνῶσιν, ἐν θαλάσσῃ καταποντιζόμενος καὶ εἰς γνῶσιν τοῦ θεοῦ ἐρχόμενος καὶ λέγων· Φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ· ὁ γὰρ κύριος πολεμεῖ ὑπὲρ αὐτῶν τοὺς Αἰγυπτίους[4]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[5], ἵνα ἀληθεύσῃ ὁ κύριος εἰπών· Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος ἐνδοξαζομένου μου ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς ἅρμασι καὶ ἐν πᾶσι τοῖς ἵπποις αὐτοῦ[6], καθὼς καὶ ὁ ἱεροψάλτης Δαυὶδ ἔλεγεν· Ὅταν, φησίν, ἀπέκτεννεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν[7]. Καὶ ἐν ἄλλοις· Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος[8]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[9], καὶ ἡ γυνὴ τῷ Πιλάτῳ ἀναγγέλλουσα· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ **[236]** γὰρ κατ' ὄναρ ἔπαθον δι' αὐτόν[10]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[11], καὶ ὁ λῃστὴς τῷ λῃστῇ ἐπὶ σταυροῦ· Ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν[12]. Οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. Ὢ λῃστοῦ ὁμολογία, δεσποτικῆς φιλανθρωπίας ἐνέχυρον. Ὢ λῃστοῦ ὁμολογία, εὐαγγελιστῶν παρρησία, Ἰουδαίων φίμωτρον, Ἑλλήνων χαλινός, αἱρετικῶν ἔλεγχος, ἐκκλησίας θυρεός. Ὢ λῃστοῦ ὁμολογία, βασιλείας ἀρραβών, παραδείσου ἄνοιγμα, φλογίνης ῥομφαίας δυσώπημα, αἰωνίων ἀγαθῶν ἀπόλαυσις. 17. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[13], ὁ Ναβουχοδονόσορ τοῖς Βαβυλωνίοις· Οὐχὶ ἄνδρας τρεῖς ἔβαλον ἐν μέσῳ τοῦ πυρὸς πεπεδημένους; Καὶ εἶπον τῷ βασιλεῖ· Ἀληθῶς βασιλεῦ. Καὶ εἶπεν ὁ βασιλεύς· Ἰδοὺ ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους καὶ περιπατοῦντας ἐν μέσῳ τοῦ πυρός, καὶ διαφθο-

1. στ. 3 α. 2. Λουκ. 1, 43. 3. στ. 3 β. 4. Ἔξ. 14, 25. 5. στ. 3 β. 6. Ἔξ. 14, 18. 7. Ψαλμ. 77, 34. 8. Ψαλμ. 82, 18-19. 9. στ. 3 β. 10. Ματθ. 27, 19. 11. στ. 3 β. 12. Λουκ. 23, 41. 13. στ. 3 β.

ρὰ οὐκ ἔστιν ἐν αὐτοῖς, καὶ ἡ ὅρασις τοῦ τετάρτου ὁμοία υἱῷ θεοῦ[1]. Καὶ ἡ Σαμαρεῖτις τοῖς Σαμαρείταις· Δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα[2]. Οἱ ὑπηρέται τοῖς ἀρχιερεῦσιν· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος ὡς ἐλάλησεν οὗτος ὁ ἄνθρωπος[3]. Ὁ κεντυρίων τοῖς σταυρώσασιν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν θεοῦ[4]. Οἱ μάγοι τοῖς Ἰουδαίοις· Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεύς; Ἤλθομεν γὰρ προσκυνῆσαι αὐτῷ[5]. Ὅπου δὲ θεοῦ προσκύνησις, ἐκεῖ θεογνωσίας ἀπόλαυσις. 18. Καὶ διὰ τί οὐρανοὺς καὶ στερέωμα καὶ ἡμέρας καὶ νύκτας διδασκάλους ἐπέστησεν; Ἵνα οἱ τῶν προφητῶν καὶ ἀποστόλων ἀκοῦσαι μὴ θέλοντες τὰ ἔργα τῆς δημιουργίας διδασκάλους ἔχωσιν. Οὕτως ἔλεγε τῷ λαῷ ὁ Μωϋσῆς· Καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, ἃ ἀπένειμε κύριος ὁ θεὸς **[237]** σου τοῖς ἔθνεσιν[6], οὐκ εἰς προσκύνησιν, ἀλλ' εἰς μάθησιν· Οἱ οὐρανοὶ γὰρ διηγοῦνται δόξαν θεοῦ[7]. 19. Ὥσπερ γὰρ οἱ τὰ ἑαυτῶν τέκνα εἰς διατριβὰς πέμποντες, τοὺς μὲν ἔτι νηπιωτέρους εἰς τὰς ἐντοπίους καὶ γείτονας σχολὰς παραδιδόασι, τοὺς δὲ τελειοτέρους καὶ ἔμφρονας εἰς τὰς μακροτέρας πόλεις ἐπὶ τῇ τῶν ὑψηλοτέρων λόγων μαθήσει ἀποστέλλουσιν, οὕτως οἱ προφῆται, ὡς πατέρες τέκνα, τοὺς ἀνθρώπους μαθεῖν τὰ τῆς θεογνωσίας μαθήματα προτρεπόμενοι, τοὺς μὲν ἀτελεστέρους καὶ νηπιάζοντας πρὸς τὰς ἐγγὺς διατριβάς, πρὸς τὴν ἡμέραν καὶ τὴν νύκτα, ἐχειραγώγησαν, τοὺς δὲ τελειοτέρους καὶ τὰ αἰσθητήρια τῆς ψυχῆς γεγυμνασμένα ἔχοντας πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ εἰς τὰς μακροτάτας καὶ ὑψηλοτέρας διατριβάς, εἰς τὸν οὐρανὸν καὶ τὸ στερέωμα, ὡδήγησαν, τούτοις μὲν ὡς τελείοις λέγοντες· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ[8], ἐκείνοις δέ, ὡς παιδίοις παραινοῦντες· Μάθετε, ὦ τέκνα, πῶς ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, ἀλλήλαις πράττουσαι, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[9], εἰς γνῶσιν θεογνωσίας καλοῦσαι τὸν ἄνθρωπον. Εἰ δέ τις πρὸς τὰς ἐγγὺς διατριβὰς τῆς ἡμέρας καὶ τῆς νυκτὸς ὀκνηρότερος γένηται, πρὸς τοὺς ἔτι ταπεινοτέρους διδασκάλους ἀπερχέσθω, πρὸς τὸν μύρμηκα καὶ τὴν μέλισσαν ἀκούων· Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ[10], ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε. Ἀπὸ προφητῶν καὶ ἀποστόλων καὶ οὐρανῶν καὶ ἡμερῶν μαθεῖν οὐκ ἠθέλησας· ἀπὸ τοῦ μύρμηκος

---

1. Δαν. 3, 91-92. 2. Ἰω. 4, 29. 3. Ἰω. 7, 46. 4. Μάρκ. 15, 39. 5. Ματθ. 2, 2. 6. Δευτ. 4, 19. 7. στ. 2 α. 8. ἔνθ' ἀν. 9. στ. 3. 10. Παρμ. 6, 6.

καὶ τῆς μελίσσης, ὁ λογικὸς ἀπὸ τῶν ἀλόγων καὶ ταπεινῶν, μάνθανε. Γένοιτο δὲ ἡμᾶς, τὴν βίβλον οὐρανοῦ καὶ γῆς ἀναγινώσκοντας καὶ γράμματα θεοῦ τὰ δημιουργήματα βλέποντας καὶ διδασκάλους τοὺς ἁγίους ἔχοντας, μετ' αὐτῶν εὑρεθῆναι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 21. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[1]. Ἐρεύγεται [238] δὲ ῥῆμα καὶ ὁ προφήτης τῇ ἐκκλησίᾳ λέγων· Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν[2]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[3]· νὺξ ἐν ᾗ ἐσπαργανωμένος ὁ Χριστὸς ἐν τῇ φάτνῃ ἔκειτο, νυκτὶ τῇ τῶν ποιμένων ψυχῇ ἔτι ἐσκοτισμένῃ τῇ ἀγνωσίᾳ· Καὶ ποιμένες ἦσαν, φησίν, ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τῇ ποίμνῃ αὐτῶν[4]. Εἶτα ἡ νὺξ δανεισαμένη τὸ στόμα τοῦ ἀγγέλου ἀγνοοῦντας τοὺς ποιμένας εἰς γνῶσιν ἐνήγαγε, τοῖς πράγμασι λέγουσα· Ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς ἐστι Χριστὸς κύριος ἐν πόλει Δαυίδ[5]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[6]. Τὸ γὰρ τοῦ ἀγγέλου δίδαγμα τῆς νυκτὸς ἐκείνης γέγονεν ἡμῖν διήγημα. 22. Νὺξ νυκτὶ ἀνήγγειλε γνῶσιν, καὶ ὁ Ναβουχοδονόσορ τοῖς Βαβυλωνίοις καὶ Μήδοις καὶ Πέρσαις τὰ περὶ θεογνωσίας σαλπίζων ἐν γράμμασιν. Ὅτε γὰρ τὸν υἱὸν τοῦ θεοῦ εἶδεν ἐν τῇ καμίνῳ παραγενόμενον, ὅτε ἡ νὺξ τὴν ἡμέραν εἶδεν ἐν πυρὶ ἀπαστράπτουσαν, ὅτε ἐν μέσῳ τῶν τριῶν τὸν ἕνα ἐθεάσατο, ἵνα πιστευθῇ ⟨ὁ⟩ λέγων· Ὅπου εἰσὶ δύο ἢ τρεῖς ἐπὶ τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν[7], τότε ἡ νὺξ διὰ γραμμάτων ἀστράπτουσα τὴν νύκτα τῶν Χαλδαίων ἐφώτιζε γράφων οὕτως· Ἐγὼ Ναβουχοδονόσορ ἐκτίθεμαι δόγμα ὅπως πᾶς λαός, φυλή, γλῶσσα, ἣ ἂν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ Σεδράχ, Μισάχ, Ἀβδεναγώ, εἰς ἀπώλειαν ἔσονται[8]. Καὶ ἐπάγει· Καθότι ἐγὼ ἔγνωκα—Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[9]—ὅτι οὐκ ἔστι θεὸς ἕτερος ὅστις δυνήσεται ῥύσασθαι οὕτως[10]... 23. ... Καὶ τῇ μὲν γῇ ὁ φθόγγος[11]· τῇ παχυτέρᾳ καὶ ἄρτι εἰσαγομένῃ πρὸς θεογνωσίαν ψυχῇ ὁ ἀσημότερος καὶ παιδικώτερος λόγος ἁρμόττει. Καὶ μάρτυς ὁ ἀπόστολος φήσας· Καὶ ἐγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρ[239]κικοῖς ἐν Χριστῷ[12]. Τῇ δὲ οἰκουμένῃ τὰ ῥήματα[13]· τῇ τελειοτέρᾳ καὶ οἰκητήριον θεοῦ γενομένῃ ψυχῇ τὰ τέλεια καὶ ἀπηρτισμένα δόγματα... 24. ... Ὥσπερ δὲ οἱ τυφλοί, κἂν τὸ φῶς τοῦ

---

1. στ. 3 α. 2. Ψαλμ. 44, 1. 3. στ. 3 β. 4. Λουκ. 2, 8. 5. Λουκ. 2, 11. 6. στ. 3 β. 7. Πρβλ. Ματθ. 18, 20. 8. Δαν. 3, 29. 9. στ. 3 β. 10. Δαν. 3, 29. 11. Πρβλ. στ. 5 α. 12. Α' Κορ. 3, 1. 13. Πρβλ. στ. 5 β.

ἡλίου μὴ βλέπωσιν, ἀλλά γε τῆς θέρμης μετέχουσιν, οὕτω πάντες οἱ ἄπιστοι, κἂν τὴν θεότητα τοῦ Χριστοῦ ἠρνήσαντο, ἀλλὰ τὴν δύναμιν τοῦ ὀνόματος αὐτοῦ ἔμαθον. Ἢ καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ[1], ὅτε ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπηθήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται[2]. Τότε γὰρ ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει[3]...

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΠΕΜΠΤΗΝ ΤΟΥ ΠΑΣΧΑ

Τῇ πέμπτῃ τῆς Λαμπρᾶς.

1. Καὶ νῦν ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη, ἡ ἐκκλησία ὡς βασίλισσα λαμπρὰ Χριστῷ παρίσταται, ἵνα ἀληθεύσῃ ὁ προφήτης εἰπών· Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη[4]. Τίς ἡ βασίλισσα; Ἡ ἐκκλησία Χριστοῦ, ἡ νύμφη τοῦ μονογενοῦς, ἡ τῶν παθῶν βασιλεύσασα καὶ Χριστῷ συμβασιλεύσασα. Τίς αὐτῆς ἡ παράστασις; Ἡ ἐνταῦθα ἀπάντησις. 2. Ὥσπερ ὁ βασιλεὺς γῆς καὶ θαλάσσης δεσπότης λεγόμενος ἐν τῷ παλατίῳ αὐλίζεται, καὶ ἐκεῖ αὐτῷ οἱ δορυφόροι παρίστανται, οὕτως ὁ θεός, τὸν οὐρανὸν πληρῶν καὶ τὴν γῆν, ὡς ἐν παλατίῳ τῇ ἐκκλησίᾳ ἀναπαύεται, καὶ πᾶς θεοφιλὴς ὀρθρίζων ὧδε αὐτῷ παρίσταται. Παρέστη, ἐπειδὴ τῶν εἰδώλων ἀπέστη ⟨παρέστη⟩, ὅτι τῶν ἀσεβῶν διέστη· παρέστη, ὅτι τοῦ κόσμου ἐξέστη· παρέστη, ὅτι ἀκαταστατοῦσα κατέστη· παρέστη, ὅτι ἐν τῇ πίστει [ἐνέστη· παρέστη ἐκ] δεξιῶν σου. 3. Τίς ὁ διάχρυσος ἱματισμὸς [240] αὐτῆς; Ὁ δόκιμος τῶν δογμάτων τῆς πίστεως λόγος, ὃν ὑπὲρ χρυσίον καὶ λίθον τίμιον ἀγαπᾷ, τὰ κρίματα κυρίου ἀληθινά[5]. Παρεδίδουν οἱ ἀπόστολοι φυλάττειν τὰ δόγματα κεκριμένα, ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν[6]. Τίς αὐτῆς ἡ περιβολή; Ἡ τῆς πολιτείας καλλονή. Ἢ καὶ τίς ἡ περιβολή; Ἡ βασιλικὴ τοῦ βαπτίσματος στολή· ἐνδυσάμενοι τὸν καινὸν ἄνθρωπον[7], ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε[8]. 4. Πῶς δὲ πεποίκιλται; Ὅτι ὑπὸ ἀρχιερέων καὶ ἱερέων καὶ λευϊτῶν καὶ κλήρου καὶ λαοῦ τῶν νεοφωτίστων κεκαλλώπισται. Οὐχ οὕτως γὰρ οἱ

1. στ. 7 γ. 2. Ψαλμ. 49, 3. 3. Α' Κορ. 3, 13. 4. Ψαλμ. 44, 10. 5. Ψαλμ. 18, 10. 6. Ψαλμ. 18, 11. 7. Πρβλ. Ἐφ. 4, 24. 8. Γαλ. 3, 27.

μαργαρῖται ἐν τῷ χρυσῷ καὶ τὰ ῥόδα ἐν τοῖς κρίνοις λάμπουσιν, ὡς οἱ νεοφώτιστοι ἐν ὑμῖν τοῖς φιλοθέοις αὐλιζόμενοι τὴν χάριν ἀποστίλβουσιν. Ἐπεὶ οὖν ἀνθηροῖς καὶ ἀμαράντοις ἄνθεσι τοῖς νεοφωτίστοις καὶ τοῖς πιστοῖς τὸ βασιλικὸν ἔνδυμα τῆς ἐκκλησίας πεποίκιλται, ὄντως παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν τοῦ Χριστοῦ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη[1]. 5. Κρείττω τοῦ Ἀαρὼν χιτῶνα ἡ βασίλισσα ἡ ἐκκλησία ἐνδέδυται. Πῶς καὶ τίνα τρόπον; Ὅτι ὁ τοῦ Ἀαρὼν χιτών, ἐν χρόνῳ γενόμενος, τῷ χρόνῳ διέφθαρται· ὁ δὲ τῆς ἐκκλησίας χιτών, ἐν μιᾷ ῥοπῇ ἐν τῇ κολυμβήθρᾳ ὑφαινόμενος, ἀπαλαίωτον καὶ ἀδιάφθορον ἔχει τὸ τῆς χάριτος ὕφασμα· Ἡ χάρις γὰρ μετὰ τῶν ἀγαπώντων τὸν κύριον Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ. Ἀμήν[2]. Ὁ τοῦ Ἀαρὼν χιτὼν ἀπὸ ὑακίνθου καὶ βύσσου καὶ πορφύρας καὶ κοκκίνου κατεσκευάζετο[3]· ὁ δὲ τῆς ἐκκλησίας χιτὼν ἔχει ὑάκινθον τὴν οὐράνιον τοῦ Χριστοῦ θεότητα καὶ βύσσον τὴν ἐκ παρθένου σάρκα καὶ πορφύραν τὸ πάθος — ἐνδύουσιν αὐτὸν πορφύραν[4] — καὶ κόκκινον τὸ αἷμα· Τοῦτό ἐστι τὸ αἷμά μου[5]. Ὁ χιτὼν τοῦ Ἀαρὼν εἶχε ῥοΐσκους[6] ⟨... ὁ δὲ τῆς [241] ἐκκλησίας χιτὼν ἔχει ῥοΐσκους⟩ τοὺς μάρτυρας τοὺς ῥέοντας ὑπὲρ Χριστοῦ τὸ αἷμα, καὶ ἄνθινα τὰ ἀνθηρὰ αὐτῶν ῥήματα, τοὺς ἀνθηροὺς ὁμολογητάς, καὶ δώδεκα κώδωνας τοὺς ἀποστόλους Χριστοῦ ἠχοῦντας τὸ κήρυγμα· [Εἰς] πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν[7]. 6. Ἄσχιστος, ἀπαλαίωτος, ἄσηπτος, ἀσητόβρωτος, ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς ὁ τῆς ἐκκλησίας χιτών. Ἄσχιστος ὁ χιτών, οὐδὲ γὰρ ἡ ἀσέβεια τοῦτον περιέσχισεν. Ἀπαλαίωτος, οὐδὲ γὰρ οἱ ἐχθροὶ παλαίοντες τοῦτον ἐπαλαίωσαν· Ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου[8]. Ἄσηπτος, οὐδὲ γὰρ μώλωπες αὐτὸν κατέσηψαν· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου[9]. Ἀσητόβρωτος, οὐδὲ οἱ αἱρετικοὶ σῆτες αὐτὸν διέφθειραν· Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί[10]. Ἄρραφος, οὐδὲ γὰρ φύλλα συκῆς ῥάψασα[11] τραχέα τὰ τῶν αἱρετικῶν δόγματα ἐφόρεσεν. Ἐκ τῶν ἄνωθεν ὑφαντός· ἡ γὰρ ἄνωθεν σοφία ἐκ τῶν ἄνωθεν δογμάτων αὐτὸν ὕφηνεν. 7. Ὢ τοῦ θαύματος. Ὁ βασιλεὺς Χριστὸς μορφὴν δούλου ἐφόρεσε[12] καὶ τοὺς δούλους αὐτοῦ τοὺς νεοφωτίστους πορφύραν ἐνέδυσεν. Ὢ τῆς καλῆς συναλλαγῆς. Δουλικὸν χιτῶνα τὸ σῶμα ἐδανείσατο καὶ βασιλικὸν χιτῶνα τὸ βάπτισμα ἀντέδωκε. Στρατιώτου θώρακι ὁ βασιλεὺς ἐχρήσατο, ἵνα τὸν τύ-

---

1. Ψαλμ. 44, 10. 2. Ἐφ. 6, 24. 3. Πρβλ. Ἔξ. 28, 5. κ.ἑ. 4. Μάρκ. 15, 17. 5. Μάρκ. 14, 24. 6. Πρβλ. Ἔξ. 28, 29 κ.ἑ. 7. Ψαλμ. 18, 5. 8. Ψαλμ. 6, 8. 9. Ψαλμ. 37, 6. 10. Α' Κορ. 15, 33. 11. Πρβλ. Γέν. 3, 7. 12. Πρβλ. Φιλιπ. 2, 7.

ραννον λάθη καὶ ὁλόχρυσον θώρακα τῷ στρατιώτῃ ἔδωκε. Σάρκα ἔλαβε καὶ θεότητα ἔδωκεν· Ἐγὼ εἶπα θεοί ἐστε[1]. Γῆν ἔλαβε καὶ οὐρανὸν ἔδωκε. Πενίαν ἔλαβε καὶ πλοῦτον ἔδωκε· πλούσιος ὤν, δι' ἡμᾶς ἐπτώχευσεν[2]. 8. Ἐπειδὴ γὰρ ἐδανείσατο τὸν τῆς σαρκὸς χιτῶνα καὶ ὃν ἐποίησεν ἔλαβε καὶ ὃν ἐχαρίσατο αὐτὸς ἐδανείσατο, τοῦτον δὲ τὸν χιτῶνα Ἰουδαῖοι ἐν τῷ σταυρῷ τοῖς ἥλοις κατέσχισαν καὶ τῇ λόγχῃ διέρρηξαν, ἀπεδύσατο τῷ θανάτῳ καὶ ἔπλυνε καὶ ἔβαψεν. Ἐξῆλθεν ἀπὸ τῆς πλευρᾶς αἷμα καὶ ὕδωρ[3]· ἔπλυνε τῷ ὕδατι, ἔβαψε τῷ αἵματι καὶ ἐθυμίασε τῇ σμύρνῃ, ἣν ὁ Νικόδημος ἤνεγκε, καὶ ἐνετύλιξε τῇ σινδόνι, ἣν ὁ Ἰωσὴφ ἠγόρασε, καὶ ἐφύλαξεν ἐν τῷ [242] τάφῳ ὡς ἐν κιβωτῷ ἀσφαλισάμενος. Οὐδὲ γὰρ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν[4]. Καὶ ἀναστὰς ἐκ τοῦ τάφου ὡς νυμφίος ἐκ θαλάμου, καινουργηθέντα καὶ ἀκέραιον τὸν χιτῶνα ὡς νυμφίος ἐφόρεσε, καὶ ἐν αὐτῷ τὴν ἐκκλησίαν φορῶν ἀνῆλθεν εἰς οὐρανούς, ἵνα καυχήσωνται οἱ χρήσαντες τὸ ἱμάτιον, ὅτι φορῶν αὐτὸ ὁ βασιλεὺς ἐν δεξιᾷ τοῦ πατρὸς ἐκάθισε. Καὶ λεγέτω Παῦλος· Καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ[5]. 9. Καὶ βλέπε λοιπὸν ἐνταῦθα τὸ θαυμαστὸν μυστήριον· ὁ Χριστὸς καὶ ἡ ἐκκλησία ἀλλήλους συνενδέδυνται. Ὢ στοργή, ὢ φιλία, ὢ ἀγάπη, ὢ διάθεσις· ἡ νύμφη καὶ ὁ νυμφίος ἐφόρεσαν ἑαυτούς. Πῶς καὶ τίνα τρόπον; Ἄκουσον· ὅτι ἄνω μὲν ὁ Χριστὸς τὴν ἐκκλησίαν διὰ τοῦ σώματος ἐνδέδυται, ὅτι πάντας ἀνθρώπους ἐνδύσει· κάτω δὲ ἡ ἐκκλησία τὸν Χριστὸν διὰ τοῦ βαπτίσματος ἐνεδύσατο· Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε[6]. Ποῖον Χριστόν; Ὃν ἄρτι ὁ προφήτης ὡς ἐπίτροπος δεσπότην περὶ τῶν παροίκων ἐρωτᾷ· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[7];...

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΠΑΡΑΣΚΕΥΗΝ ΤΟΥ ΠΑΣΧΑ

Τῇ παρασκευῇ τῆς Λαμπρᾶς.

1. Καὶ νῦν ὄντως ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα[8], ἡμέρα ἡ σήμερον ἡ ἕκτη· Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη[9]. Ἡμέρα καὶ ἡ ἐκκλησία· Ἡμεῖς δὲ ἡμέρας ὄντες υἱοὶ νήφωμεν. Πάντες υἱοὶ φωτός ἐσμεν καὶ υἱοὶ ἡμέρας[10]. Ἡ οὖν σήμερον ἡμέρα λέγει τῇ ἡμέρᾳ τῇ ἐκκλησίᾳ, καὶ ὡς ἀδελφὴ πρὸς ἀδελφὴν ἡ

---

1. Ψαλμ. 81, 6. 2. Πρβλ. Β' Κορ. 8, 9. 3. Πρβλ. Ἰω. 19, 34. 4. Πράξ. 2, 31. 5. Ἐφ. 2, 6. 6. Γαλ. 3, 27. 7. Ψαλμ. 14, 1. 8. Ψαλμ. 18, 3. 9. Γέν. 1, 31. 10. Α' Θεσ. 5, 8 καὶ 5, 5.

σήμερον ἡμέρα, παρασκευὴ ἡμέρα, τῇ [243] ἡμέρᾳ ⟨τῇ⟩ ἐκκλησίᾳ λέγει· Οἶδας, φησίν, ὦ Χριστοῦ νύμφη, οἷον πένθος ἔσχον τότε, ὅτε ὁ σὸς νυμφίος ἐσταυρώθη ἐν ἐμοί, ὅπως τὸ φῶς λευκὸν χιτῶνα ἐκδυσαμένη ὡς πενθικὸν ἱμάτιον τὸ σκότος ἐφόρεσα, ὅπως ἐγώ τε καὶ ὁ ἥλιος, ὡς δοῦλος μετὰ συνδούλης, τὸν δεσπότην ἀποθανόντα ἐκλαίομεν, καὶ οἱ δύο μελανοφοροῦντες, ἐγώ τε καὶ ὁ ἥλιος, κόσμον ἐδιδάσκομεν ὅτι ὁ ἡμέρας καὶ ἡλίου δημιουργὸς ἐσταυρώθη. 2. Πόσοι ἐφονεύθησαν ἀπὸ τοῦ Ἄβελ δίκαιοι, καὶ οὐδέποτε ἡ ἡμέρα ἐμελανοφόρησε. Πόσοι ἀνῃρέθησαν ἅγιοι καὶ οὐδέποτε ὁ ἥλιος σκότος ἐνεδύσατο. Ὁ εἷς ἐσταυρώθη, καὶ οἱ δύο ἐσκοτίσθησαν. Εἰ μὴ ἦν αὐτῶν δεσπότης, οὐκ ἂν οὕτως ἐπένθησαν· εἰ ἄνθρωπος ἦν ψιλός, οὐκ ἂν ὡς δεσπότην ἔκλαυσαν. Ὅτι δὲ κύριος τῶν ἡμερῶν ἐστι, Κύριος, φησίν, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου[1]. Ὁ τοῦ σαββάτου κύριος καὶ ἐμοῦ τῆς παρασκευῆς ἐστι κύριος· ἄνθρωπος δὲ ψιλὸς κύριος ἡμερῶν οὐ γίνεται. Ὅτι δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ κύριος τῶν ἡμερῶν, ἐσταυρώθη, Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱερουσαλήμ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται[2] εἰς χεῖρας ἁμαρτωλῶν. 3. Ἀλλ' ἐπειδὴ μόνη καὶ ὡς δούλη μαρτυροῦσα ἡ παρασκευὴ παρὰ τοῖς αἱρετικοῖς οὐ πιστεύεται ὅτι οὐκ ἦν ἄνθρωπος ψιλὸς ὁ σταυρωθείς, μάρτυρα τὴν κτίσιν καλῶ, ἵνα ἐπὶ στόματος δύο καὶ τριῶν καὶ πλειόνων μαρτύρων βεβαιωθῇ ἡ ἀλήθεια[3]. Εἰπέ, οὐρανέ, διὰ τί σκότος ἐν τῷ πάθει ἐνεδύσω; Ἀποκρίνεται· Ὅτι ἐκεῖνος ἐσταυρώθη ὁ ἐν Ἡσαΐᾳ εἰπών· Ἐνδύσω τὸν οὐρανὸν σκότος[4]. Καὶ τί; Μὴ ἄρα ὅτι ἄνθρωπος ἐπὶ σταυροῦ ἀπέθανεν; Ἀλλὰ ἀποκρίνεται· Εἰ δι' ἄνθρωπον ἐσκοτίσθην, καὶ πῶς, ὅτε Ἀδὰμ τῇ ἁμαρτίᾳ ἀπέθανε καὶ ὡς νεκρὸς ἀπὸ οἴκου τοῦ παραδείσου ἐξεφέρετο, σκότος οὐκ ἐφόρεσα; Τότε Ἀδὰμ παρὰ τῷ ξύλῳ ἀπέθανε, νῦν δὲ ὁ ποιητὴς τοῦ Ἀδὰμ σαρκωθεὶς ἐπὶ τῷ ξύλῳ ἀπέθανεν, ἵνα διὰ τοῦ θανάτου θανατώσῃ τὸν θάνατον. 4. Μαρτύρησον καὶ σὺ [244] τῇ ἡμέρᾳ, ἥλιε συνοδοιπόρε ταύτης καὶ συνεργὲ καὶ συναπόδημε καὶ σύνδουλε· Διὰ τὶ λευκοφορῶν ἐξαίφνης ἐμελανοφόρησας; Ἆρα ὅτι ἄνθρωπον οἱ Ἰουδαῖοι ἐσταύρωσαν; Καὶ πῶς, ὅτε τὸν Ἡσαΐαν ἔπρισαν, τοῦτο οὐκ ἐποίησας; Πῶς τὸν σταυρωθέντα ἐπένθησας καὶ τὸν πρισθέντα οὐκ ἐδάκρυσας; Ἀλλ' ἀποκρίνεται· Ὅτι Ἡσαΐας ὁ πρισθεὶς ἐμὸς σύνδουλος, ὁ δὲ σταυρωθεὶς ἐμὸς κύριος. Δοῦλός εἰμι, δεσπότην πενθεῖν οἶδα, σύνδουλον πενθεῖν, οὐκ οἶδα. 5. Δεῦρο καὶ σύ, ὦ γῆ, ὅτι ἀνθρώπων μήτηρ εἶ καὶ τροφὸς καὶ τράπεζα, εἰπὲ ἡμῖν τί σοι ἐγένετο ὅτε σειομένη ἐν τῷ πάθει ἔτρεμες καὶ ὡς πλοῖον δονουμένη ἠπείλεις κόσμῳ ναυάγιον· μὴ ὅτι ἄνθρωπος ἐσταυροῦτο φοβηθεῖσα ἔτρεμες; Καὶ

---

1. Μάρκ. 2, 28. 2. Ματθ. 20, 18. Μάρκ. 10, 33. 3. Πρβλ. Δευτ. 19, 15. 4. Ἡσ. 50, 3.

πῶς Ἰωάννου ἀποκεφαλισθέντος ἀτάραχος ἔμεινας; Ἀλλ' ἀποκρίνεται· Ὅτι Ἰωάννης μὲν ἐν ὕδατι ἐβάπτιζεν ὡς ἄνθρωπος, ὁ δὲ σταυρωθεὶς ὡς θεὸς ἐν πνεύματι καὶ πυρὶ ἐβάπτισεν [1]. Ἐγώ, φησίν, ὁ ἐν ὕδατι βαπτίζων τοῦ ὕδατος διάκονός εἰμι· ὁ δὲ ἐν πυρὶ βαπτίζων τοῦ πνεύματος συνεργός ἐστιν. 6. Ἐπερωτήσωμεν καὶ τὰς πέτρας· Διὰ τί ὡς δουλίδες πενθοῦσαι ἐν τῷ πάθει περιεσχίζεσθε; Ἆρα ὅτι ἄνθρωπον ὁ Πιλᾶτος τῷ σταυρῷ προσήλωσε; Καὶ πῶς, ὅτε Ἀντίοχος τοὺς Μακκαβαίους ἐπὶ τὸν καταπέλτην καὶ τοὺς τροχαντῆρας ἐμελοτόμει οὐ περιεσχίσασθε [2]; Ἀποκρίνονται· Διὰ τοὺς ἑπτὰ οὐ περιεσχισάμεθα, ὅτι πρὸς τὸν ἕνα ἔσπευδον· διὰ τὸν ἕνα περιεσχισάμεθα, ὅτι ὁ τοὺς ἑπτὰ θυσίαν λαβὼν ὡς εἷς τῶν ἑπτὰ ἐθύετο. 7. Μαρτυρησάτω καὶ τὸ σχιζόμενον τοῦ ναοῦ καταπέτασμα· Διὰ τί τὸ περιβόλαιον ⟨τοῦ ἁγίου⟩ τῶν ἁγίων διερράγη [3]; Ἆρα μὴ ὅτι ἀνθρώπου αἷμα οἱ Ἰουδαῖοι ἐξέχεαν; Καὶ πῶς ὅτε Ζαχαρίας ἐν σοὶ ἐφονεύετο καὶ τὸ αἷμα αὐτοῦ μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου [4] ἐξεχύνετο, οὐδὲν τοιοῦτον ἐποίησας; Ἀλλὰ λέγει· Ἐπὶ τοῦ ἐσταυρωμένου τὸ **[245]** καταπέτασμα περιεσχίζετο, ἐπὶ δὲ τοῦ πεφονευμένου οὐδὲ ἀράχνη περιεσχίζετο, ὅτι ὁ μὲν σταυρωθεὶς δεσπότης ἐστὶ τοῦ ναοῦ, ὁ δὲ σφαγεὶς πάροικός ἦν τοῦ ναοῦ. Τὸν λειτουργὸν οὐκ ἐπένθησα, ὅτι ἐμὸς ὑπουργός, τὸν δὲ σταυρωθέντα ἐπένθησα, ὅτι ἐμὸς δημιουργός. 8. Δεῦτε καὶ ὑμεῖς οἱ ἐκ τῶν τάφων ἀνιστάμενοι εἴπατε, καὶ οἱ ἀποθανόντες τοὺς ζῶντας διδάξατε· Πῶς ἀπὸ τοῦ αἰῶνος κοιμώμενοι ἐκθαμβηθέντες ἐξυπνίσθητε [5]; Ἆρα ὅτι ἄνθρωπος ἐσταυρώθη; Καὶ πῶς, ὅτε Πέτρος ἐσταυρώθη, οὐδεὶς ὑμῶν ἀνέστη; Διὰ τὸν Χριστὸν τοσοῦτοι ἀνέστητε καὶ διὰ τὸν Πέτρον οὐδὲ εἷς. Ἀλλὰ ἀποκρίνονται· Διὰ Πέτρον σταυρωθέντα οὐκ ἀνέστημεν· οὐδὲ γὰρ ξένον εἴχομεν ἰδεῖν ἄνθρωπον ἀπὸ γῆς εἰς γῆν ἀναλυόμενον. Δεσποτικῇ ἀποφάσει δεδούλευκεν· ...

---

1. Πρβλ. Ματθ. 3, 11. Λουκ. 3, 16. 2. Πρβλ. Δ' Μακκ. 8, 13 κ. ἑ. 3. Πρβλ. Ματθ. 27, 51. 4. Πρβλ. Ματθ. 23, 35. 5. Πρβλ. Ματθ. 27, 52-53.

CONSPECTVS SIGLORUM

CATENAE QUAE TYPI VI DICITUR CODICES

B = Oxoniensis Bodleianus Baroccianus 235 (saec. IX ex.)
I = Athous Iberorum graecus 597 (saec. XI)
R = Bucarestensis graecus 931 (saec. XI)
V = Vaticanus graecus 1789 (saec. X)

CATENAE QUAE TYPI III DICITUR CODICES

A = Atheniensis 45 (saec. XII - XIII)
M = Venetus Marcianus graecus 17 (saec. X - XI)
P = Parisinus graecus 139 (saec. X)
Huius catenae codices recentiores non conspeximus.

Cat. Ghisl. = Michaelis GHISLERII In Ieremiam prophetam Commentarium, t. II, Lugduni, 1623.
Cod. = B
Corr. = Corrector codicis B (saec. X inc.)
Hom. = Homiliae Asterii Sophistae in Psalmos IV - VII, X et XVIII supra editae.

ΑΣΤΕΡΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΔΙΑΣΩΘΕΝΤΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΩΝ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ

(ἐκ τῆς σειρᾶς τύπου VI).

ΕΙΣ ΤΟΝ Α' ΨΑΛΜΟΝ, 1

[249] B f. 11v

1. Ἀπὸ μακαρισμοῦ ἦρξατο τῆς ψαλμῳδίας ὁ Δαυίδ[1], ἐπειδὴ μαθητὴς καὶ μιμητὴς ἐγένετο τοῦ νοητοῦ Δαυίδ, τοῦ Χριστοῦ· κἀκεῖνος γὰρ ἀπὸ μακαρισμῶν ἦρξατο τῆς διδασκαλίας. Ἀγγέλους δὲ οὐ μακαρίζει· οἱ ἄγγελοι γὰρ ἐν βουλῇ ἀσεβῶν οὐ πορεύονται, ἀεὶ προσκυνοῦντες τὸν τῶν δυνάμεων κύριον. Ἀλλ' οὔτε βρέφος τὸ βουλεύεσθαι μὴ ἐπιστάμενον. Ἀλλ' οὔτε γυνὴ ἰδικῶς· ὅτι ἡ ἀξία τοῦ μακαρισμοῦ οὐκέτι ἀπὸ τοῦ σχήματος, ἀλλ' ἀπὸ τοῦ φρονήματος, ἀνὴρ ὀνομάζεται, ὥσπερ καὶ ὁ ἀνὴρ οὐκ ἐν τῷ σχήματι, ἀλλ' ἐν τῷ γενναίῳ φρονήματι θεωρούμενος, οὐκ ἐν ἡλικίᾳ μετρούμενος, ἀλλ' ἐν φιλοθεΐα κρατούμενος. Ἀσεβεῖς δὲ λέγονται οἱ τὸν θεὸν ἐν ἀληθείᾳ μὴ σεβόμενοι. Ὡς γὰρ οἱ κακόφωνοι ἄφωνοι λέγονται, οὕτω καὶ οἱ κακόφρονες ἀσεβεῖς ὡς κακῶς σεβόμενοι.

B f. 14r

2. Διὰ τῆς καθέδρας τὴν διδασκαλίαν δηλοῖ[2], ὥς φησιν ἐπὶ τῆς Μωϋσέως καθέδρας[3]. Καθέδρα τοίνυν λοιμῶν ἡ διδασκαλία τῶν παρανόμων.

ΕΙΣ ΤΟΝ Δ' ΨΑΛΜΟΝ, 1-3

[250] B f. 64r - 65v

3. Ἀστέριος δὲ ὁ Ἀρειανὸς οὕτω τὸν ψαλμὸν ἐξηγήσατο· Διὰ τί Εἰς τὸ τέλος ἐν ὕμνοις[4] ἐπιγέγραπται ὁ ψαλμός;

---

1. Πρβλ. στ. 1 α. 2. Πρβλ. στ. 1 γ. 3. Πρβλ. Ματθ. 23, 2. 4. Πρβλ. στ. 1.

Ἐπειδὴ καλῶς μὲν ἤρξατο, καλῶς δὲ τὸν βίον ἐτέλεσεν; Ἢ ἐπειδὴ κακῶς μὲν ἤρξατο, θεωρήσας τὴν τοῦ Οὐρίου γυναῖκα λουομένην, καὶ ἐμοίχευσε, καλῶς δὲ μετανοήσας τὸν βίον ἐτέλεσε, διὰ τοῦτο εἰς τὴν ἀρχὴν ἐν ψόγοις, εἰς τὸ τέλος ἐν ὕμνοις. Ψαλμὸς τῷ Δαυὶδ[1] ἡ πρᾶξις τῆς μετανοίας. Καὶ ἐπειδὴ ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ δικαιοσύνη[2], διὰ τοῦτο ἔλεγεν· Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ θεὸς τῆς δικαιοσύνης μου[3]. Δικαιοσύνην γὰρ αὐτοῦ νῦν λέγει ὁ Δαυὶδ τὴν μετάνοιαν. Εἶδεν ὁ θεὸς καθαρθεῖσαν τὴν ψυχὴν καὶ ἐδέξατο τὴν προσευχήν. Ἢ ἐπειδὴ ἐν τῷ πρὸ τούτου ψαλμῷ τὸν διωγμὸν τὸν ὑπὸ τοῦ Ἀβεσσαλὼμ ὠδύρετο, προσευχὴ δὲ μεσιτεύσασα τὸν τύραννον ἀνεῖλεν, ὡς ἐρωτηθεὶς πῶς τὸν Ἀβεσσαλὼμ ἐνίκησεν, ἀπεκρίνατο τὴν ἀρχὴν τοῦ ψαλμοῦ. Ὥσπερ γάρ, φησίν, ἁμαρτήσαντί μοι ὁ θεὸς αὐτὸν κατ' ἐμοῦ ἤγειρεν, οὕτω μετανοήσαντι τὴν κατ' αὐτοῦ ἐδωρήσατο νίκην. Διὰ τί δ' ἐν αὐτῷ τῷ ἐπικαλεῖσθαι εἰσηκούσθη ὁ Δαυίδ; Ἐπειδὴ ἐλεγχόμενος ὑπὸ τοῦ Νάθαν εὐθὺς εἰς μετάνοιαν ἐκάμφθη, διὰ τοῦτο εὐθὺς προσευχόμενος εἰσηκούσθη. Ὁ γὰρ πάντα ποιῶν ὅσα βούλεται ὁ θεὸς ὑπακούεται παραχρῆμα, καὶ ἔτι λαλοῦντος ἐρεῖ ὁ θεός· Ἰδοὺ πάρειμι[4]. Εἶτα εἰρηκὼς τοῖς πλησίον ὅπως τάχιον εἰσηκούσθη, τρέπει τὸν λόγον πρὸς τὸν θεὸν καὶ τῷ εἰσακούσαντι εὐχαριστεῖ· Ἐν θλίψει ἐπλάτυνάς μοι[5]. Τὰ κύματα τῶν θλίψεων, φησίν, ἡ ταχεῖα γαλήνη διέλυσε. Καὶ λιμῷ με τηκόμενον ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου ἐπλού [251] τισας, ὡς μὴ μόνον ἐμέ, ἀλλὰ καὶ πάντας τοὺς ὑπ' ἐμὲ ἀπολαῦσαι. Διὸ ὑποκαταβὰς ἔλεγεν· Ἀπὸ καρποῦ σίτου καὶ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν[6]. Ἡ ἐκείνων περιουσία εὐφροσύνη καρδίας μοι γέγονε. Τοῦτο δὲ μανθάνομεν ἀπ' αὐτῆς τῆς ἱστορίας. Ὅτε γὰρ πολεμούμενος ὑπὸ τοῦ Ἀβεσσαλὼμ ἔφευγεν ἐν ταῖς ἐρήμοις καὶ ἐν τοῖς ὄρεσιν, λιμῷ καὶ ἀνάγκῃ ὡς ἐν διωγμῷ ἐκρατήθη, ἀλλ' ὁ θεὸς αὐτοῦ τὴν ἀνάγκην παρεμυθήσατο. Πρῶτος γὰρ ὁ Σιβά, ὁ ἐκ τοῦ οἴκου τοῦ Σαούλ, ἤνεγκεν αὐτῷ ἄρτους διακοσίους καὶ οἶνον καὶ παλάθας καὶ σταφίδας[7]. Εἶτα μετὰ τοῦτον, Βερζελλὶ ὁ Γαλααδίτης καὶ αὐτὸς αὐτῷ προσήνεγκε δέκα κοίτας, ἵνα μὴ χαμευνῇ, καὶ ἀμφιτάπητας, τοὺς καλουμένους νῦν τυλοτάπητας, καὶ οἴνου κεράμια καὶ πυροὺς καὶ κριθὰς καὶ ἄλευρον καὶ κύαμον καὶ φακὸν καὶ μέλι καὶ βούτυρον καὶ πρόβατα καὶ γαλαθηνὰ μοσχάρια[8]. Εὐχαριστῶν οὖν ἐπὶ τούτοις φησίν· Ἐν θλίψει ἐπλάτυνας μοι[9]. Τί δὲ λέγων εἰσηκούσθης, μὴ μακρὸν κατέτεινας λόγον, μὴ πλατὺν ὀνομάτων

---

1. Πρβλ. στ. 1. 2. Πρβλ. Ρωμ. 5, 20. 3. στ. 2. 4. Ἡσ. 58, 9. 5. στ. 2. 6. στ. 8. 7. Πρβλ. Β' Βασ. 16, 1. 8. Πρβλ. Β' Βασ. 17, 27-29. 9. στ. 2.

καὶ ῥημάτων κατέγραψας πίνακα; Οὐδαμῶς, φησὶν ὁ Δαυίδ· Οὐ γὰρ χρῄζει πολυλογίας ὁ θεός, ὁ καὶ μόνῳ στεναγμῷ ἀρκούμενος. Τοῦτο μόνον ἔλεγον προσευχόμενος· Οἰκτείρησον καὶ εἰσάκουσον τῆς προσευχῆς μου[1]. Εἶπε δὲ ταῦτα καὶ ὁ λῃστὴς ἐν τῷ σταυρῷ πρὸς τὸν κύριον· εἰπὼν γὰρ καὶ ἐπικαλεσάμενος ἐν τῇ αὑτοῦ θλίψει· Μνήσθητί μου, κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου[2], εἰσηκούσθη καὶ ἀντὶ σταυροῦ τὸν παράδεισον ᾤκησε καὶ πολίτης γέγονε τοῦ οὐρανοῦ. Αὐτὸς καὶ πρὸς τοὺς Ἰουδαίους βοήσεται· Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι[3]; Θεάσασθε τὴν κτίσιν τῷ κτίστῃ συμπάσχουσαν. Εἰ τὸν Λάζαρον τετραήμερον ἀπὸ τάφου τρέχοντα ἰδόντες οὐκ ἐπιστεύσατε, νῦν γοῦν προσκυνήσατε τοῦ σταυρωθέντος τὴν δύναμιν. Νεκροὺς ὁ σεισμὸς ἀνέστησε, καὶ ὑμεῖς τῇ ἀπιστίᾳ κα[252]θεύδετε. Διὰ τί βαρυκάρδιοι; Τοῦτο μὲν διὰ τὸ μὴ κατανυγῆναι τοῖς θαύμασι, τοῦτο δὲ διὰ τὸ ἐξ ἀφροσύνης βαρέως κατὰ τοῦ Χριστοῦ ὀργίζεσθαι. Μάρτυς ἡ γραφὴ εἰποῦσα· Βαρὺ λίθος καὶ δυσβάστακτον ἄμμος[4], ὀργὴ δὲ ἄφρονος βαρυτέρα, ὅτι οὔτε νουθεσίᾳ θέλγεται καὶ θαύματα βλέπων ὀργίζεται. Ἵνα τί ἀγαπᾶτε ματαιότητα[5], τὸν Βαραββᾶν τοῦ Χριστοῦ προτιμήσαντες, τὸν φονέα ὑπὲρ τὸν ζωοποιόν, τὴν βασιλείαν τοῦ Καίσαρος ὑπὲρ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἁμαρτίαν τὴν ἄμμου παραλίας βαρυτέραν[6] ὑπὲρ τὴν δικαιοσύνην, τὰ πρόσκαιρα ὑπὲρ τὰ αἰώνια, τὴν φθορὰν ὑπὲρ τὴν ἀφθαρσίαν; Ἀλλὰ πρὸς τούτοις καὶ ζητεῖτε ψεῦδος[7], ψευδομάρτυρας ἐξωνούμενοι κατὰ τῆς ἀληθείας λέγοντας· Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα Καίσαρι φόρον διδόναι. Ἀνασείει τὸν λαὸν διδάσκων[8]. Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν[9]. Καὶ τί ἐκακοποίησεν; Ὅτι νοσοῦντας ἰάσατο; Ὅτι δαίμονας ἐφυγάδευσεν; Ὅτι νεκροὺς ἤγειρεν; Ὅτι ἐκ πέντε ἄρτων ἰσαρίθμους χιλιάδας ἐν ἐρήμῳ διέθρεψε χωρὶς γυναικῶν καὶ παίδων; Ἔτι ἡ τροφὴ ἐν τῷ λάρυγγι καὶ τὸ ψεῦδος ἐν τῷ στόματι. Καὶ τοῖς τῷ Ἀβεσσαλὼμ συναποξενωθεῖσιν ἔλεγεν ὁ Δαυίδ· Τί τῷ ἀτάκτῳ παιδὶ συναπήχθητε; Τί τὸν υἱὸν κατὰ πατρὸς ἀλείφετε; Τί τῇ ματαίᾳ βουλῇ τοῦ Ἀχιτόφελ ἠκολουθήσατε; Εἰ ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτου ἄξιος, ὁ κατὰ πατρὸς ἀκονῶν ξίφος υἱὸς ποσάκις ἐστὶν ἄξιος ἀποθανεῖν; Ἵνα τί οὖν ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος[10]; Ψεῦδος λέγει νῦν πᾶν πρᾶγμα μάταιον ταχεῖαν τὴν πτῶσιν καὶ μεταβολὴν ἔχον·

---

1. στ. 2. 2. Λουκ. 23, 42. 3. στ. 3. 4. Παρμ. 27, 3. 5. στ. 3. 6. Πρβλ. Ἰὼβ 6, 3. 7. στ. 3. 8. Λουκ. 23, 2 καὶ 5. 9. Ἰω. 18, 30. 10. στ. 3.

Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι[1].

ΕΙΣ ΤΟΝ Ε′ ΨΑΛΜΟΝ, 1-4

[253] B f. 66^{r} - 67^{r} (15 - 20 apud Cat. Ghisl., p. 704).

4. Οὐκ εἶπεν ὑπὲρ τῆς κληρονόμου, ὅτι ἀεὶ κληρονομεῖ καὶ πολλὰ ὡς βασίλισσα. Διὰ τί δὲ εἰς τέλος; Ἐπειδὴ καὶ τὸν τῆς ἐπιδημίας τοῦ σωτῆρος ἀνέμενε καιρὸν καὶ τὸν τοῦ μέλλοντος αἰῶνος. Οἱ μὲν γὰρ προφῆται τὴν διαθήκην ἔγραψαν· ὁ δὲ σωτὴρ ταύτην ἐλθὼν ἐβεβαίωσε καὶ ὑπέγραψε τρόπον τινὰ διὰ τῆς καινῆς διαθήκης καὶ ἐπλήρωσε τὰς διὰ τῶν προφητῶν ἐπαγγελίας. Καὶ ἀποθανὼν ὁ Χριστὸς ὅπλον ἡμῖν καὶ στέφανον κατέλιπε τὸν σταυρόν. Διὸ λέγει εἰς τὸ τέλος τοῦ ψαλμοῦ· Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς[2]. Ὅπλον γὰρ καὶ στέφανος ὁ σταυρός· ὅπλον διὰ τοὺς πολεμοῦντας, στέφανος διὰ τοὺς νικῶντας· ὅπλον διὰ τοὺς στρατιώτας συγκακοπαθήσοντας, στέφανος διὰ τοὺς συμβασιλεύοντας. Ἀλλ' ὁ Ἰουδαῖος τὸν ὑπὲρ τῆς κληρονομούσης[3] οἰκειοῦται ψαλμὸν λέγων· Ἐμοὶ ἔθετο ὁ θεὸς τὰς διαθήκας. Μὴ γὰρ ὁ διαθέμενος δοῦλος τῆς ἑαυτοῦ ἐστι διαθήκης; Ἐὰν ἀχαριστήσῃ τοῖς κληρονόμοις, ἀλλάσσει τὴν διαθήκην καὶ τοὺς κληρονόμους. Καὶ ὅτι ἀχαριστῶν τοῖς Ἰουδαίοις ἤλλαξε τὴν πρώτην διαθήκην καὶ ἄλλην καινὴν ἔγραψε, λέγει διὰ Ἱερεμίου· Ἰδοὺ ἐγὼ διατίθεμαι τῷ οἴκῳ Ἰσραὴλ διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐξελθόντων ἐξ Αἰγύπτου. Καὶ ἐπάγει· Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν[4]. Εἰ ἐν τοῖς ἠμελημένοις εἶ, οὐκ εἶ κληρονόμος, ἀλλ' ἀποκληρονόμος. Ἔλαβες δὲ τὴν διαθήκην οὐχ ὡς σήν, ἀλλ' ὡς παραθήκην. Οὐδέποτε γὰρ κληρονόμος διαθήκην **[254]** λαμβάνει ζῶντος τοῦ διατιθεμένου. Ἐὰν γὰρ λάβῃ, ὕποπτον ποιεῖ τὴν διαθήκην καὶ ἀντιλέγεται ὑπὸ τῶν ἀποκληρονόμων. Ἐπεὶ οὖν αὐτὸς φυλάττεις τὴν διαθήκην, προάγαγε ταύτην, ἵνα γνῶμεν τί λέγει περὶ ὑμῶν ἐπὶ τῶν μαρτύρων ὁ διαθέμενος· Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι κύριος ἐλάλησεν· Υἱοὺς ἐγέν-

1. Ψαλμ. 61, 10. 2. στ. 13. 3. στ. 1. 4. Ἱερ. 38, 31-32. Πρβλ. Ἑβρ. 8, 8-9.

νησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Καὶ ἵνα μὴ περὶ ἄλλου ταῦτα νομίσῃς λέγεσθαι, ἐπάγει· Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκε[1]. Μὴ σὺ ὁ κληρονόμος; Περὶ δὲ τῶν ἐθνῶν οἵας εὐχαριστίας γράφει; Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου[2]. Περὶ ὑμῶν λέγει· Ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας[3]. Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου[4]. Καὶ διὰ τί; Ἐπειδὴ ἐγένετο ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ. Τί γὰρ ἐποίησεν; Ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς[5]. Τί λέγουσα; Ἆρον, ἆρον, σταύρωσον αὐτόν[6]. Περὶ δὲ τῶν ἐθνῶν· Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου[7], κύριε. Κληρονόμος τοίνυν ἡ ἐξ ἐθνῶν ἐκκλησία.

[Τὰ ῥήματά μου ἐνώτισαι, κύριε,
σύνες τῆς κραυγῆς μου
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου,
ὁ βασιλεύς μου καὶ ὁ θεός μου,
ὅτι πρὸς σὲ προσεύξομαι, κύριε.][8]

[255] Ἀστερίου· Διὰ τί μὴ εἶπε τὸν λόγον μου, ἀλλὰ τὰ ῥήματά μου[9]; Ὅτι ὁ μὲν λόγος πολλὰ ὑφ' ἑαυτὸν περιλαμβάνει ῥήματα, τὰ δὲ ῥήματα μέρη ἐστὶ λόγου· καὶ τὰ μὲν ῥήματα καὶ λόγοι λέγονται, οὐ μὴν μέρη ῥημάτων λόγοι. Ὁ οὖν λέγων τὸν προκείμενον ψαλμὸν εἰς τὴν κατὰ μέρος τῶν αὐτοῦ λόγων ἐξέτασιν παρακαλεῖ τὸν θεὸν καὶ πρὸς τὰ ἀναγινωσκόμενα δοῦναι τὴν αἴτησιν. Σύνες τῆς κραυγῆς μου[10]. Ὢ τῆς τοῦ προφήτου παρρησίας. Ὢ τῆς τοῦ θεοῦ φιλανθρωπίας. Τὸ σύνες ἀντὶ τοῦ νόησον. Καὶ ἡμεῖς μὲν συνετῷ ἀνδρὶ λαλοῦντες, οὐ τολμῶμεν εἰπεῖν· Νόησον ἃ λέγω, ἵνα μὴ ὡς βραδύνους νομισθῇ· θεῷ δέ, τῷ καὶ πρὸ τοῦ αἰτῆσαι τὰς ἐνθυμήσεις εἰδότι, ὁ προφήτης ἔλεγε· Σύνες. Ἀλλ' οὐχ ὡς ἀγνοοῦντι ἐλάλει, ἀλλ' ὡς ἀπορρήτως καὶ ὀξύτερον διανοίας εἰδότι τὰ αἰτήματα πρὸ τοῦ αἰτῆσαι. Ἐπειδὴ γὰρ οὐ στόματι ὁ δίκαιος ἔκραζεν, ἀλλὰ διαθέσει καὶ προσοχῇ διανοίας, ἔλεγε· Σύνες τῆς κραυγῆς μου[11].

---

1. Ἡσ. 1, 2-3. 2. Ψαλμ. 17, 44-45. 3. Γαλ. 4, 30. Πρβλ. Γέν. 21, 10. 4. Ἱερ. 12, 7. 5. Ἱερ. 12, 8. 6. Ἰω. 19, 15. 7. Ψαλμ. 60, 6. 8. στ. 2-3. 9. στ. 2α. 10. στ. 2β. 11. ἐνθ' ἀν.

Σὺ γάρ, φησί, μόνος ἐπίστασαι τὰς καρδίας τῶν ἀνθρώπων[1]. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου[2]· ὡς γὰρ ὁρᾷς ἀκούεις, καὶ ὡς ἀκούεις βλέπεις. Ἀνόργανον γὰρ καὶ ἀμερὲς καὶ ἁπλοῦν τὸ θεῖον. Ὅτι πρὸς σὲ προσεύξομαι, κύριε[3]. Οὐκ εἶπεν· Ἐνώπιόν σου, ἀλλὰ πρὸς σέ, ἵνα δείξῃ τὴν πρὸς θεὸν ἐγγύτητα.

B f. 68r

5. Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου[4]. Τί γάρ; Μεσημβρίας οὐκ εἰσακούει; Ἑσπέρας δὲ ἢ ἐν νυκτὶ οὐκ ἐπινεύει; Καὶ πῶς ἐν ἄλλοις ἔλεγες· Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς **[256]** μου[5]; Ἀλλ' ὅταν, φησί, τὰς ὑπὲρ ἐμαυτοῦ ἢ ὑπὲρ τῶν συνόντων πρεσβείας προσφέρω, τότε κατὰ πᾶσαν ὥραν τὸν θεὸν ἱκετεύω· Εὐλογήσω γὰρ τὸν κύριον ἐν παντὶ καιρῷ[6]. Ἐπειδὴ δὲ νῦν ὑπὲρ τῆς κληρονομούσης τῆς ἐξ ἐθνῶν ἐκκλησίας πρεσβεύω, τότε δὲ εἰσάγεται εἰς τὴν κληρονομίαν μου, ὅταν ὁ τοῦ πατρὸς κληρονόμος τὸ πρωῒ ἀναστῇ καὶ συγκληρονόμον αὐτὴν ἀναδείξῃ, διὰ τοῦτο τὴν ἐν τῇ πρωΐᾳ τῇ ἐκκλησίᾳ αἰτούμενος ἐπαγγελίαν λέγω· Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου[7], ὅτε καὶ ἡ Μαρία, εἰς τύπον τῆς ἐκκλησίας ὀρθρίσασα, ὡς ἐπὶ θάλαμον τὸν τάφον ἐπιζητεῖ τὸν νυμφίον. Τὸ πρωῒ δὲ καὶ τὴν ταχεῖαν τοῦ θεοῦ καὶ ἑτοιμοτάτην ἀντίληψίν ἐστι λαβεῖν· Διώξωμεν γὰρ τοῦ γνῶναι τὸν κύριον, ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν, καὶ ἥξει ἡμῖν ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος[8].

ΕΙΣ ΤΟΝ ΣΤʹ ΨΑΛΜΟΝ, 1-2

B f. 74r-v

6. Καὶ ἐπεὶ ἔγνω ἐν τῷ πρὸ τούτου ψαλμῷ περὶ τῶν κληρονόμων ὡς εὐφρανθήσονται πάντες οἱ ἐλπίζοντες ἐπὶ τῷ θεῷ καὶ εἰς αἰῶνα ἀγαλλιάσονται[9], περὶ δὲ τῶν ἀποκληρονόμων ἔλεγεν· Οὐ παροικήσει σοι

---

1. Γʹ Βασ. 8, 39. 2. στ. 3 α. 3. στ. 3 γ. 4. στ. 4 α. 5. Ψαλμ. 54, 18. 6. Ψαλμ. 33, 2. 7. στ. 4 α. 8. Ὡσηὲ 6, 3. 9. Ψαλμ. 5, 12.

πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου, καὶ ὅτι ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος[1], αὐτὸς δὲ δόλῳ τὸν Οὐρίαν ἀνεῖλε, καὶ ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ[2], ἵνα μὴ ἀποκληρονόμος διὰ τὸ ἄγος γένηται, τὸν ὑπὲρ τῆς ὀγδόης[3] καὶ τῆς τῶν νεκρῶν ἀναστάσεως ψάλλων παρεκάλει. Ἐπειδὴ μοιχεία με καὶ φόνος τῆς κληρονομίας ἐκβάλλουσι, Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ [257] τῇ ὀργῇ σου παιδεύσῃς με[4]. Εἰ τὸν ἔλεγχον καὶ τὴν παιδείαν παραιτῇ, ὡς ἔοικε, φεύγεις τὸν μακαρισμόν. Γέγραπται γὰρ ἐν τῇ βίβλῳ τοῦ Ἰώβ· Μακάριος ἄνθρωπος ὃν ἤλεγξε κύριος ἐπὶ τῆς γῆς[5], καὶ Μακάριος ἄνθρωπος ὃν ἂν παιδεύσῃς, κύριε[6], αὐτὸς εἶπας. Ἀλλ' οὐ τὸν ἔλεγχον φεύγω, φησίν, ἀλλὰ τὸν μετὰ θυμοῦ· ἀλλ' οὐδὲ τὸ παιδευθῆναι ἀποστρέφομαι, ἀλλὰ τὸ μετὰ ὀργῆς. Ταῦτα γὰρ παραμένει τοῖς ἀνίατα καὶ ἀθεράπευτα διὰ τῆς ἀμετανοήτου καρδίας κατὰ τὸν ἐνεστηκότα βίον ἡμαρτηκόσιν. Ἀλλ' ἐγώ, φησίν, οὐ τούτων ἄξιος. Καὶ τὴν αἰτίαν προϊὼν παρίστησιν, τιμωρούμενος ἑαυτὸν καὶ δαμάζων δι' ἐξομολογήσεως καὶ μετανοίας.

ΕΙΣ ΤΟΝ Ζ′ ΨΑΛΜΟΝ, 3

B f. 81^r-v^

7. [Λέοντα δὲ κατὰ μὲν τὴν ἱστορίαν φασὶ τὸν Ἀβεσσαλώμ, κατὰ δὲ θεωρίαν τὸν διάβολον.] Ἐπιτήρει δὲ ὅτι ἀπὸ πολλῶν προσώπων εἰς ἓν μεταβέβηκεν. Εἰπὼν γάρ· Ἐκ πάντων τῶν διωκόντων με ῥῦσαί με[1], οὐκ εἶπε. Μήποτε ἁρπάσωσιν ὡς λέοντες τὴν ψυχήν, ἀλλ' ὡς λέων[2]. Ὥσπερ γὰρ ἐν τοῖς πολέμοις πλῆθος βαρβάρων ὁπλίζεται, οἱ πάντες δὲ τῷ τοῦ ἑνὸς νεύματι, ἢ τοῦ ῥηγὸς ἢ τοῦ τυράννου, ἕπονται, καὶ ἄνευ ἐκείνου τὸ πλῆθος οὐκ οἶδε παράταξιν, οὕτως, ἐπειδὴ κατ' αἴσθησιν τὸν ἄνθρωπον ἐπολέμουν οἱ στρατιῶται καὶ ὁ Ἀβεσσαλώμ, κατὰ νοῦν δὲ οἱ δαίμονες καὶ ὁ διάβολος, ἐπειδὴ τὸ πλῆθος τῶν ἐχθρῶν ἄνευ τοῦ ἡγεμόνος οὐδέν ἐστιν, λέοντα καλεῖ τὸν Ἀβεσσαλὼμ ἔνθεν, κἀκεῖθεν τὸν διάβολον. Λέων δὲ ὁ διάβολος διὰ τὸ τυραννικόν, διὰ τὸ ἁρπακτικόν. Ὁ λέων στόμα

1. Ψαλμ. 5, 5-7. 2. Ἐφ. 5, 5. 3. στ. 1. 4. στ. 2. 5. Ἰώβ 5, 17. 6. Ψαλμ. 93, 12. 7. στ. 2. 8. Πρβλ. στ. 3 α.

ἔχει δυσῶδες· τοιοῦτος ὁ διά[258]βολος, βλασφημίας ἐρευγόμενος. Ἵνα δὲ δείξῃ ὅτι οὐ περὶ αἰσθητοῦ λέοντος εἶπεν, ἀλλὰ περὶ νοητοῦ, οὐκ εἶπε· Μήποτε ἁρπάσῃ ὡς λέων τὸ σῶμά μου, ἀλλὰ τὴν ψυχήν μου[1].

ΕΙΣ ΤΟΝ Ι′ ΨΑΛΜΟΝ, 2-3

B f. 112[r-v]

8. Ἐνταῦθα τὴν ἄνοιαν καὶ τὴν ἀφροσύνην τῶν ἁμαρτωλῶν τῶν πολεμούντων τοῖς δικαίοις ὁ λόγος αἰνίττεται, ὅτι ὡς ἐν νυκτὶ οἱ ἄθλιοι οὐ βλέπουσι τίνας τοξεύουσιν, ἀλλ᾽ ὡς ἐν νυκτομαχίᾳ ἑαυτοὺς μᾶλλον ἢ τοὺς δικαίους τιτρώσκουσι, καὶ τὰ βέλη μᾶλλον ἐζημιώθησαν καὶ τοὺς δικαίους οὐκ ἔπληξαν. Ἐν σκοτομήνῃ δὲ κατατοξεύουσιν οἱ λάθρᾳ τοῖς φίλοις ἐπιβουλεύοντες, οἱ αὐθαίρετον νύκτα καὶ σκοτίαν τὴν ὑπόκρισιν καὶ τὸν δόλον φέροντες. Ἐπιτήρει δὲ πανταχόθεν τοὺς τυφλοὺς πολεμιστάς, ἀπράκτους μείναντας καὶ ἕως ἀπειλῆς καὶ ἐπαγγελίας τὸν πόλεμον ζωγραφήσαντας. Ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον· ἐνέτειναν τόξον, οὐκ ἐτόξευσαν. Ἡτοίμασαν βέλη εἰς φαρέτραν, ἀλλ᾽ οὐκ ἔπεμψαν. Τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ[2]· σχῆμα τοξευόντων ἔδειξαν καὶ ὡς ἐν ζωγραφίᾳ ἀκίνητοι ἔμειναν. Ἡ γὰρ τοῦ θεοῦ ῥοπὴ τὰς ὁρμὰς αὐτῶν παρέλυσεν. Ὅμως ἐνόησα, δέσποτα, διὰ τί οἱ ἁμαρτωλοὶ ἐπὶ τὸν κατὰ τῶν δικαίων ὥρμησαν πόλεμον. Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον[3], οὐ τὰ μέρη τοῦ κόσμου καταλύοντες, ἀλλὰ τὰ ἑαυτῶν ὦτα τῇ ἀνηκοΐᾳ καταστρέψαντες. Ὅτι δὲ καὶ τὰ ὦτα κατηρτίσατο, λέγει ὁ προφήτης τῷ θεῷ· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ὠτία δὲ κατηρτίσω μοι[4].

ΕΙΣ ΤΟΝ ΙΔ′ ΨΑΛΜΟΝ, 1

[259] P f. 36[v] ; M f. 30; A f. 117[v] - 118.

9. Ἰδὼν δὲ ὁ προφήτης ὡς οὐκ ἔστιν ὁ ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός[5], διὰ τοῦ προτέρου ψαλμοῦ,

1. στ. 3. 2. στ. 2. 3. στ. 3. 4. Ψαλμ. 39, 7. 5. Ψαλμ. 13, 1.

ἀθυμῶν ἐπὶ τῇ πανδήμῳ πλάνῃ ἐπερωτᾷ τὸν θεόν· Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου[1], ἵνα παροικήσας τὸν κόσμον οἰκήσῃ τὸν οὐρανόν; Ὡς γὰρ ἐπὶ σκηνῆς φησιν ὁ Παῦλος· Παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου[2]. Καὶ ὁ Ἡσαΐας· Ὁ πήξας τὸν οὐρανὸν ὡς καμάραν καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖν[3].

Σκήνωμα δὲ καὶ τὸ τοῦ ἀνθρώπου σῶμα, Παύλου λέγοντος ἄκουσον Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι[4], καὶ πάλιν· Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ[5], καὶ τὰ ἑξῆς, ὁποῖον καὶ τὸ Μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου[6]. Ἔστι δὲ τοῦτο θεοῦ, καθά φησιν ὁ ἀπόστολος· Δοξάσατε τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ θεοῦ[7], τουτέστιν ἔργα. Τίς τοίνυν ὡς καλύβῃ τῷ σώματι χρήσεται, τῇ μὴ δυναμένῃ τι τῶν ἀναγκαίων τηρεῖν; Ὁποῖος ὢν ἔλεγεν Ἀβραάμ· Πάροικος ἐγώ εἰμι[8]. Ἀλλὰ καὶ Ἰσαάκ· Παρῴκησε, φησίν, ἐν τῇ γῇ τῶν Φυλιστιεὶμ ἡμέρας πολλάς[9]. Ἔφη καὶ Ἰακώβ· Αἱ ἡμέραι τῶν ἐτῶν μου ἃς παροικῶ ρλ' ἔτη[10]. Καὶ Μωϋσῆς ἔλεγε· Πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ[11]. Ὅρος δὲ λέγει τὸν οὐρανόν, ἰσάγγελον ἄνδρα ζητῶν τὸν δυνάμενον λέγειν· Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει[12]. Ἐρωτῶντι δέ φησιν ὁ δεσπότης· Πορευόμενος ἄμωμος[13].

[260] B f. 129v,

...ἰσάγγελον τοίνυν ἄνδρα ζητῶν ὁ προφήτης, τὸν δυνάμενον λέγειν· Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει[14], ἠρώτα. Πρὸς ὃν ἀποκρίνεται ὁ δεσπότης· Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην[15].

---

1. στ. 1. 2. Α' Κορ. 7, 31. 3. Πρβλ. Ἡσ. 40, 22 καὶ 42, 5. 4. Β' Κορ. 5, 4. 5. Β' Κορ. 5, 1. 6. Ψαλμ. 90, 10. 7. Α' Κορ. 6, 20. 8. Γέν. 23, 4. 9. Γέν. 21, 34 (περὶ τοῦ Ἀβραὰμ ὁ λόγος). 10. Γέν. 47, 9. 11. Ἔξ. 2, 22. 12. Φιλιπ. 3, 20. 13. στ. 2. 14. Φιλιπ. 3, 20. 15. στ. 2.

ΕΙΣ ΤΟΝ ΙΔ' ΨΑΛΜΟΝ, 4-5

B f. 132r-v

10. Πρὸς δ' αὖ τούτοις ὀμόσαι ὁ Δαυὶδ οὐκ ἐνομοθέτησεν [1], ἀλλὰ τὸν ἀφ' ἑαυτοῦ ὀμνύοντα παρέστησεν, ὅντινα καὶ ἐπαινεῖ, οὐχ ὅτι ὤμοσεν, ἀλλ' ὅτι οὐκ ἐπιώρκησε. Συνεχώρουν δὲ οἱ προφῆται ὀμνύναι κατὰ θεοῦ, ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμόσωσιν. Ὅτι δὲ κατὰ τῶν εἰδώλων ὤμνυον, ἄκουσον Ἀμὼς τοῦ προφήτου περὶ τῶν Ἰσραηλιτῶν λέγοντος· *Οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας καὶ λέγοντες· Ζῇ ὁ θεός σου, Δάν, καὶ ζῇ ὁ θεός σου, Βηρσαβεέ· καὶ πεσοῦνται καὶ οὐ μὴ συντελεσθῶσι* [2]. Καὶ ἄλλος· *Καὶ ὤμνυον ἐν τοῖς μὴ οὖσιν* [3]. Ἵν' οὖν μηθ' ὅλως ὁ ῥύπος τῆς τῶν θεῶν ὀνομασίας μιαίνῃ αὐτῶν καὶ τὴν γλῶσσαν καὶ τὴν διάνοιαν, μᾶλλον κατὰ τοῦ θεοῦ ὀμνύειν εἴασαν καὶ τούτους ἐπῄνεσαν. *Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ* [4].

B f. 133v

11. Ὁ δὲ Παῦλος *τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκον* [5], *τὸ* εὐαγγέλιον μισθῷ μὴ κηρύξας.

ΕΙΣ ΤΟΝ ΙΕ' ΨΑΛΜΟΝ, 4-5

[261] B f. 137v - 138r

12. Τὸ *Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων* [6] περὶ τῶν ἀποστόλων καὶ τῶν δι' αὐτῶν πεπιστευκότων φησίν, καὶ τῶν ὑπὲρ τῆς εὐσεβείας μαρτυρησάντων· τούτων γὰρ τὰς συναγωγὰς οὐ μὴ συναγάγω ἐξ αἱμάτων. Ἐν τούτοις γὰρ ἀθληταὶ καὶ δόκιμοι καὶ τῆς ἀληθείας ἀπεδείχθησαν μάρτυρες. *Οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου* [7]. Ἀρκεῖ γὰρ αὐτοῖς ὅτι τὰ ὀνόματα αὐτῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐπεὶ οὖν χείλη καὶ στόμα Χριστοῦ οἱ προ-

---

1. Πρβλ. στ. 4 γ. 2. Ἀμὼς 8, 14. 3. Ἱερ. 5, 7. 4. Ψαλμ. 62, 12. 5. στ. 5 α. 6. στ. 4 γ. 7. στ. 4 δ.

φῆται καὶ εὐαγγελισταὶ καὶ ἀπόστολοι, οὐκ ἐπετράπησαν δὲ πολλῶν ἁγίων γράψαι ἢ φανερῶσαι ὀνόματα οὐδὲ μνησθῆναι, ἵνα μὴ ἀκηδιάσωσιν οἱ τὰς γραφὰς ἀναγινώσκοντες. Εἰ γὰρ νῦν ὀλίγων ὀνόματα ἀποναρκῶμεν πολλάκις ἀναγινώσκοντες, τίς ἂν ὑπέμεινεν ἀναγνῶναι τοσαῦτα ὀνόματα; Οὕτω ποῦ ὁ Παῦλος, μνημονεύων ἁγίων συνεργῶν, ἕνα ὀνομάσας, τοὺς ἄλλους παρεσιώπησεν, εἰπὼν περὶ δύο ἁγίων γυναικῶν Εὐοδίας καὶ Συντύχης; Ναὶ ἐρωτῶ καὶ σέ, σύζυγε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς[1]. Καὶ ἕνα ὀνομάσας, τῶν ἄλλων οὐκ εἶπε τὰ ὀνόματα, ἵνα μὴ ἀποκάμωσιν οἱ τὴν ἐπιστολὴν ἀναγινώσκοντες.

B f. 139r

13. Σὺ εἶ ὁ ἀποκαθιστῶν[2] τὰ ἔθνη τὰ σκυλευθέντα ὑπὸ τοῦ διαβόλου· ὅταν[3], ὡς νυμφίος ἐκ θαλάμου τοῦ τάφου προελθών, τὴν ἐκκλησίαν ἀγάγηται, λέγων τοῖς ἀποστόλοις· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη[3].

ΕΙΣ ΤΟΝ ΙΣΤ' ΨΑΛΜΟΝ, 2

[262] B f. 143v

14. Ἡ σὴ κρίσις, δέσποτα, ἔχει καὶ τὸ δίκαιον, ἔχει καὶ τὸν ἔλεον· Ἔλεον γὰρ καὶ κρίσιν ᾄσομαί σοι, κύριε[4]. Ἐπεὶ οὖν μόνος αὐτὸς καὶ τὸν δίκαιον στεφανοῖς καὶ τὸν ἡμαρτηκότα ἐλεεῖς, ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι[5].

B f. 144v

15. Ὀφθαλμοὺς αὐτοῦ λέγει τοὺς ἀποστόλους· μέλη γὰρ τοῦ σώματος αὐτοῦ ἐσμεν. Εὔχεται οὖν τούτοις εὐθύτητα βλέπειν[6].

---

1. Φιλιπ. 4, 3. 2. στ. 5 β. 3. Ματθ. 28, 19. 4. Ψαλμ. 100, 1. 5. στ. 2 α. 6. Πρβλ. στ. 2 β.

ΕΙΣ ΤΟΝ ΙΣΤ' ΨΑΛΜΟΝ, 3-4.

B f. 145v

16. Ἐδοκίμασας τὴν καρδίαν μου, ὅτι οὐδέποτε διενοήθην ἀδικῆσαι ἄνθρωπον ἢ διὰ χρημάτων ἢ δι' ἄλλην αἰτίαν. Ἐπεσκέψω νυκτός[1], ὅτι οὐδέποτε ὕπνῳ κατεκρατήθην βαθεῖ, τὸ δίκαιον διερευνώμενος καὶ ὑπὸ σοῦ φωτιζόμενος, ὅτι, κατὰ τὸν Ἰώβ, Ἐν τῷ φωτί σου ἐπορευόμην ἐν σκότει[2]· Λύχνος γὰρ ἦν τοῖς ποσί μου ὁ νόμος σου[3]. Νοήσεις δὲ ταῦτα καὶ ὡς ἐκ προσώπου τοῦ σωτῆρος. Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων[4]· Οὐ γὰρ ἦλθον, φησίν, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον[5].

ΕΙΣ ΤΟΝ ΙΖ' ΨΑΛΜΟΝ, 1

[263] B f. 153r - 154r

17. Εἰς τὸ τέλος[6]. Ποῖον; Τῆς τοῦ Σαοὺλ ἐν μαχαίρᾳ τελευτῆς καὶ τῆς τῶν συνεργῶν αὐτοῦ καταστροφῆς. Ἔφθασε γὰρ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. Ποῖον δὲ ἄρα τῆς τῶν ἐχθρῶν καταστροφῆς; Ἀποκρίνεται διὰ τῶν προκειμένων· Ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ, χάλαζαν καὶ ἄνθρακας πυρός· ἐξαπέστειλε βέλη καὶ διεσκόρπισεν αὐτούς, καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς[7]. Συνεπόδισε τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου[8] ἕως ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σῴζων, πρὸς κύριον, καὶ οὐκ εἰσήκουεν αὐτῶν[9]. Ἐπεὶ οὖν τοιαύτη ἡ τῶν ἐχθρῶν ἀπώλεια καὶ ἡ τελευτή, ἄξιον αὐτοὺς τέλος ἔφθασεν, ἢ καὶ εἰς τὸ τέλος τῶν πολέμων. Διὰ τί δὲ τῷ παιδὶ κυρίου[10] καὶ οὐ τῷ προφήτῃ ἢ τῷ ψάλτῃ ἢ τῷ βασιλεῖ ἢ τῷ τῶν δαιμόνων φυγαδευτῇ; Ὅτι ἐκεῖνα ἦν τοῦ θεοῦ τὰ χαρίσματα· τὸ δὲ παῖδα γενέσθαι κυρίου μέγα αὐτῷ ἔφερε καύχημα. Παῖδα δὲ νῦν ἑαυτὸν οὐκ ἀπὸ τῆς ἡλικίας καλεῖ,

---

1. στ. 3 α. 2. Πρβλ. Ἰὼβ 29, 3. 3. Ψαλμ. 118, 105. 4. στ. 4 α. 5. Ἰω. 12, 47. 6. στ. 1. 7. στ. 14-15. 8. στ. 40 β. 9. στ. 42. 10. στ. 1.

ἀλλ' ἀπὸ τῆς ἀρετῆς καὶ τῆς ἀνδρείας. Οὕτω δὲ καὶ ὁ Ἀβραάμ, ὅτε ἑκατὸν ἐτῶν ἐγένετο, τότε παῖδα τοῦ κυρίου ἑαυτὸν ἐκάλει. Ὅτε γὰρ τὸν κύριον ὑπὸ τὴν καλύβην ἐλθεῖν προετρέπετο, ἔλεγεν· Εἰ εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου[1]. Καὶ ὁ κύριος δὲ εἶπεν· Οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου[2]. Ἀνακαινισθήσεται γάρ, φησίν, ὡς ἀετοῦ ἡ νεότης σου[3]. Ἀλλὰ καὶ παῖς κυρίου ὡς δοῦλος κυρίου. Ἃ ἐλάλησε τῷ κυρίῳ[4]. Ὢ παρρησία παιδός· τῷ δεσπότῃ ὡς φίλῳ λαλεῖ καὶ τῷ θεῷ ὡς πατρὶ ὁμιλεῖ. Ὁ γὰρ εὔνους παῖς ὡς τέκνον παρρησιάζεται πρὸς τὸν ἑαυτοῦ κύριον· τὴν ἱκεσίαν γὰρ ὁμιλίαν εἶπε διὰ τὴν πολλὴν παρρησίαν. Καὶ τί ἐλάλησε τῷ κυρίῳ; Τοὺς λόγους τῆς ᾠδῆς ταύτης[5]. Καὶ διὰ τί οὐ ψαλ**[264]**μὸν ᾠδῆς ὠνόμασεν; Ὅτι γηράσας λοιπὸν ὁ Δαυίδ, οὐ κιθαρίζων ἢ τυμπανίζων, ἀλλ' ὁμιλῶν τῷ θεῷ ἐλάλησε· γηράσαντι γὰρ ἀνθρώπῳ τὰ μουσικὰ ὄργανα ὄχλος ἀκοῆς, ἀλλ' οὐχ ἡδονὴ ψυχῆς. Καὶ τούτου μάρτυς Βερζελλὶ ὁ Γαλααδίτης, ὅστις δεξιωσάμενος τὸν Δαυὶδ ἐν τῷ πολέμῳ τῷ κατὰ τὸν Ἀβεσσαλώμ, καὶ εἰρήνης γενομένης παρακαλούμενος παρὰ τοῦ Δαυὶδ καὶ λέγοντος αὐτῷ· Διάβηθι μετ' ἐμοῦ εἰς Ἱερουσαλὴμ καὶ διαθρέψω τὸ γῆράς σου ἐν εἰρήνῃ, ἀποκρίνεται· Πόσαι λοιπὸν ἡμέραι ζωῆς ἔσονταί μοι ἐκεῖ; Υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ εἰμι σήμερον· εἰ γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ καὶ ἀκούσομαι ἔτι φωνὴν ᾀδόντων καὶ ᾀδουσῶν[6]; Τὸ γὰρ γῆρας ὑφ' ἑαυτοῦ φθειρόμενον τὸ τέρπειν ἢ τέρπεσθαι ἀπέμαθε. Πότε δέ, αὐτὸς εἶπεν Ἐν ἡμέρᾳ ᾗ ἐρρύσατο αὐτὸν κύριος ἐκ πάντων τῶν ἐχθρῶν αὐτοῦ[7]; Καὶ ἆρα ἐν μιᾷ ἡμέρᾳ πάντων ὁμοῦ ἐρρύσθη τῶν ἐχθρῶν αὐτοῦ; Ὡς μὲν πρὸς τὸ ῥητόν, κατὰ τὴν τελευταίαν ἡμέραν τῶν πολέμων καὶ τῶν πειρασμῶν, ὅτε τὴν ἐσχάτην καὶ τελευταίαν ἐκδικίαν ἐξεδικήθη· ὡς δὲ πρὸς διάνοιαν, ἐπειδὴ ὅλη αὐτοῦ ἡ ζωὴ μία αὐτῷ ἡμέρα πολέμου ἐγένετο, καθὼς ἔλεγεν αὐτός· Ἐλέησόν με, ὁ θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με[8]. Ἐπειδὴ δι' ὅλου ὡς ἐν μιᾷ ἡμέρᾳ πολεμούμενος ἐρρύσθη, καὶ ὁ λαλῶν δὲ τῷ κυρίῳ ἐν ἡμέρᾳ ἐστί, καὶ ὁ ῥυσθεὶς ὡς ἀπὸ σκοτίας τῶν ἐχθρῶν καὶ τῶν πειρασμῶν ἐν ἡμέρᾳ ἐστί. Καὶ ἐκ χειρὸς Σαούλ[9]· τοῦ πενθεροῦ καὶ ἐχθροῦ, τοῦ ἰδίου καὶ ξένου, τοῦ παλαιοῦ Ἰούδα, τοῦ φιλοῦντος, καὶ πολεμοῦντος. Καὶ οὐκ εἶπε τοῦ ἐχθροῦ,

---

1. Γέν. 18, 3. 2. Γέν. 18, 17. 3. Ψαλμ. 102, 5. 4. στ. 1. 5. ἔνθ' ἀν. 6. Πρβλ. Β' Βασ. 19, 34-36. 7. στ. 1. 8. Ψαλμ. 55, 2. 9. στ. 1.

ἀλλ' ἠρκέσθη ἀντὶ κατηγορίας τῷ ὀνόματι. Ὡς γὰρ τὸν Κάϊν ἀκούοντες εὐθέως τὸν ἀδελφοκτόνον λογιζόμεθα, οὕτω τὸν Σαούλ, εὐθέως τὸν ἐπίβουλον καὶ πολέμιον τοῦ Δαυὶδ νοοῦμεν· ὃν γὰρ ἀγαπητὸν εἶπε μετὰ θάνατον—Οἱ ἠγαπημένοι καὶ ὡραῖοι[1]—τοῦτον ὡς ἐχθρὸν ἐν τῇ ἐπιγραφῇ οὐκ ἐπόμπευσε. Χεῖρα δὲ τοῦ Σαοὺλ καλεῖ τὸν στρατὸν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐκγόνους.

ΕΙΣ ΤΟΝ ΙΖ' ΨΑΛΜΟΝ, 5

[265] B f. 156r

18. Ὠδῖνες θανάτου[2], αἱ κυοφοροῦσαι συνέλαβόν με ἁμαρτίαι· Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου[3]. Ἐπὰν γάρ τις ἐν ἁμαρτίαις συλληφθῇ, τέως ἐν τῇ κοιλίᾳ τοῦ διαβόλου κρατεῖται ὡς ἔμβρυον. Ἐὰν οὖν μετανοήσῃ, ζῶν ἀπὸ τῆς κοιλίας τοῦ διαβόλου, ὡς ὁ Ἰωνᾶς ἀπὸ γαστρὸς τοῦ κήτους, ἐξέρχεται· ἐὰν δὲ ἀμετανόητος μείνῃ, νεκρὸς καὶ υἱὸς θανάτου ἐξέρχεται. Ἐπεὶ οὖν καὶ ὁ Δαυὶδ ἐν ἁμαρτίαις συνελήφθη, μετενόησε δέ, καὶ τοὺς δεσμοὺς τῆς ἁμαρτίας αὐτοῦ ὁ θεὸς διέρρηξεν, ὡς λέγειν· Σὺ διέρρηξας τοὺς δεσμούς μου[4], ὁμολογῶν τὰς ὀλεθρίους ὠδῖνας τοῦ θανάτου, τὴν ἐκ τοῦ διαβόλου μοιχείαν καὶ ἀνδροφονίαν, φησίν· Περιέσχον με ὠδῖνες θανάτου[5]· περιέσχον με, ἀλλ' οὐ κατέσχον με. Χείμαρροι δ' ἀνομίας[6], οἱ λογισμοὶ τῆς ἐπιθυμίας, αἱ ὁρμαὶ τῶν κακῶν. Ἐὰν οὖν ἡ ψυχὴ ὡς ἐπὶ πέτραν τὸν φόβον τοῦ θεοῦ τεθεμελίωται, οἱ χείμαρροι τῆς ἀνομίας ταύτην ἐκταράσσουσιν, οὐ μὴν καταστρέφουσιν[7].

ΕΙΣ ΤΟΝ ΙΗ' ΨΑΛΜΟΝ, 2

B f. 182v - 183r

19. Οὐρανοὺς δὲ λογικοὺς διηγουμένους δόξαν θεοῦ[8] καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ καὶ τοὺς ἁγίους ἀνθρώπους δηλοῖ. Καὶ ἀγγέλων μὲν καὶ ἀρχαγγέλων, τῶν τε Χερουβεῖν καὶ τῶν Σεραφεῖν, ἤκουσεν ὁ

---

1. Β' Βασ. 1, 23. 2. στ. 5 α. 3. Ψαλμ. 50, 7. 4. Ψαλμ. 115, 7. 5. στ. 5 α. 6. στ. 5 β. 7. Πρβλ. Ματθ. 7, 25. 8. Πρβλ. στ. 2 α.

προφήτης Ἰεζεκιὴλ λεγόντων· Εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ[1]. Καὶ Ἡσαΐας δὲ ὁ προφήτης ἤκουσε κεκραγότων καὶ λεγόντων· Ἅγιος, ἅγιος, [266] ἅγιος κύριος σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ[2]. Καὶ ἐν τῷ εὐαγγελίῳ δέ φησιν ὁ Λουκᾶς· Καὶ ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία[3]. Καὶ οὐκ εἶπε διηγήσαντο, ἀλλὰ διηγοῦνται[4]· οὐ γὰρ ἤρξαντο καὶ ἐσιώπησαν, ἀλλ' ἀφ' οὗ ἤρξαντο ἀκαταπαύστοις στόμασι διηγοῦνται τὴν τοῦ θεοῦ δόξαν. Ἀλλὰ καὶ πάντες οἱ ἅγιοι τὸ αὐτὸ ποιοῦσι, τὴν τῶν ἀγγέλων πολιτείαν ἐπὶ γῆς μιμούμενοι. Εἶτα, ἵνα μὴ ἀγενήτους καὶ αὐτομάτους εἶναι τούτους νομίσῃς, ἐπιφέρει· Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα[5], ἵνα μάθωμεν ὅτι εἰ ὁ θεμέλιος καὶ τὸ δοχεῖον πεποίηται τῶν φωστήρων, πολλῷ μᾶλλον ἡ ἐνθήκη τῶν ἐν αὐτῷ φύσεων. Ἀλλὰ καὶ ὁ τῶν προφητῶν χορός φησι· Καὶ αὐτὸς ἐποίησεν ἡμᾶς καὶ οὐχ ἡμεῖς[6]. Καὶ ὁ τῶν ἀποστόλων θίασος βοῶν· Αὐτοῦ γάρ ἐσμεν ποίημα[7].

ΕΙΣ ΤΟΝ ΙΗ' ΨΑΛΜΟΝ, 3 καὶ 5

B f. 184v - 185r

20. ⟨Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα,⟩[8] καὶ ἀπόστολος δὲ ἀποστόλῳ τὸ εὐαγγελικὸν κήρυγμα· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται[9]. Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον[10]. Ἀνδρέας τῷ Πέτρῳ εὐαγγελιζόμενος τὸν Χριστόν, ὃν ἔγραψε Μωϋσῆς[11]· ὁ Φίλιππος τῷ Ναθαναήλ, ὁ Ἰωάννης τοῖς δυσὶ μαθηταῖς αὐτοῦ. Ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. Νὺξ δὲ νυκτὶ ἀναγγέλλει γνῶσιν[12]· ἀσεβὴς ἀσεβεῖ ὡς Αἰγύπτιος Αἰγυπτίῳ φάσκων· Φύγωμεν ἀπὸ προσώπου [267] Ἰσραήλ· ὁ γὰρ κύριος πολεμεῖ ὑπὲρ αὐτῶν τοὺς Αἰγυπτίους[13], ἵνα ἀληθεύσῃ ὁ κύριος εἰπών· Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι

1. Ἰεζ. 3, 12. 2. Ἡσ. 6, 3. 3. Λουκ. 2, 13-14. 4. Πρβλ. στ. 2 α. 5. στ. 2 β. 6. Ψαλμ. 99, 3. 7. Ἐφ. 2, 10. 8. στ. 3 α. 9. Λουκ. 1, 2. 10. Γαλ. 2, 2. 11. Ἰω. 1, 46. 12. στ. 3. 13. Ἔξ. 14, 25.

ἐγώ εἰμι κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ καὶ ἐν πᾶσι τοῖς ἅρμασι καὶ ἐν πᾶσι τοῖς ἵπποις αὐτοῦ[1]. Καὶ ὁ ἱεροψάλτης· Ὅταν, φησίν, ἀπέκτεννεν αὐτούς, ἐξεζήτουν αὐτόν[2]. Καὶ ἐν ἄλλοις· Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν καὶ γνώτωσαν ὅτι ὄνομά σοι κύριος[3]. Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν[4]· ἡ γυνὴ τῷ Πιλάτῳ ἀναγγέλλουσα· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ κατ' ὄναρ ἔπαθον δι' αὐτόν[5]. Καὶ διὰ τί οὐρανοὺς καὶ στερέωμα καὶ ἡμέρας καὶ νύκτας διδασκάλους ἐπέστησεν; Ἵν' οἱ προφητῶν καὶ ἀποστόλων ἀκοῦσαι μὴ θέλοντες τὰ ἔργα τῆς δημιουργίας διδασκάλους ἔχωσιν. Οὕτως ἔλεγε τῷ λαῷ ὁ Μωϋσῆς· Καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας πλανηθεὶς προσκυνήσῃς αὐτοῖς ἃ ἀπένειμε κύριος ὁ θεός σου τοῖς ἔθνεσιν[6], οὐκ εἰς προσκύνησιν, ἀλλ' εἰς μάθησιν. Οἱ οὐρανοὶ γὰρ διηγοῦνται δόξαν θεοῦ[7]. Ἐρεύγεται δὲ ῥῆμα καὶ ὁ προφήτης τῇ ἐκκλησίᾳ λέγων· Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν[8]. Καὶ τῇ μὲν γῇ ὁ φθόγγος[9]· τῇ παχυτέρᾳ καὶ ἄρτι εἰσαγομένῃ πρὸς θεογνωσίαν ψυχῇ ὁ ἀσημότερος καὶ παιδικώτερος λόγος ἁρμόττει. Καὶ μάρτυς ὁ ἀπόστολος φήσας· Καὶ ἐγὼ [ὑμῖν], ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς ἐν Χριστῷ[10]. Τῇ δὲ οἰκουμένῃ τὰ ῥήματα[11]· τῇ τελειοτέρᾳ καὶ οἰκητήριον θεοῦ γενομένῃ ψυχῇ τὰ τέλεια καὶ ἀπηρτισμένα δόγματα.

ΕΙΣ ΤΟΝ ΙΗ' ΨΑΛΜΟΝ, 7

[268] B f. 187r-v

21. Ὥσπερ δὲ οἱ τυφλοί, κἂν τὸ φῶς τοῦ ἡλίου μὴ βλέπωσιν, ἀλλά γε τῆς θέρμης μετέχουσιν, οὕτω πάντες οἱ ἄπιστοι, κἂν τὴν θεότητα τοῦ Χριστοῦ ἠρνήσαντο, ἀλλὰ τὴν δύναμιν τοῦ ὀνόματος αὐτοῦ ἔμαθον. Ἢ καὶ ἐν τῇ δευτέρᾳ παρουσίᾳ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ[12], ὅτε ὁ θεὸς

1. Ἐξ. 14, 18. 2. Ψαλμ. 77, 34. 3. Ψαλμ. 82, 18-19. 4. στ. 3 β. 5. Ματθ. 27, 19. 6. Δευτ. 4, 19. 7. στ. 2 α. 8. Ψαλμ. 44, 2. 9. Πρβλ. στ. 5 α. 10. Α' Κορ. 3, 1. 11. Πρβλ. στ. 5 β. 12. στ. 7 γ.

ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παρασιωπηθήσεται· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται[1]. Τότε γὰρ ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει[2].

ΕΙΣ ΤΟΝ ΙΘ' ΨΑΛΜΟΝ, 2

B f. 193r-v

22. Ἐν ἡμέρᾳ θλίψεως ἐπακοῦσαί σου[3], ὁ εἰπών· Ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με[4]. Καὶ διὰ τί μὴ ἐν ἡμέρᾳ ἀμεριμνίας καὶ ἀνέσεως καὶ εἰρήνης καὶ ἀταράχου ζωῆς, ἀλλ' ἐν ἡμέρᾳ θλίψεως; Ἐπειδὴ τότε μάλιστα οἱ ἄνθρωποι θερμοτέρας καὶ ταχείας βοηθείας χρῄζομεν. Ἐν γὰρ τῇ ἀνέσει πολλάκις οἱ πολλοὶ ἢ οὔτε ὅλως προσεύχονται ἢ ὡς δεῖ οὐ προσεύχονται, ῥεμβόμενοι τῇ διανοίᾳ. Ἐπακοῦσαί σου τοίνυν ἐν ἡμέρᾳ θλίψεως[5], ἵν' εὐχαριστητικῶς εἴπῃς· Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν[6]. Ταύτην προσηύχοντο τὴν εὐχὴν τῷ Δαυὶδ οἱ προφῆται, ὅτε ἤμελλεν τῷ Γολιάθ μονομαχεῖν. Ἐπεὶ γὰρ κατηράσατο ὁ ἀλλόφυλος τὸν Δαυὶδ ἐν τοῖς θεοῖς αὐτοῦ[7], οἱ προφῆται ὑπὲρ τοῦ Δαυὶδ τῷ θεῷ προσηύξαντο, ἵνα μὴ εἷς τῶν θεῶν ἐκείνων νομισθῇ ὁ θεὸς ᾧ προσεύχονται, καὶ νικήσαντος τοῦ Δαυίδ, εἴπωσιν ὅτι εἷς τῶν θεῶν τῶν ἐθνῶν ἐβοήθησε τῷ [269] Δαυίδ. Διὰ τοῦτο τὸν θεὸν τοῦ Ἰακὼβ ὠνόμασαν[8], τὸν ἀληθινὸν θεόν, τὸν ὄντα, τὸν ζῶντα, τὸν ἐπουράνιον, ἵνα μὴ πάλιν οἱ Ἰσραηλῖται χορεύοντες εἴπωσιν ὡς ἐν τῇ ἐρήμῳ· Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου[9]. Ἢ καὶ ἐπειδὴ ἔλεγε πρὸς τὸν ἀλλόφυλον ὁ Δαυίδ· Σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἀσπίδι· ἐγὼ δὲ ἔρχομαι πρός σε ἐν ὀνόματι κυρίου παρατάξεως Ἰσραήλ[10], συνῳδὰ τῷ Δαυὶδ οἱ προφῆται προσεύχονται· Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ[11]. Μνησθείη πάσης θυσίας σου[12], οὐ τῆς δι' αἱμάτων· περὶ γὰρ τούτων αὐτὸς ὁ

1. Ψαλμ. 49, 3. 2. Α' Κορ. 3, 13. 3. Πρβλ. στ. 2 α. 4. Ψαλμ. 49, 15. 5. Πρβλ. στ. 2 α. 6. Ψαλμ. 117, 5. 7. Α' Βασ. 17, 43. 8. Πρβλ. στ. 2 β. 9. Ἔξ. 32, 4. 10. Α' Βασ. 17, 45. 11. στ. 2 β. 12. στ. 4 α.

Δαυὶδ ἔλεγε τῷ θεῷ· Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας[1]. Ὁλοκαυτώματα οὐκ εὐδοκήσεις, ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν[2]. Ἀλλὰ ποίας θυσίας; Τὰς δι' αἰνέσεων καὶ νεκρώσεων μελῶν, ἄκουσον αὐτοῦ λέγοντος· Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον[3]. Καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω[4]. Λέγεις μετὰ Παύλου· Ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ κόσμῳ[5].

ΕΙΣ ΤΟΝ Κ' ΨΑΛΜΟΝ, 2-5

B f. 197r - 198r

23. Οἱ πρὸ τοῦ παρόντος ψαλμοῦ προσευχόμενοι ὑπὲρ τοῦ Δαυὶδ ἔλεγον· Σῶσον, κύριε, τὸν βασιλέα καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε[6]. Καὶ πάλιν· Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ[7]. Ὡς ἐθεάσαντο αὐτὸν παρὰ τοῦ θεοῦ κατὰ τῶν ἐχθρῶν ἐνδυναμούμενον καὶ παραδόξως σῳζόμενον, εὐχαριστοῦντες ἔλεγον· Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς[8]. Κἂν γὰρ ἀεὶ πολιορκῆται ὑπὸ τῶν θλίψεων, ἀλλ' ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτοῦ, ἐπειδὴ ἐνδυναμοῦται τῇ ὑπομονῇ, λέγων δέ· [270] Κύριος παρέστη καὶ ἐνεδυνάμωσέ με[9]. Καὶ πᾶς ὁ βασιλεύων τῶν παθῶν βασιλεύς ἐστιν εὐφραινόμενος ἐπὶ τῇ δυνάμει τοῦ θεοῦ, τουτέστιν ἐν τῇ εὐαγγελικῇ διδαχῇ· καὶ τοῦτο δηλῶν ἔλεγεν ὁ ἀπόστολος· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν[10]. Ἐπεὶ οὖν καὶ δύναμις καὶ σωτηρία τὸ εὐαγγέλιον, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα[11]· πᾶσαν γὰρ τὴν οἰκουμένην ὁ Ἰησοῦς νοσοῦσαν ἰάσατο τῷ εὐαγγελίῳ. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ[12]· τῷ μὲν Δαυὶδ τὴν ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ. Αὐτὸς γάρ εἶπεν· Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματα τῆς δικαιοσύνης σου[13]. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου[14]. Καὶ

---

1. Ψαλμ. 39, 7. 2. Ψαλμ. 50, 18 βα. 3. Ψαλμ. 50, 19. 4. στ. 4 β. 5. Γαλ. 6, 14. 6. Ψαλμ. 19, 10. 7. Ψαλμ. 19, 7. 8. στ. 2 α. 9. Β' Τιμ. 4, 17. 10. Ρωμ. 1, 16. 11. στ. 2 β. 12. στ. 3 α. 13. Ψαλμ. 118, 20. 14. Ψαλμ. 83, 3.

ἰδοὺ νῦν ψάλλει μεθ' ἡμῶν ἐν ταῖς ἐκκλησίαις· ἐπεθύμησεν ἄφεσιν ἁμαρτιῶν καὶ κύριος ἀφῆκε, καὶ ἁπλῶς εἰπεῖν· Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν[1]. Τοῦ Δαυὶδ στόμα καὶ χείλη ἦσαν οἱ ψαλμῳδοὶ ὡς τὰ αὐτοῦ μελῳδοῦντες, οἵτινες ἀεὶ τὸν Δαυὶδ ἐκ θείας χάριτος ἀεὶ προφητεύειν τοὺς ψαλμούς, ἵνα πλείονας ἐνθήκας τῶν ψαλμῶν συναγάγωσι. Διὰ τί δὲ ταῦτα λέγομεν; Ἐπειδὴ τὰ παρελθόντα τῶν ἐσομένων ἐνέχυρα καὶ τῶν παρόντων ἔχομεν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος[2]. Ὅταν θεὸς ἀπὸ ἀναξίων ἄξιον ἐκλέγηται, τότε πρὸ τῆς χειροτονίας αὐτὸν εὐλογεῖ, ὡς τὸν Παῦλον ἐπαινῶν, καὶ ὃν Ἀνανίας διώκτην ἔβλεπε, τοῦτον ὁ θεὸς εὐαγγελιστὴν προέβλεπεν[3]· οὕτω τὸν Δαυὶδ τοῖς ἐπαίνοις εὐλογῶν καὶ καλῶς αὐτὸν εἰπὼν ἐν τῷ λέγειν· Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου[4], καὶ Ἑώρακα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα[5], τούτοις, φησί, τὸν Δαυὶδ ταῖς εὐλογίαις προφθάσας. Διὰ τί δὲ ἐν εὐλογίαις χρηστότητος[6]; Ἐπειδὴ ἔνι εὐλογίαις βλασφημίας, ὡς τὸ Εὐλόγηκεν Ναβουθαὶ θεὸν καὶ βασιλέα[7], [271] ἀντὶ τοῦ ἐβλασφήμησε, καὶ πάλιν, Εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει[8], τουτέστι βλασφημήσει. Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου[9], τὴν τοῦ Σαοὺλ βασιλείαν, τὸν τοῦ βασιλέως Ἁδραάζαρ στέφανον. Ζωὴν ᾐτήσατο, καὶ ἔδωκας αὐτῷ[10] τὴν τῆς μετανοίας ζωὴν εἰπόντι· Ἐν τῇ ὁδῷ σου ζήσεις με[11], καὶ πάλιν· Τὸ λόγιόν σου ἔζησέ με[12]. Τὸ δὲ εἰς αἰῶνα αἰῶνος[13] καὶ τὸν μέλλοντα βίον παραδηλοῖ, τὸν τοῖς ἁγίοις ηὐτρεπισμένον.

ΕΙΣ ΤΟΝ ΛΔ' ΨΑΛΜΟΝ, 1-3

B f. 316v

24. Διὰ ἓξ αἰτίας ἔφησε ταῦτα εὔχεσθαι τὸν Δαυίδ[14]. Μίαν μὲν βελτιωθῆναι τοὺς ἐχθροὺς βουλόμενος· Τύπτε γὰρ ἀδόκιμον ἀργύριον καὶ καθαρισθήσεται[15]. Δευτέραν, ἵνα ὧδε

---

1. στ. 3. 2. στ. 4 α. 3. Πρβλ. Πράξ. 9, 10-16. 4. Πράξ. 13, 22. 5. Πρβλ. Α' Βασ. 16, 1. 6. Πρβλ. στ. 4 α. 7. Πρβλ. Γ' Βασ. 20, 13. 8. Ἰὼβ 1, 11. 9. στ. 4 β. 10. στ. 5 α. 11. Ψαλμ. 118, 37. 12. Ψαλμ. 118, 50. 13. στ. 5 β. 14. Ἰδὲ στ. 1-3. 15. Παρμ. 25, 4.

μαστιζόμενοι καὶ πολεμούμενοι κουφοτέρας πειραθῶσι τῆς αἰωνίου κρίσεως. ⟨Τρίτην⟩, ἵνα ταῖς τούτων μάστιξιν ἄλλους εὑρεθῇ μαστίζων· Πανοῦργος γὰρ ἰδὼν ἄφρονα μαστιζόμενον κραταιῶς αὐτὸς παιδεύεται[1]. ⟨Τετάρτην...⟩ ἢ καὶ τὸν βίον λοιμοῦ καὶ νόσου ἀπαλλάττων. Πέμπτην, ἵνα μὴ καὶ αὐτοὶ αὐτῷ μαθητεύσωσι, τὰς ἐπενεχθείσας αὐτῷ πληγὰς φοβηθέντες. Ἕκτην, ἵνα μὴ εἴπωσί τινες· Ποῦ ἐστιν ὁ θεὸς τοῦ Δαυίδ; Μή αὐτὸν ἐκδικεῖ καὶ σῴζει; Οὐκ ἔστι γὰρ σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ[2]. Πολεμηθῆναι γὰρ τοὺς πολεμοῦντας προσηύχετο, οὐχ ὡς μισάνθρωπος, ἀλλὰ μισοπόνηρος.

ΕΙΣ ΤΟΝ ΛΣΤ' ΨΑΛΜΟΝ, 1-2

[272] I f. 234v - 235; R f. 270v - 271; V f. 177v

25. Οὕτως ἐπεγράφη ἐπειδὴ θαυμαστὴν νουθεσίαν περιέχει ὁ ψαλμός, ὥς τινος ἐρωτήσαντος· Καὶ τίνος αὕτη παραίνεσις; Καὶ ἡ νουθεσία ἄρα ἔχει τὸ αἰδέσιμον καὶ τὸ ἀξιόπιστον ἀπὸ τοῦ λέγοντος, ἐπειδὴ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τοῖς λεγομένοις ὅσον τοῖς λέγουσι προσέχουσι. Καὶ τούτου μάρτυς ἡ γραφή· Πλούσιος ἐλάλησε, καὶ πάντες ἐθαύμασαν καὶ τὸν λόγον αὐτοῦ ὕψωσαν ἕως τῶν νεφελῶν. Πτωχὸς δ' ἐλάλησε καὶ εἶπαν· Τίς ἐστιν οὗτος; Ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος[3]. Ἐπεὶ οὖν οἱ λόγοι καὶ ἀπὸ τῶν λεγόντων ἔχουσι τὸ ἀξιόπιστον, ἵνα πλέον ἡ παραίνεσις, ὥσπερ νόμος φυλαχθῇ, δηλοῖ ὁ παράκλητος διὰ τῆς ἐπιγραφῆς τίνος ἡ νουθεσία· Τοῦ Δαυίδ[4], τοῦ προφήτου καὶ βασιλέως, τοῦ ἱεροψάλτου, τοῦ ἐπαινέτην ἔχοντος τὸν ἑαυτοῦ ποιητήν, ᾧ ἀρκεῖ πρὸς ἔπαινον ἡ τοῦ θεοῦ μαρτυρία λέγοντος· Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου[5]. Ἐπεὶ οὖν πάντα τὰ θελήματα τοῦ θεοῦ ἐποίησεν, εὔδηλον ὅτι καὶ ἃ νῦν παρήνεσε πρῶτον ἐποίησεν. Ὃς γὰρ ἂν ποιήσῃ οὕτω καὶ διδάξῃ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν[6]. Ἀκούσωμεν τοίνυν τί φησι· Μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν·

---

1. Παρμ. 22, 3. 2. Πρβλ. Ψαλμ. 3, 3. 3. Σοφ. Σειρ. 13, 23, 22. 4. στ. 1. 5. Πράξ. 13, 22. 6. Ματθ. 5, 19.

ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται[1].

ΕΙΣ ΤΟΝ ΛΗ' ΨΑΛΜΟΝ, 1

[273] B f. 336v

26. Εἰς τὸ τέλος[2] δὲ παραπέμπει ἡμᾶς ἡ προγραφὴ διὰ τὸ λέγεσθαι ἐν τῷ τέλει τῆς ᾠδῆς· Ἄνες μοι τοῦ ἀναψῦξαι πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι μὴ ὑπάρξω[3]. Τοῦτο γὰρ τέλος τῆς ᾠδῆς καὶ ἱκετηρίας τὸ τυχεῖν ἀνέσεως ἁμαρτιῶν καὶ τῆς ἐν τῷ μέλλοντι αἰῶνι ἀποκειμένης τοῖς ἁγίοις ἀναψύξεως.

ΕΙΣ ΤΟΝ ΛΗ' ΨΑΛΜΟΝ, 2

B f. 337r

27. Ἐπειδὴ εἶπεν [φησί]· Γνώρισόν μοι, κύριε, τὸ πέρας μου καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τί ἐστιν[4], ὃ οὐδεὶς τῶν ἁγίων ἐζήτησεν—ὥσπερ γὰρ τὴν συντέλειαν τοῦ αἰῶνος τούτου ἀπέκρυψεν ὁ θεὸς ἀπὸ τῶν ἀνθρώπων, οὕτω καὶ τὸ ἑκάστου τέλος—διὰ τοῦτο· Εἶπα· Φυλάξω τὰς ὁδούς μου, τουτέστι τὰς ἐνθυμήσεις, δι' ὧν ἐν στιγμῇ χρόνου περιπολεῖ τις τὰ σύμπαντα, τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου[5]. Εἴ τι γὰρ κακὸν ἐὰν ἐνθυμηθῶμεν ἐὰν ἀποκλείσωμεν καὶ μὴ περαιτέρω καὶ διὰ γλώσσης προβῆναι συγχωρήσωμεν, οὐχ ἁμαρτάνομεν καὶ ἐν γλώσσῃ. Ὁδοὶ τοῦ Δαυὶδ καὶ οἱ λόγοι αὐτοῦ καὶ αἱ διδασκαλίαι. Ἵν' οὖν τις, φησί, μὴ εἴπῃ αὐτῷ· Ὁ διδάσκων ἕτερον σεαυτὸν οὐ διδάσκεις; Ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις[6]; Διὰ τοῦτό φησιν· Εἶπα· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου[7]. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος Κορινθίοις ἔγραφεν· Ἔπεμψα ὑμῖν Τιμόθεον, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου[8].

---

1. στ. 1-2. 2. στ. 1. 3. στ. 14. 4. στ. 5. 5. στ. 2 α. 6. Ρωμ. 2, 21-22. 7. στ. 2 α. 8. Α' Κορ. 4, 17.

ΑΕΤΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

[311] *᾿Αετίου ᾿Αρειανοῦ ἐκ τῆς πρὸς Μάζωνα τριβοῦνον ἐπιστολῆς.**

᾿Αθανάσιος ὁ Αἰγύπτιος ἀγωνιζόμενος ταὐτὸν δεῖξαι τῷ πατρὶ κατ᾿ οὐσίαν τὸν υἱόν, δύο φύσεις αὐτῷ καὶ δύο θελήσεις καὶ δύο ἐνεργείας ἐπεγράψατο, σκαιῶς ἀγνοήσας, ὡς αὐτὸν ἑαυτῷ δυσσεβῶς ἐναντιοκίνητον ἔδειξε· διχὰς γὰρ πᾶσα δυάς· τὴν αὐτὴν δὲ νόσον αὐτῷ καὶ πάντες οἱ τῷ ὁμοουσίῳ προσθέμενοι ἀπηγάγοντο.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν σκεμμάτων.

Φύσει μόνος δημιουργὸς ὁ πατήρ· οὐ γὰρ ἐξ ἄλλου τοῦτο λαβὼν ἔχει δοτόν· θέσει μόνος δημιουργὸς ὁ υἱός· ἐκ τοῦ πατρὸς γὰρ τοῦτο λαβὼν ἔχει δοτόν· «πάντα» γὰρ «ἐδόθη μοι παρὰ τοῦ πατρός μου» [1], καὶ «ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» [2]· εἰ δὲ θέσει δημιουργός, φύσει παθητός· παθητὸν γὰρ ἅπαν τὸ μὴ φύσει δημιουργόν· εἰ δὲ φύσει παθητός, καὶ τὴν βούλησιν καὶ τὴν ἐνέργειαν ἔχει πάσχουσαν· οὐδὲν γὰρ ἀπαθὲς ἔχει τὸ φύσει παθητόν.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Οὐκ ἦν, εἰ μὴ γέγονεν, ὁ υἱός, καὶ εἰ μὴ γέγονεν, οὐκ ἐγεννήθη· οὐ γάρ ἐστιν ἀγένητος γέννησις· εἰ δὲ γεγέννηται γεγονὼς ὁ υἱός, οὐ ταὐτὸν τῷ πατρὶ μηδέτερον τούτων ὄντι φυσικῶς, εἰ δὲ μὴ ταὐτόν, ἕτερον τὴν φύσιν, εἰ δὲ τὴν φύσιν, καὶ τὴν θέλησιν δηλονότι καὶ τὴν ἐνέργειαν· οὐ γὰρ ὃ θέλω, πάτερ, ἀλλ᾿ εἴ τι σύ [3], καὶ ὅσα βλέπω τὸν πατέρα ποιοῦντα, ὁμοίως ποιῶ [4]· ὅπερ ἐστὶν μιμήσεως, ἀλλ᾿ οὐ φύσεως·

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Εἰ σὰρξ γενόμενος ὁ λόγος τὴν φύσιν γέγονε σύνθετος, οὐκ ἂν τοῦτο γεγονώς, εἰ φύσει συνθέσεως ἦν ἀνεπίδεκτος, **[312]** εἰ δὲ τὴν

---

* Κατὰ τὴν ἔκδοσιν F. Diecamp. «Doctrina Patrum de incarnatione Verbi», Münster in Westf. 1907 σ. 311-312.

1. Πρβλ. Ματθ. 11, 27. 2. Ματθ. 28, 18. 3. Πρβλ. Μαρκ. 14, 36. 4. Πρβλ. ᾿Ιω. 5, 19.

φύσιν γέγονε σύνθετος, δηλονότι καὶ τὴν βούλησιν καὶ τὴν ἐνέργειαν· πῶς οὖν ταὐτὸν τῷ πατρὶ τῷ κατ' οὐδένα λόγον ἐπιδεχομένῳ σύνθεσιν ὁ πεφηνὼς ταύτης δεκτικός;

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Εἰ μόνος ἐστίν, ὡς εἷς φύσει ἀλλ' οὐκ ἀριθμῷ, ὁ υἱός, μία αὐτοῦ ἡ φύσις ἐστὶ καὶ ἡ βούλησις καὶ ἡ ἐνέργεια· ἐν δὲ μιᾷ δύο ποτ' ἂν οὐ γενήσεται φύσεις, κἂν γέγονε σάρξ, ἐπεὶ τοῦ φύσει μόνος υἱὸς εἶναι σαφῶς διαπέπτωκεν.

*'Αετίου αἰτίου πάσης 'Αρειανῆς θεομάχου αἱρέσεως ἐκ τοῦ περὶ Υἱοῦ Λόγου.***

Οὔκουν διθελὴς ὁ τῆς Μαρίας Υἱός, ἵνα μὴ κατὰ τοὺς Μανιχαίων νόμους σαρκικῷ θελήματι ἀντιστρατεύηται τὸ θέλημα τοῦ Θεοῦ.

Τοῦ αὐτοῦ, ἐκ τοῦ αὐτοῦ λόγου.

Αὐτὸς γὰρ ἑαυτῷ ἑρμηνεύει ὁ Υἱὸς τὴν τῆς οἰκείας φύσεως ὑπόστασιν καὶ ἀνομοιότητα, παραιτούμενος τὴν πρᾶξιν τοῦ οἰκείου θελήματος· Εἰ οὖν τὸ θέλημα παραιτητέον, τρεπτὴ πάντως καὶ ἡ φύσις· ὅθεν οὐδὲ ἀπαξιοῖ ὁ Υἱὸς Θεὸν ἑαυτοῦ καὶ ποιητὴν ὁμολογεῖν τὸν Πατέρα· μόνον γὰρ ἀγαθὸν τὸ θέλημα τοῦ Πατρός· διάφοροι γοῦν αἱ φύσεις Υἱοῦ καὶ Πατρός, καὶ δύο ἀνόμοια αὐτῶν τὰ θελήματα.

** Κατὰ τὴν ἔκδοσιν J.P. Migne, P. G. τ. 89 σ. 1181.

ΕΥΝΟΜΙΟΥ ΚΥΖΙΚΟΥ

ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ*

[113] Τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [1], κατὰ δικαίαν κρίσιν φήσαντος ὁμολογεῖν ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς τοὺς ὁμολογοῦντας αὐτὸν ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ἀπαρνεῖσθαι τοὺς ἀρνουμένους αὐτὸν [2] καὶ τῆς ἀποστολικῆς διδασκαλίας προτρεπούσης ἡμᾶς ἑτοίμους εἶναι πρὸς ἀπολογίαν παντὶ τῷ ἐπερωτῶντι λόγον [3] καὶ τῶν βασιλικῶν προσταγμάτων ταύτην ἐπιζητούντων τὴν ὁμολογίαν, προθύμως ὁμολογοῦμεν, ἃ φρονοῦμεν, καὶ ὅτι πιστεύομεν εἰς τὸν ἕνα καὶ μόνον ἀληθινὸν Θεὸν κατὰ τὴν αὐτοῦ τοῦ Κυρίου διδασκαλίαν [4], οὐκ ἐψευσμένῃ φωνῇ τιμῶντες αὐτόν, ἔστι γὰρ ἀψευδής [5], ἀλλ' ὄντως ὄντα φύσει τε καὶ δόξῃ Θεὸν ἕνα ἀνάρχως, ἀϊδίως, ἀτελευτήτως μόνον· οὐ τὴν οὐσίαν καθ' ἥν ἐστιν εἷς, χαριζόμενον ἢ μεριζόμενον εἰς πλείους ἢ ἄλλοτε ἄλλον γινόμενον, ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον· οὐδὲ ἐκ μιᾶς οὐσίας εἰς ὑποστάσεις τρεῖς σχιζόμενον, πάντῃ γὰρ καὶ καθάπαξ ἐστὶν εἷς κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος· οὐ κοινωνὸν ἔχων τῆς θεότητος, οὐ μεριστὴν τῆς δόξης, οὐ σύγκληρον τῆς ἐξουσίας, οὐ σύνθρονον [115] τῆς βασιλείας· εἷς γάρ ἐστι καὶ μόνος Θεὸς ὁ παντοκράτωρ, Θεὸς θεῶν [6], βασιλεὺς τῶν βασιλευόντων, Κύριος τῶν κυριευόντων [7] ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν [8], ὕψιστος ἐν οὐρανοῖς, ὕψιστος ἐν ὑψίστοις τοῖς ἐπουρανίοις, ἀληθινὸς ἐν τῷ εἶναι ὅ ἐστιν ἀεὶ καὶ διαμένει, ἀληθινὸς ἐν ἔργοις, ἀληθινὸς ἐν λόγοις, ἀρχῆς ἁπάσης, ὑποταγῆς, ἐξουσίας, βασιλείας ἀνώτερος, τροπῆς καὶ μεταβολῆς ἐλεύθερος ὡς ἀκήρατος· οὐκ ἐν τῷ γεννᾶν τὴν ἰδίαν οὐσίαν μερίζων, καὶ ὁ αὐτὸς γεννῶν καὶ γεννώμενος, ἢ ὁ αὐτὸς πατὴρ γενόμενος καὶ υἱός, ἔστι γὰρ ἄφθαρτος [9]· οὐκ ἐν τῷ ποιεῖν ὕλης ἢ μερῶν ἢ φυσικῶν ὀργάνων προσδεόμενος, ἐστὶ γὰρ πάντων ἀπροσδεής.

[117] Πιστεύομεν καὶ εἰς τὸν τοῦ Θεοῦ υἱόν, τὸν μονογενῆ Θεόν [10], τὸν πρωτότοκον πάσης κτίσεως [11], υἱὸν ἀληθινόν, οὐκ ἀγέννητον, ἀληθῶς γεννηθέντα πρὸ αἰώνων, οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον υἱόν, πρὸ πάσης κτίσεως γενόμενον, οὐκ ἄκτιστον, ἀρχὴν ὁδῶν ἔργων τοῦ Θεοῦ [12], ἐν ἀρχῇ ὄντα

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Michael Van Parys. Gregoire de Nysse. Refutation de la Profession de foi d' Eunome (Introduction, traduction et index). Paris 1968 (Διατριβὴ ἐπὶ διδακτορίᾳ λιθόγραφος εὐγενῶς παραχωρηθεῖσα ὑπὸ τοῦ συγγραφέως) σ. 113-135.

1. Πρβλ. Β' Πέτρ. 1,1. 2. Πρβλ. Ματθ. 10, 32-33. 3. Πρβλ. Α' Πετρ. 3, 15. 4. Πρβλ. Ἰω. 17, 3. 5. Πρβλ. Τίτ. 1, 2. 6. Πρβλ. Ψαλμ. 83, 7. 7. Α' Τιμ. 6, 15. 8. Ψαλμ. 96, 9. 9. Πρβλ. Α' Τιμ. 1, 17. 10. Πρβλ. Ἰω. 1, 18. 11. Πρβλ. Κολ. 1, 15. 12. Πρβλ. Παρμ. 8, 22.

λόγον [1], οὐκ ἄναρχον, σοφίαν ζῶσαν, ἀλήθειαν ἐνεργοῦσαν, δύναμιν ὑφεστῶσαν, ζωὴν γεννητήν, ὡς υἱὸν Θεοῦ ζωογονοῦντα τοὺς ζῶντας καὶ ζωοποιοῦντα τοὺς νεκρούς [2], φῶς ἀληθινόν, φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον [3], ἀγαθὸν καὶ χορηγὸν ἀγαθῶν, ὡς ἀγαθότητι καὶ δυνάμει γεννηθέντα τοῦ πατρός· οὐχὶ τῷ γεννήσαντι συμμερισάμενον τὴν ἀξίαν, οὐκ ἄλλῳ τινὶ τὴν πατρικὴν οὐσίαν, οὐ τὴν **[119]** βασιλείαν, ἀλλὰ γενόμενον ἐκ γεννήσεως ἔνδοξον, καὶ τῆς δόξης κύριον [4] καὶ λαβόντα παρὰ τοῦ πατρὸς τὴν δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης, ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος, καθὼς εἶπε· τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω [5], δεδοξασμένον ὑπὸ τοῦ πατρὸς πρὸ αἰώνων, δεδοξασμένον ὑπὸ τοῦ πνεύματος δι' αἰῶνος [6], καὶ πάσης λογικῆς καὶ γεννητῆς οὐσίας, δορυφορούμενον ὑπὸ πάσης ἐπουρανίου στρατιᾶς, κύριος γάρ ἐστι [7] καὶ βασιλεὺς τῆς δόξης, ὡς υἱὸς Θεοῦ καὶ Θεός, δημιουργὸς τῶν ἀθανάτων καὶ θνητῶν, δημιουργὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, πάντα γὰρ δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν [8], βασιλεὺς καὶ κύριος πάσης ζωῆς καὶ πνοῆς τῶν δι' αὐτοῦ γενομένων πάντα γὰρ αὐτῷ παρεδόθη παρὰ τοῦ πατρός [9], κατὰ τὴν ἁγίαν αὐτοῦ φωνήν, καὶ πάντα δέδωκεν ὁ πατὴρ ἐν τῇ **[121]** χειρὶ αὐτοῦ [10]· ὑπήκοος πρὸς τὴν τῶν ὄντων δημιουργίαν καὶ γένεσιν, ὑπήκοος πρὸς πᾶσαν διοίκησιν, οὐκ ἐκ τῆς ὑπακοῆς προσλαβὼν τὸ εἶναι υἱὸς ἢ Θεός, ἀλλ' ἐκ τοῦ υἱὸς εἶναι καὶ γεννηθῆναι μονογενὴς Θεὸς γενόμενος, ὑπήκοος ἐν ἔργοις, ὑπήκοος ἐν λόγοις, μεσίτης ἐν δόγμασι, μεσίτης ἐν νόμοις· τοῦτον ἴσμεν υἱὸν τοῦ Θεοῦ καὶ μονογενῆ Θεόν, ὅμοιον τῷ γεννήσαντι μόνον κατ' ἐξαίρετον ὁμοιότητα καὶ τὴν ἰδιάζουσαν ἔννοιαν, οὐχ ὡς πατρὶ πατέρα, οὐ γάρ εἰσι δύο πατέρες, οὐδὲ ὡς υἱῷ υἱόν, οὐκ ὄντων δύο υἱῶν, οὐδὲ ὡς ἀγεννήτῳ ἀγέννητον, μόνος γάρ ἐστιν ἀγέννητος ὁ παντοκράτωρ, καὶ μόνος ὁ μονογενὴς γεννητός, ἀλλ' ὡς υἱὸν πατρί, ὡς εἰκόνα [11] καὶ ὡς σφραγῖδα πάσης τῆς τοῦ παντοκράτορος ἐνεργείας, καὶ δυνάμεως· σφραγῖδα τῶν τοῦ πατρὸς ἔργων καὶ λόγων καὶ βουλευμάτων **[123]** τοῦτον ὁμολογοῦμεν ἕνα, τὸν ἐν ὕδασιν ἐπικλύσαντα τὴν γῆν, τὸν πυρὶ καταφλέξαντα Σοδομίτας [12] τὸν ἐπιθέντα δίκην Αἰγυπτίοις, τὸν θέμενον τοὺς νόμους κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, τὸν ἐπὶ προφητῶν ὁμιλήσαντα τοῖς παλαιοῖς [13], τὸν καλέσαντα τοὺς ἀπειθοῦντας [14], τὸν λαβόντα πᾶσαν τοῦ κρίνειν τὴν ἐξουσίαν, ὁ γὰρ πατὴρ κρίνει οὐδένα, τὴν γὰρ κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ [15], τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν [16] γενόμενον ἐν σαρκί, γενόμενον ἐκ γυναικός [17], γενόμενον ἄνθρωπον, ἐπὶ ἐλευθερίᾳ καὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, οὐκ ἀναλαβόν-

---

1. Πρβλ. Ἰω. 1, 1. 2. Πρβλ. Ρωμ. 4, 17. 3. Πρβλ. Ἰω. 1, 9. 4. Πρβλ. Α' Κορ. 2, 8. 5. Ἡσ. 42, 8. 6. Πρβλ. Ἰω. 17, 5. 7. Πρβλ. Ψαλμ. 24, 7. 8. 10. 8. Πρβλ. Ἰω. 1, 3. 9. Πρβλ. Ματθ. 11, 27. 10. Ἰω. 3, 35. Πρβλ. Ἰω. 13, 3. 11. Πρβλ. Κολ. 1, 15. 12. Πρβλ. Γ' Μακ. 2, 5. 13. Πρβλ. Ἑβρ. 1, 1. 14. Πρβλ. Α' Πέτρ. 3, 20. 15. Ἰω. 5, 22. 16. Πρβλ. Ἑβρ. 1, 2. Β' Πέτρ. 3, 3. 17. Γαλ. 4, 4.

τα τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· τὸν διὰ γλώσσης καὶ στόματος εὐαγγελισάμενον τὴν εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν[1], τὸν γενόμενον[2] ὑπήκοον μέχρι σταυροῦ καὶ θανάτου [125] καὶ μὴ ἰδόντα διαφθοράν[3], ἀλλ' ἀναστάντα τῇ τρίτῃ τῶν ἡμερῶν[4] καὶ μετὰ τὴν ἀνάστασιν ἀνακεφαλαιωσάμενον τοῖς ἑαυτοῦ τὸ μυστήριον, καὶ καθήμενον ἐν δεξιᾷ τοῦ πατρός[5], τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς[6].

[127] Καὶ μετὰ τοῦτον πιστεύομεν εἰς τὸν παράκλητον[7], τὸ πνεῦμα τῆς ἀληθείας[8], τὸν καθηγητὴν τῆς εὐσεβείας, γενόμενον ὑπὸ τοῦ μόνου Θεοῦ διὰ τοῦ μονογενοῦς καὶ τούτῳ καθάπαξ ὑποτεταγμένον· οὔτε κατὰ τὸν πατέρα, οὔτε τῷ πατρὶ συναριθμούμενον, εἷς γάρ ἐστι καὶ μόνος πατὴρ ὁ ἐπὶ πάντων Θεός· οὔτε τῷ υἱῷ συνεξισούμενον, μονογενὴς γάρ ἐστιν οὐδένα ἔχων ἀδελφὸν ὁμογενῆ· οὔτε μὴν ἄλλῳ τινὶ συντασσόμενον, ἁπάντων γὰρ ἀναβέβηκε τῶν διὰ τοῦ υἱοῦ γενομένων ποιημάτων γενέσει καὶ φύσει, καὶ δόξῃ καὶ γνώσει, ὡς πρῶτον ἔργον καὶ κράτιστον τοῦ μονογενοῦς, μέγιστόν τε καὶ κάλλιστον· εἷς δὲ καὶ οὗτος ὢν καὶ πρῶτος καὶ μόνος καὶ πάντων προὔχων τῶν τοῦ υἱοῦ ποιημάτων κατὰ [129] τὴν οὐσίαν καὶ τὴν φυσικὴν ἀξίαν, πᾶσαν ἐνέργειαν, καὶ διδασκαλίαν ἐξανύων κατὰ τὸ δοκοῦν τῷ υἱῷ, πεμπόμενος ὑπ' αὐτοῦ[9] καὶ παρ' αὐτοῦ λαμβάνων καὶ ἀναγγέλλων τοῖς παιδευομένοις[10] καὶ τῆς ἀληθείας καθηγούμενος, ἁγιάζων τοὺς ἁγίους, μυσταγωγῶν τοὺς προσιόντας τῷ μυστηρίῳ, διανέμων πᾶσαν δωρεὰν τῷ νεύματι τοῦ διδόντος τὴν χάριν, συνεργῶν τοῖς πιστοῖς πρὸς κατανόησιν καὶ θεωρίαν τῶν διατεταγμένων· ὑπηχῶν εὐχομένοις[11], ὁδηγῶν πρὸς τὸ συμφέρον[12], κρατύνων πρὸς εὐσέβειαν, φωτίζων τὰς ψυχὰς τῷ φωτὶ τῆς γνώσεως, καθαίρων τοὺς λογισμούς[13], δαίμονας ἀπείργων, νοσοῦντας θεραπεύων, ἀρρωστοῦντας ἰώμενος, πλανωμένους ἐπιστρέφων, θλιβομένους [131] παρακαλῶν ὀκλάζοντας ἀνορθῶν, πονοῦντας ἀνακτώμενος, ἀγωνιζομένοις ὑποφωνῶν, δειλανδροῦντας θαρσύνων, ἁπάντων κηδόμενος, καὶ πᾶσαν φροντίδα καὶ πρόνοιαν εἰσφερόμενος εἰς προσαγωγὴν τῶν εὐνουστέρων καὶ φυλακὴν τῶν πιστοτέρων.

Πιστεύομεν ἐπὶ τούτοις εἰς τὴν γενησομένην ἀνάστασιν διὰ τοῦ σωτῆρος, αὐτῶν τῶν διαλυθέντων σωμάτων μετὰ τῶν οἰκείων μερῶν καὶ μορίων, οὐδενὸς ἐλλείποντος οὔτε ἐνηλλαγμένου τῶν τοῦ ἑκάστου σῶμα συμπληρούντων κατὰ τὸν παρόντα βίον· ἔτι μὴν καὶ τὴν ἐπὶ τούτοις κρίσιν τῶν κακῶς δοξαζομένων [133] ἢ βεβιωμέ-

1. Πρβλ. Ἐφεσ. 2, 17. 2. Πρβλ. Φιλιπ. 2, 8. 3. Πρβλ. Ψαλμ. 15. 10. Πράξ. 2, 27. 4. Πρβλ. Μαρκ. 9, 31. Λουκ. 24, 7. 5. Πρβλ. Κολ. 3, 1. 6. Πρβλ. Β' Τιμ. 4, 1. Α' Πέτρ. 4, 5. 7, Πρβλ. Ἰω. 14, 16. 8. Πρβλ. Ἰω. 14, 17. 15, 26. 9. Πρβλ. Ἰω. 15, 26. 10. Πρβλ. Ἰω. 16, 14. 11. Πρβλ. Ρωμ. 8, 26. 12. Πρβλ. Α' Κορ. 12, 7. 13. Πρβλ. Β' Κορ. 10, 4.

νων, καὶ πάντων ὁμοῦ τῶν κατὰ τὴν παροῦσαν ζωὴν γενομένων ἔργων καὶ λόγων καὶ ἐνεργειῶν, πράξεων, ἐνθυμημάτων, νοημάτων, μηδενὸς τὸ παράπαν· λανθάνοντος τῶν μεγίστων ἢ τῶν ἐλαχίστων, μηδενὸς περιορωμένου τῶν ἐνθέσμως ἢ παρανόμως εἰργασμένων ἢ πεπραγμένων, τῆς συμμέτρου καὶ δικαίας ἐπιμετρουμένης δίκης, καὶ τοὺς μὲν εἰς τέλος ἀσεβήσαντας ἢ ἁμαρτήσαντας πρὸς τὴν ἀτελεύτητον κόλασιν παραπεμπούσης, τοὺς δὲ ὁσίως καὶ δικαίως βιώσαντας πρὸς τὴν αἰωνίαν ζωὴν ἀναφερούσης[1].

[135] Ταῦτα καὶ φρονοῦμεν παρὰ τῶν ἁγίων μαθόντες, καὶ φρονοῦντες πιστεύομεν, οὐδὲν ὑπ' αἰσχύνης ἢ δέους παρέντες, ὧν ἐμάθομεν, οὔτε μὴν ὑπ' αἰσχύνης ἢ φιλονεικίας προστιθέντες πλεῖον ἢ διαστρέφοντες, οὐδὲ συνειδότες οὐδὲν ἀπηχὲς ἢ δύσφημον, ὁποῖα πλάττουσι καθ' ἡμῶν οἱ συκοφαντοῦντες ἢ διαβάλλοντες, ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν.

*Εὐνομίου πρωτοστάτου τῆς Ἀρείου θυμελικῆς ὀρχήστρας ἐκ τοῦ περὶ Υἱοῦ τρίτου λόγου, κεφ. ιθ'.**

«Καταβέβηκα» γάρ, φησίν, «ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ Πατρός»[2]· Ὅρα τὸν κατελθόντα ἄνωθεν Λόγον ἀκυροῦντα τὸ ἴδιον θέλημα ὡς μὴ συμφωνοῦν τῷ ἀκτίστῳ θελήματι τοῦ Πατρός, διὰ τὸ κτιστὸν ἔχειν τὸν Λόγον καθάπερ τὴν φύσιν, οὕτω καὶ τὸ θέλημα·

---

1. Πρβλ. Ματθ. 25, 46.
* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, P. G. τ. 89 σ. 1181.
2. Πρβλ. Ἰω. 6, 38.

ΕΥΔΟΞΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

*Εὐδοξίου Κωνσταντινουπόλεως Ἀρειανοῦ ἐκ τοῦ περὶ σαρκώσεως λόγου.**

Πιστεύομεν εἰς ἕνα τὸν μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, τὴν μόνην ἀρχὴν ἀγέννητον καὶ ἀπάτορα, ἀσεβῆ, ὅτι μηδένα σέβειν πέφυκεν ὡς ἐπαναβεβηκυῖα. καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱόν, εὐσεβῆ ἐκ τοῦ σέβειν ὀρθῶς τὸν πατέρα, καὶ μονογενῆ μέν, ὅτι κρείττων ἁπάσης τῆς μετ' αὐτὸν κτίσεως, πρωτότοκον δέ, ὅτι τὸ ἐξαίρετον καὶ πρώτιστόν ἐστι τῶν κτισμάτων· σαρκωθέντα, οὐκ ἐνανθρωπήσαντα, οὔτε γὰρ ψυχὴν ἀνθρωπίνην ἀνείληφεν, ἀλλὰ σὰρξ γέγονεν, ἵνα διὰ σαρκὸς τοῖς ἀνθρώποις ὡς διὰ παραπετάσματος θεὸς ἡμῖν χρηματίσῃ· οὐ δύο φύσεις, ἐπεὶ μὴ τέλειος ἦν ἄνθρωπος, ἀλλ' ἀντὶ ψυχῆς θεὸς ἦν ἐν σαρκί, μία τὸ ὅλον κατὰ σύνθεσιν φύσις· παθητὸς δι' οἰκονομίαν, οὔτε γὰρ ψυχῆς ἢ σώματος παθόντος τὸν κόσμον σῴζειν ἠδύνατο· ἀποκρινέσθωσαν οὖν, πῶς ὁ παθητὸς καὶ θνητὸς τῷ κρείττονι τούτων θεῷ πάθους τε καὶ θανάτου ἐπέκεινα δύναται εἶναι ὁμοούσιος.

ΛΟΥΚΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

*Λουκίου Ἀλεξανδρείας τοῦ Ἀρειανοῦ ἐκ τοῦ εἰς τὸ πάσχα λόγου.***

Ποῦ τοίνυν ἔδει ψυχῆς, ἵνα τέλειος ἄνθρωπος συμπροσκυνῆται θεῷ; διὰ τοῦτο βοᾷ τὴν ἀλήθειαν Ἰωάννης· «ὁ λόγος σὰρξ ἐγένετο» [1], ἀντὶ τοῦ· συνετέθη σαρκί, οὐ μὴν ψυχῇ, καθάπερ οἱ νῦν τὴν πίστιν καπηλεύοντες λέγουσιν, ἀλλ' ἥνωτο μὲν τῷ σώματι καὶ εἷς γέγονε μετ' αὐτοῦ· ἐπεὶ πῶς Χριστός, εἰ μὴ ἓν πρόσωπον, μία σύνθετος φύσις, καθάπερ τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον γνωρίζομεν; εἰ δὲ καὶ ψυχὴν εἶχεν, ὡς οἱ νόθοι τὰ νόθα νῦν τὰς ἐκκλησίας διδάσκουσι, μάχεται τὰ κινήματα θεοῦ καὶ ψυχῆς· αὐτοκίνητον γὰρ τούτων ἑκάτερον καὶ πρὸς ἐνεργείας διαφόρους ἀγόμενον.

---

* Κατὰ τὴν ἔκδοσιν F. Diecamp. «Doctrina Patrum de incarnatione Verbi». Münster in Westf. 1907 σ. 64-65.

** Κατὰ τὴν ὡς ἄνω ἔκδοσιν σ. 65.

1. Ἰω. 1, 14.

ΕΥΝΟΜΙΟΥ ΒΕΡΟΙΗΣ

*Εὐνομίου Βεροίης Θρᾴκης ἐκ τῆς πρὸς Ζώσιμον μοδεράτορα ἐπιστολῆς.**

Οὐ γέγονε διφυὴς ἢ διθελὴς σαρκωθεὶς ὁ λόγος κατὰ τὴν τῶν Αἰγυπτίων καὶ Καππαδοκῶν καὶ Ῥωμαίων ταυτονομίαν, ἀλλὰ σύνθετος· οὐ γὰρ ποσότητι φύσεων ἐπηυξήθη σαρκωθείς, ἀλλ' ἐξ ἁπλοῦ γέγονε σύνθετος, τῆς οἰκείας φυσικῆς κατ' οὐδένα τρόπον μονάδος ἐκστάς· εἰ δὲ ταύτης οὐχ ὑπέμεινεν ἔκστασιν, μίαν αὐτοῦ δὴ σαφῶς ὡς ἑνὸς τήν τε φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν μεγάλῃ κηρύττομεν τῇ φωνῇ·

*Εὐνομίου ἐκ τῆς πρὸς Ζώσιμον μοδεράτορα ἐπιστολῆς.***

Ἑνὶ δὲ λόγῳ τὸ ζητούμενον εἰπεῖν, ἐξ αὐτοκινήτων οὐ γίνεται σύνθεσις· ἰδικὴν γὰρ ἑκατέρων ὡς νοερὰν τὴν ἐκ φύσεως ἐπάγει θέλησιν, κατ' ἐξουσίαν περὶ τὸ δοκοῦν ἐνεργουμένην· πῶς οὖν σύνθεσις ἐναντίοις ἐκ φύσεως διασπωμένη θελήμασι πρὸς ἀνομοίους ἐνεργείας;

---

* Κατὰ τὴν ἔκδοσιν F. Diecamp σ. 309

** Ἔνθ' ἀν. σ. 312.

ΑΚΑΚΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ († 366)

Α' ΕΙΣΑΓΩΓΙΚΑ

Τὸν Εὐσέβιον Καισαρείας τῆς Παλαιστίνης διεδέχθη εἰς τὸν ἐπισκοπικὸν θρόνον, περὶ τὸ 340, ὁ μαθητὴς αὐτοῦ Ἀκάκιος, ὁ ἐπικαλούμενος «μονόφθαλμος», ὡς πάσχων τὸν ἕτερον ὀφθαλμὸν (Ἱερων. Vir. ill. 98). Διεκρίνετο διὰ τὴν ῥητορικὴν αὐτοῦ δεινότητα καὶ τὴν παιδείαν. Κατέστη διαβόητος διὰ τὴν κατὰ τὰς περιστάσεις ἐναλλαγὴν φρονημάτων. «Ἕτερος μὲν τὴν δόξαν, ἕτερος δὲ τὴν γλῶτταν», ὡς ἀληθῶς περὶ αὐτοῦ λέγει ὁ Φιλοστόργιος (Ἐκκλ. Ἱστ. 4,12), κατὰ δὲ τὸν Σωζόμενον (Ἐκκλ. Ἱστ. 3,2), «ἱκανός τε νοεῖν καὶ φράζειν ἀστεῖος» καὶ «φύσει δεινὸς νοεῖν καὶ λέγειν καὶ τὰ βεβουλευμένα εἰς ἔργα ἄγειν,... ῥαδίως, ὅ γε ἐβούλετο, διεσκεύαζεν» (Σωζ. Ἐκκλ. Ἱστ. 4,23). Ὑπῆρξεν ἀρχηγὸς τῆς ἡμιαρειανικῆς μερίδος ἐν Ἀνατολῇ. Μετέσχε πολλῶν συνόδων (τῆς Ἀντιοχείας τῷ 341, τῆς Φιλιππουπόλεως τῷ 343, τῶν Μεδιολάνων τῷ 355, τῆς Ἀντιοχείας τῷ 358, ἔνθα ἐπέτυχε καὶ τὴν καθαίρεσιν Κυρίλλου τοῦ Ἱεροσολύμων). Τὸ ἔτος 359 παρευρέθη καὶ ἐν τῇ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδῳ, ἥτις ἦτο διῃρημένη εἰς ἡμιαρειανικούς, ἀποδεχομένους πάντα τὰ τῆς Α' Οἰκουμενικῆς Συνόδου πλὴν τοῦ ὅρου «ὁμοούσιος» (ἀρχηγὸς δὲ τῆς μερίδος ταύτης ἦτο ὁ Γεώργιος Λαοδικείας), καὶ εἰς ἐπισκόπους, θέλοντας τὴν κατάργησιν τοῦ ἐν Νικαίᾳ συμβόλου καὶ τὴν σύνταξιν καὶ ἀποδοχὴν ἄλλου (τῆς μερίδος ταύτης ἀρχηγὸς ἦτο ὁ Ἀκάκιος). Ὁ Ἀκάκιος προέτεινε τὴν καταδίκην τῶν ὅρων «ὁμοούσιος», «ὁμοιούσιος», «ἀνόμοιος», ὡς ἀλλοτρίων ταῖς Γραφαῖς καὶ ἀντ' αὐτῶν εἰσηγεῖτο «τὸ ὅμοιον τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα». Διὰ τοῦ ὅρου τούτου, τοῦ κατ' οὐσίαν ἀρειανίζοντος, καθ' ὅσον ὑπενοεῖτο τὸ ὅμοιον τοῦ θελήματος, οὐχὶ ὅμως καὶ τῆς οὐσίας, ἐπεζητεῖτο ἡ ἀποπλάνησις τῶν ὀρθοδόξων (Ἱλαρίου, Contra Constantinum 14-Migne, P. L. 10, 592. Ἐπιφανίου, Πανάριον 73,23). Τὸ κείμενον τοῦ ὑπὸ τοῦ Ἀκακίου ἐν τῇ συνόδῳ προταθέντος συμβόλου ἰδὲ παρ' Ἀθανασίῳ (Περὶ τῶν ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ συνόδων 29, Β.Ε.Π.Ε.Σ. τ. 31 σ. 317), Ἐπιφανίῳ (Αἱρ. 73,25) καὶ Σωκράτει (Ἐκκλ. Ἱστ. 2,40).

Οἱ ἡμιαρειανοὶ ὑπερίσχυσαν τῆς συνόδου καὶ ἐπέτυχον τὴν καθαίρεσιν τοῦ τε Ἀκακίου καὶ τῶν ὀπαδῶν αὐτοῦ. Χάρις ὅμως εἰς τὴν εὔνοιαν τοῦ αὐστοκράτορος Κωνσταντίνου κατώρθωσε τὴν σύγκλησιν ἐν Κωνσταντινουπόλει τὸ ἐπιὸν ἔτος 360 συνόδου, ἥτις ἐνέκρινε τὸν ὑπ' αὐτοῦ προταθέντα ὅρον «ὅμοιος» (Σωκρ., Ἐκκλ.

Ἱστ. 2,41. Φιλοστοργίου, Ἐκκλ. Ἱστ. 4,12). Τοσαύτη δ' ἦτο ἡ ἐπὶ τοῦ αὐτοκράτορος ἐπιρροή του, ὥστε ἐπέτυχε τὴν ἀνύψωσιν ἐπὶ τοῦ Παπικοῦ θρόνου τοῦ ἀρειανίζοντος Φήλικος, ἀντὶ τοῦ Πάπα Λιβερίου ἐκθρονισθέντος (Ἱερων. vir. ill. 98). Ἀλλὰ τὸ ἄκρον ἄωτον τῆς ἀσταθείας τοῦ ἀνδρὸς μαρτυρεῖ καὶ τὸ γεγονὸς ὅτι μετὰ τὴν ἄνοδον εἰς τὸν θρόνον τοῦ ὀρθοδόξου αὐτοκράτορος Ἰοβιανοῦ, δὲν ἐδίστασεν ἐν τῇ ἀντιοχειανῇ συνόδῳ τοῦ 363 ν' ἀποδεχθῇ τὸ σύμβολον τῆς Νικαίας καὶ τὸν ὅρον ὁμοούσιος. (Σωκρ. Ἐκκλ. Ἱστ. 3,25), χωρὶς καὶ πάλιν νὰ ἐντραπῇ, ὅπως ἐμφανισθῇ ὡς ἀρειανόφρων, ὅταν ἀνῆλθεν ἐπὶ τοῦ θρόνου ὁ ἀρειανίζων Οὐάλης. Ὑπὸ τῆς ἡμιαρειανικῆς ἐν Λαμψάκῳ συνόδου, τῷ 365, καθῃρέθη (Σωκρ. Ἐκκλ. Ἱστ. 4,4. Σωζ., Ἐκκλ. Ἱστ. 4,7). Μὴ ἀπομακρυνθεὶς τοῦ ἐπισκοπικοῦ του θρόνου, ἀπέθανεν ἐν Καισαρείᾳ τῷ 366.

Συγγράμματα.

Ὁ Ἀκάκιος συνέγραψε πολλὰ καὶ οὐκ εὐκαταφρόνητα. Ἠκολούθει τὴν παράδοσιν τῆς κατὰ γράμμα ἑρμηνείας τῆς Ἁγ. Γραφῆς, ἣν εἶχε χαράξει ὁ προκάτοχός του Εὐσέβιος[1]. Κατὰ τὸν Ἱερώνυμον, εἰργάσθη καὶ διὰ τὸν πλουτισμόν τῆς ἐν Καισαρείᾳ βιβλιοθήκης (Ἱερων. Ἐπιστ. 34, 19), ἔγραψε δέκα ἑπτὰ τόμους εἰς τὸν Ἐκκλησιαστὴν καὶ ἓξ τόμους περὶ συμμίκτων ζητημάτων. «Elaboravit in Ecclesiastem decem et septem volumina, et συμμίκτων ζητημάτων sex, et multos praeterea diversosque tractatus Vir. ill. 98». Ὡσαύτως συνέταξε πολλὰ ἑρμηνευτικὰ ἔργα, ἀντιλογίαν, πρὸς Μάρκελλον Ἀγκύρας (διεσώθησαν περικοπαὶ ταύτης παρ' Ἐπιφανίῳ Πανάριον, 72, 5-10[2]), βιογραφίαν τοῦ Εὐσεβίου Καισαρείας (Σωκρ. Ἐκκλ. Ἱστ. 2,4) καὶ πολλὰ ἄλλα.

Ἐκ τῶν ἐξηγητικῶν ἔργων του διεσώθησαν ἀποσπάσματα εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολὴν συλλεγέντα ὑπὸ τοῦ Karl Staab[3], Ἐπίσης ὁ R. Devreesse ἐν τῇ προμνημονευθείσῃ μελέτῃ του παραθέτει πλούσιον ὑλικόν[4].

Τὸ πλῆθος τῶν εἰς τὴν Ὀκτάτευχον χωρίων τῶν ἐπ' ὀνόματι τοῦ Ἀκακίου φερομένων ἐν ταῖς Σειραῖς (Catenae) ὡδήγησε τὸν Devreesse εἰς τὴν γνώμην, ὅτι εὑρισκόμεθα πρὸ ἀποσπασμάτων τῶν «ζητημάτων» ἐκείνων, περὶ ὧν λόγον ποιεῖται ὁ Ἱερώνυμος.

---

1. Πρβλ. Robert Devreesse. «Les anciens commentateurs grecs de l' Octateuque et des Rois». Città del Vaticano 1959 σ. 105-106.

2. Τὸ ἀπόσπασμα τοῦτο θὰ παρατεθῇ μετὰ τοῦ ὅλου ἔργου τοῦ Ἐπιφανίου.

3. Pauluskommentare aus der griechischen Kirche. Münster 1933 σ. 53-56. Πρβλ. Κ. Μπόνη, Ἑρμηνευτικαὶ διδασκαλίαι τοῦ.... Ἰωάννου VIII Ξιφιλίνου. Ἀθῆναι 1937.

4. Πρβλ. καὶ τοῦ αὐτοῦ. Anciens commentateurs grecs de l' Octateuque. Revue Biblique 44, 1935, σ. 186-189.

Ἑπομένως ἡ γνώμη τοῦ Bardy, καθ' ἣν ἐκ τῶν «συμμίκτων ζητημάτων» μόνον τὸ ὑπὸ τοῦ Ἱερωνύμου παρατιθέμενον ἀπόσπασμα διεσώθη, δὲν εἶναι ὀρθή[1]. Ὁ R. Devreesse παραθέτει ἐπίσης ἀποσπάσματα κατὰ τὸ πλεῖστον ἐκ τῆς Γενέσεως, εἰλημμένα ἐκ τῆς χειρογράφου παραδόσεως[2]. Πάντα τὰ ὑπὸ τοῦ R. Devreesse παρεχόμενα ἀποσπάσματα παρατίθενται ἐν συνεχείᾳ μετ' ἐνδείξεως τῶν κωδίκων, ἐκ τῶν ὁποίων ἐλήφθησαν.

Κωνσταντῖνος Μπόνης Δρ. Θ. καὶ Φ.
Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

ΕΚΔΟΣΕΙΣ - ΜΕΛΕΤΑΙ (*κατ' ἐπιλογήν*).

Robert Devreesse. Les anciens commentateurs grecs de l' Octateuque et des Rois (Fragments tirés des chaînes). Città del Vaticano. Biblioteca Apostolica Vaticana 1959. *K. Staab. Pauluskommentare aus der griechischen Kirche. Münster* 1933 *σ.* 53-56. *Karo et Lietzmann, Catenarum graecarum catalogus, Göttingen* 1902.

Πλὴν τῆς μελέτης τοῦ R. Devreesse, ἰδὲ G. Bardy, La littérature patristique des Questiones et Responsionses sur l' Ecriture Sainte (Revue Biblique 41, 1932, *σ.* 341-342). *Διὰ περαιτέρω βιβλιογραφίαν ἰδὲ ἐν Johannes Quasten (Patrology vol. III. Utrecht/Antwerp* 1963 *σ.* 346).

---

1. Ἔνθ' ἀν. σ. 186. Πρβλ. τοῦ αὐτοῦ. Les anciens... ἔνθ' ἀν. σ. 105.

2. Χρησιμοποιεῖ ὡσαύτως καὶ τὴν ἔντυπον σειρὰν τοῦ Νικηφόρου Θεοτόκη («Σειρὰ ἑνὸς καὶ πεντήκοντα ὑπομνημάτων εἰς τὴν Ὀκτάτευχον καὶ τὰ τῶν Βασιλειῶν», τόμ. 2. Λειψία 1772-1773), δι' ἀναδημοσιεύσεως πολλῶν ἀποσπασμάτων ἀναφερομένων εἰς τὴν Ὀκτάτευχον καὶ τὰ βιβλία τῶν Βασιλειῶν.

Β' ΚΕΙΜΕΝΑ

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

Ι. ΕΙΣ ΤΗΝ ΠΕΝΤΑΤΕΥΧΟΝ *

[106] *ΓΕΝΕΣΙΣ 1, 1. (P, σ. 28· V, f. 14· N, 7).***

Διὰ τί μέλλων νομοθετεῖν ὁ Μωϋσῆς τὴν δημιουργίαν προέταξεν; Ἐχρῆν τὸ Πνεῦμα, ἐπειδὴ νόμος ἔμελλε δίδοσθαι τοῖς ἀνθρώποις ὑπὲρ τοῦ φυλάξαι αὐτὸν τοὺς λαμβάνοντας, προδιαλαβεῖν περὶ τοῦ ἀξιώματος τοῦ νομοθετοῦντος Θεοῦ, ὡς ἄρα οὐχ ὁ τυχὼν εἴη, οὐδὲ ὡς ἂν οἰηθεῖέν τινες ἔθνους ἑνὸς θεός, ἀλλὰ γὰρ ὁ τῶν ὅλων ποιητὴς καὶ δημιουργός.

(Br f. 3· C [Coisl. 113], ff. 288ᵛ - 289· — P, σ. 28· V, f. 15· N, 7).

Τὸ «ἐν ἀρχῇ»[1] οὕτως ἀκουστέον ὡσεὶ ἔφασκεν, ἤτοι «Ἐν πρώτοις ἐποίησεν ὁ Θεὸς τὴν οὐρανὸν καὶ τὴν γῆν», ἢ «Ἀρχὴν ἐποίησεν τὸν οὐρανόν», δηλονότι τῶν μετὰ ταῦτα κτισθέντων. Ὅτι δὲ ὅμοιόν ἐστιν, μᾶλλον δὲ ταὐτόν, «τὸ ἐν ἀρχῇ ἐποίησεν» τῷ «ἀρχὴν ἐποίησεν», σαφὲς καὶ ἐκ τοῦ ἐπὶ τῆς σοφίας ἀμφότερα ὠνομάσθαι· εἰρημένου γὰρ ἐν Παροιμίαις «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ»[2], ἐπηνέχθη τὸ «ἐν ἀρχῇ» πρὸ τοῦ τὴν γῆν ποιῆσαι. Ὥσπερ οὖν ὁ Χριστὸς «ἀρχὴ»[3] τῶν πάντων καὶ «ἐν ἀρχῇ» εἶναι εἴρηται, οὕτως εἴποις ἂν ὅτι καὶ οὐρανὸς καὶ γῆ «ἐν ἀρχῇ» ἔκτισται, εἰρημένα ἀρχὴ ὑπάρχειν τῶν μετὰ ταῦτα γεγενημένων καὶ δεδημιουργημένων, περὶ ὧν καὶ ἡ πρόθεσις ἦν ἀναγράψαι τῷ νομοθέτῃ. Ὁ δὲ Ὠριγένης τὸ «ἐν ἀρχῇ» βούλεται ἀντὶ τοῦ ἐν σοφίᾳ τουτέστιν τῷ Υἱῷ[4].

Δεικτέον δὲ ποσαχῶς ἡ ἀρχὴ λέγεται (οἷον τόπου τὸ πέρας, ἐπιφανείας γραμμή, γραμμῆς σημεῖον, χρόνου τὸ πρῶτον τοῦ διαστήματος μόριον, λόγου τὸ προοίμιον, ἀριθμοῦ ἡ μονάς, ἀξιώματος τὸ προσὸν τῷ ἄρχοντι, ἔργον τὸ **[107]** τῇ ποιήσει). Εἰ δὲ ἐν Χριστῷ, ζητήσεις ποίῳ τῶν εἰρημένων τρόπῳ ἐφαρμοσθείη ἡ προκειμένη ἀρχή.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse. «Les anciens commentateurs grecs de l' octateuque et des rois (Fragments tirés des chaînes)». Città del Vaticano 1959 σ. 106-122.

** Αἱ ἐνδείξεις τῶν κωδίκων κατὰ τὴν ὡς ἄνω κριτικὴν ἔκδοσιν εἶναι αἱ ἑξῆς: Br = Barberinus 569, Bs = Basileensis 1, P = Parisinus 128, Vaticanus 746 C = Coislin, Mon = Monachensis 358, N = Σειρὰ Νικηφόρου.

1. Γέν. 1, 1. 2. Παρμ. 8, 22. 3. Πρβλ. Κολ. 1, 18, Ἰω. 1, 1.
4. Πρβλ. Ὁμιλ. Ι P.G. 12,1456.

Εἰς τοὺς ἐν ἀρχῇ τοῦ χωρίου παρατεθέντας κώδικας πλὴν τοῦ Br ἀναγράφεται καὶ τὸ κάτωθι ἀπόσπασμα:

Καὶ τοῦτο δὲ λέγουσιν βουλόμενοι ἀεὶ δημιουργεῖν τὸν Θεόν. Ἐλέγχονται δὲ ἐκ τοῦ ἄρξασθαι αὐτὸν εἰρῆσθαι καὶ καταπαῦσαι· ἀφ' οὗ γὰρ ἤρξατο οὐρανὸν δημιουργεῖν, οὐκ ἀεὶ τοῦτον δημιουργεῖ. Πευστέον δὲ τοὺς ἐθέλοντας αὐτὸν ἀεὶ δημιουργὸν εἶναι, εὐλαβείᾳ δῆθεν τοῦ μὴ ἀργὸν ἀποκαλεῖν τὸν Θεόν· Πότερον τὰ δημιουργήματα πεπέρασται κατὰ τὸν ἀριθμὸν ἢ ἄπειρα αὐτῷ τυγχάνει; Εἰ μὲν οὖν φαῖεν ἄπειρα τῷ δημιουργῷ εἶναι τὰ δημιουργήματα, ἀφιλοσόφως καὶ παρὰ τὴν ἐνάργειαν ἀποφανοῦνται. Εἰ δὲ πεπερασμένα λέγοιεν, ἐρωτητέον πάλιν αὐτούς· Πότερον ἅμα πάντα δεδημιούργηται, ἢ τάξει καὶ ὁδῷ; Καὶ εἰ μὲν τὸ πρῶτον εἴποιεν, δῆλον ὅτι ἅπαντα δημιουργήσας ἅμα, κατέπαυσεν πάλαι ποτέ, καὶ τὸ ὅσον ἐν αὐτοῖς, νῦν ἀργὸς ὢν τυγχάνει. Εἰ δὲ τὸ δεύτερον ἐροῦσι (τὸ τάξει καὶ ὁδῷ δημιουργεῖν), καιρὸς αὐτοῖς μεμνῆσθαι τοῦ ἐξ ἀρχῆς ὡμολογημένου, ὡς οὐκ εἴη ἄπειρα τὰ δεδημιουργημένα. Οὐκοῦν εἴπερ πεπερασμένα τυγχάνει, καὶ τάξει καὶ ὁδῷ γίνεται, ἔσται τις αὐτῶν καὶ ἀριθμός, ὃν αὐτὸς μόνος ὁ δημιουργός οἶδεν. Διὸ ὥσπερ οὐκ ἦν τὰ ἐν τῇ ἕκτῃ ἡμέρᾳ γεγενημένα ἐν τῇ πέμπτῃ, οὔτε τὰ ἐν τῇ πέμπτῃ ἐν τῇ τετάρτῃ, οὔτε τὰ ἐν τῇ τετάρτῃ ἐν τῇ τρίτῃ, οὔτε τὰ ἐν τῇ τρίτῃ ἐν τῇ δευτέρᾳ, οὔτε τὰ ἐν τῇ δευτέρᾳ ἐν τῇ μιᾷ, οὔτε τὰ ἐν τῇ μιᾷ πρὸ τοῦ ἄρξασθαι τὸν Θεόν, οὕτως συλλήβδην ἐπὶ πάντων τῶν γενητῶν λεκτέον ὅτι πρὶν γενέσθαι οὐκ ἦν ἐκτός, εἰ μὴ δυνάμει τις ἐθέλει λέγειν ὑπάρχειν αὐτὰ παρὰ τῷ Θεῷ. Κατασκευαστέον **[108]** δὲ καὶ ἐκ τοῦ ἐλεύθερον εἶναι τὸ θεῖον, καὶ μὴ ὑπ' ἀνάγκην, καὶ ἐκ τοῦ οὕτως σωθήσεσθαι τὸ μόνον ἀγένητον εἶναι τὸν δημιουργόν.

Γέν. 1, 2α. (Br, f. 5r.v. C, ff. 290v - 291· P, σ. 32· V, f. 17r.v. N, 11-12).

Δοκεῖ μὴ χαλεπὸν εἶναι παραστῆσαι τὴν αἰτίαν, δι' ἣν ἀόρατος ἦν ἡ γῆ [1], φανερῶς αὐτῆς τῆς Γραφῆς διδασκούσης ἐν τῷ «Συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά»[2]. Ἴσως δὲ καὶ ἑτέραν εἴποι τις αἰτίαν, δι' ἣν ἀόρατος ἦν· ἐπεὶ μήπω τὸ αἰσθητὸν φῶς ἐγεγόνει. Τὸ δὲ ἀόρατον τίνι ἢ τίσιν ἐστὶν ἀόρατον; Τῷ μὲν οὖν Θεῷ ἀόρατον εἶναι τὴν γῆν, εἰ καὶ μὴ αἰσθητοῖς ὀφθαλμοῖς χρῆται, οὐχ ὅσιον, λείπεται λέγειν ὅτι τοῖς ἀνθρώποις ἀόρατος ἦν. Ἀπορήσει δέ τις Πῶς ἀόρατος ἦν τοῖς ἀνθρώποις ἅτε μηδέπω ὅλως ὑπάρξασιν; Λεκτέον οὖν ὅτι, ὥσπερ τὴν ἡμῖν ἄβατόν φαμεν ὁρατὴν εἶναι κἂν μὴ ὁρῷτο ὑφ' ἡμῶν, οὕτω καὶ ἡ γῆ ὑπὸ τῶν ὑδάτων κεκαλυμμένη ἀόρατος ἦν τῷ, εἰ καὶ ὑπῆρχον ἄνθρωποι, μὴ οἵαν τε εἶναι ὁρᾶσθαι·

1. Γέν. 1, 2. 2. Γέν. 1, 9.

καὶ ὥσπερ ἐπὶ τοῦ παραδείγματος ὁρατὴν ἐφάσκομεν τὴν ἄβατον τῷ ἐπιδέχεσθαι ὁρᾶσθαι, οὕτω καὶ ἐνταῦθα ἀόρατος εἴρηται τῷ, εἰ καὶ ὑπῆρχον οἱ ἄνθρωποι, μὴ ἐνδέχεσθαι ὁρᾶσθαι.

Περὶ δὲ τοῦ ἀκατασκεύαστον εἶναι ἀπορήσει τις Διά τί μὴ ἀρχῆθεν τελείαν αὐτὴν ὁ Θεὸς ἐποίησεν καὶ οἱονεὶ ἐγκατάσκευον, ἅτε πᾶν ὃ βούλεται δυνάμενος ἀρχῆθεν τέλειον ποιεῖν; Λεκτέον δὲ πρὸς τοῦτο, ὅτι μή ποτε εἰς θαῦμα τῶν ἔργων αὐτοῦ ὁ Θεὸς διαθεῖναι τὰ λογικὰ βουλόμενος ᾤετο δεῖν μὴ ἀρχῆθεν **[109]** τελείαν αὐτὴν ποιῆσαι, ἀλλ' ἀτελῆ καὶ ἀκατασκεύαστον, ὅπως συγκρίνοντα τὰ λογικὰ τὸ τέλειον πρὸς τὸ ἀτελὲς ἐπὶ πλέον θαυμάζῃ τὸν δημιουργόν. Οὕτω δὲ καὶ ἐπὶ πάντων ἔστιν ἰδεῖν· παραθέσει γὰρ τῶν χειρόνων τὰ κρείττω ὑπερθαυμάζομεν, οἷον παραθέσει τοῦ σκότους τὸ φῶς, καὶ τοῦ λιμοῦ τὴν εὐετηρίαν· διὸ καὶ ἐπὶ τῆς γῆς τὸ αὐτό τις εἴποι, παραθέσει τῆς ἀοικήτου τὴν οἰκουμένην καὶ τῆς ἀκάρπου τὴν καρποφόρον.

Γέν. 1, 2^b. (Br, f. 6$^{r.v.}$ C, ff. 291^v - 292· P, σ. 33-34· V, f. 18^v· N, 14).

Κατὰ κοινοῦ τὸ «ἦν»[1]· δηλοῖ γὰρ καὶ σκότος προεῖναι τοῦ φωτός. Δι' ἣν ἤδη ἔφαμεν αἰτίαν (τῇ παραθέσει τῶν χειρόνων ὑπερθαυμάζειν ἡμᾶς τὰ κρείττω), τήνδε αὐτὴν λεκτέον αἰτίαν καὶ ἐπὶ τοῦ πρῶτα γεγονέναι τὰ ἄλογα τοῦ λογικοῦ ἀνθρώπου· οὐ μὴν ἐπειδὴ συγκρίσει τοῦ φωτὸς ὑποβέβηκε τὸ σκότος, φαῦλον ἤδη, ἅτε καὶ τῆς Γραφῆς καλὸν αὐτὸ λεγούσης· «Εἶδεν» γάρ φησιν «ὅσα ἐποίησεν ὁ Θεός, καὶ ἰδοὺ καλὰ λίαν»[2]. Εἰ δὲ ἀπορήσει τις, ἐπεὶ μὴ εἴρηται ἐνταῦθα ὑπὸ τοῦ Θεοῦ γεγονέναι τὸ σκότος, δεικτέον· ἐκ τοῦ Ἡσαΐου κατασκευάσεις δὲ καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ὡς καλὸν τὸ σκότος καὶ ἡ νύξ[3]· ἀνάπαυσις μὲν γὰρ τυγχάνει οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς πρὸς ὑπηρεσίαν δοθεῖσιν ἀλόγοις, ῥαστώνη τε τοῖς ἀγρίοις ζῴοις. Ἐν αὐτῇ γὰρ κατὰ τὸν ψαλμῳδὸν «διελεύσονται πάντα τὰ θηρία τοῦ ἀγροῦ»[4] καὶ μελλόντων δὲ προγνώσεις ἐν αὐτῇ τισιν ἐγγίνονται, ὡς ὁ Δανιὴλ φησιν «Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός»[5] καὶ ὁ Ζαχαρίας «Ἑώρακα τὴν νύκτα»[6]. Ζητήσεις δὲ καὶ ἑτέρας ἐννοίας, δι' ἃς ἡ νὺξ καὶ τὸ σκότος χρησίμως γέγονεν. Εἰ δὲ φιλονεικοίη τις, φαῦλον κατασκευάζων τὸ σκότος ἐκ τοῦ «Ἐμβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον»[7] καὶ τῶν τοιούτων τρόπων, μὴ ἀγνοείτω ὅτι πολλαχοῦ τῶν Γραφῶν τὸ αὐτὸ ὄνομα καὶ ἐπὶ ἐπαίνου καὶ ἐπὶ ψόγου ὁμοίως παρείληπται διαφόρων ὄντων τῶν πραγμάτων, ἃ σημαίνεται ἐκ τῆς μιᾶς προ**[110]**σηγορίας. Ὥσπερ οὖν καὶ τὸ φῶς πολλαχῶς λέγομεν ἐπαινετῶς, ἑτέρωθι ψεκτῶς ὠνόμασται, ὡς ἐν τῷ «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν»[8].

---

1. Γέν. 1, 2. 2. Γέν. 1, 31. 3. Πρβλ. Ἡσ. 45, 7. 4. Πρβλ. Ψαλμ. 103, 20. 5. Δαν. 7, 13. 6. Ζαχ. 1, 8. 7. Πρβλ. Ματθ. 8,12. 8. Ἡσ. 50, 11.

Γέν. 1, 5^b (Br, f. 10^v: 'Ανωνύμου ἐν P, σ. 36 καὶ V, f. 20^v· 'Αρχὴ ἀποσπάσματος Ἱππολύτου ἐν N, 19).

Οὐκ εἶπεν νυχθήμερον, ἀλλὰ «ἡμέρα μία»[1], εἰς τὴν τοῦ φωτὸς προσηγορίαν καταλήξας τοῦ ὑφεστῶτος καὶ οὐσιουμένου.

Γέν. 1, 6-8. (Br, f. $11^{r.v}$· C, f. 294· P, σ. 36· V, ff. 20^v - 21· N, 19-20).

Μή ποτε «στερέωμα»[2] ὠνομάσθη οὗτος ὁ οὐρανὸς πρὸς ἀντιδιαστολὴν τοῦ προτέρου οὐρανοῦ καὶ τοῦ ὕδατος; Εἰκὸς γὰρ τὸ πρότερον λεπτομερέστερον σῶμα τυγχάνειν καὶ εἰλικρινέστερον, καὶ τὸ ὕδωρ δὲ ὁμοίως συγκρινόμενον τῷ στερεώματι μόνον τε καὶ μαλακὸν ὑπάρχειν. Οὐ μόνος δὲ ὁ οὐρανὸς «στερέωμα» ὠνόμασται, ἀλλὰ καὶ ἡ γῆ· «Τῷ στερεώσαντι» γάρ φησι «τὴν γῆν ἐπὶ τῶν ὑδάτων»[3], καὶ ἐν Ἡσαΐᾳ «Ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν»[4] (καλεῖται δὲ τοῦτο τὸ εἶδος τῶν ὀνομάτων φερώνυμον ἢ ἐπίθετον). Δοκεῖ δὲ τοιαύτην εἰκόνα τὴν ἀπ' ἀρχῆς τοῦ κόσμου ὑποφαίνειν ἡ Γραφή, οἷον ὡς ἐπὶ δεξαμενῆς ὕδατος· ὁ μὲν ἀὴρ ἐπισυνημμένος τῇ ἐπιφανείᾳ τοῦ ὕδατος συνορᾶσθαι ποιεῖ, ἕως μένει τὸ τῆς **[111]** δεξαμενῆς διαφανὲς ἐπίπεδον· τὸ δὲ στερέωμα εἴ τις ἐκπετάσειεν ἱμάτιον ἀκριβῶς ἄνωθεν καθειργμένον, οὐκ ἐᾷ φανῆναι, μέχρις ἂν ἀπολυθέντος τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ ἱματίου ὀφθῆναι διαφανὲς τὸ τῆς δεξαμενῆς ἐπίπεδον.

Πρὸς τούτοις διαληπτέον περὶ σχήματος οὐρανοῦ καὶ γῆς, καὶ παραθετέον τὰς τῶν φυσικῶν δόξας, εἶτα καὶ ἐκ τῶν θείων γραφῶν. Πρῶτον μὲν περὶ οὐρανοῦ, ὅτι μὴ σφαιροειδὴς τυγχάνει, ἀλλ' ἡμισφαιρίῳ μᾶλλον ἔοικεν, ὡς ἐν Ἡσαΐᾳ δηλοῖ λέγοντι «Ὁ στήσας ὡσεὶ καμάραν τὸν οὐρανὸν καὶ διατείνας αὐτὸν ὡς σκηνήν»[5], καὶ πάλιν ἐν τῇ κατὰ Βαβυλῶνος ὁράσει φησὶν «Κύριος Σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ ἔρχεσθαι ἐκ γῆς πόρρωθεν ἀπ' ἄκρου θεμελίου τοῦ οὐρανοῦ»[6] καὶ ἐν Ψαλμοῖς «'Απ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ»[7], καὶ ὁ Σωτὴρ φησιν «'Απ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν»[8]. Καὶ δοκεῖ ταῦτα μὴ ἁρμόζειν ἐπὶ σφαίρας ἄκρα καὶ μέσα· καὶ τάχα ὥσπερ ἄπειρος ἡ τοῦ κύκλου γραμμὴ τυγχάνει κατὰ Πλάτωνα, οὕτως καὶ ἡ τῆς σφαίρας ἐπιφάνεια. Ὁ δὲ 'Ωριγένης[9] σφαιροειδῆ τὸν οὐρανὸν εἶναι κατασκευάζει ἐν ὁμιλίᾳ τοῦ λα' λόγου καὶ μδ' καὶ ριη' καὶ ἐν ρ'

---

1. Γέν. 1, 5. 2. Γέν. 1, 6. 7. 8. 3. Ψαλμ. 135, 6. 4. Ἡσ. 42, 5. 5. Ἡσ. 40, 22. 6. Ἡσ. 13, 4-5. 7. Ψαλμ. 18, 7. 8. Ματθ. 24,, 31.
9. Ὡς ὁ R. Devreesse παρατηρεῖ πρόκειται περὶ λάθους εἰς τὸ ὄνομα, δεδομένου ὅτι ὁ 'Ωριγένης δὲν ἀπεδέχετο τὴν σφαιρικότητα τῆς γῆς. Προτείνει τὴν ἀντικατάστασιν διὰ τοῦ Εὐσέβιος. Σχετικῶς ἴδε ἐν R. Devreesse. Les anciens commentateurs.... ἔνθ' ἀν. σ. 111 ὑποσμ. 1 ἔνθα καὶ αἱ παραπομπαί.

καὶ εἰς τὸ «Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ»[1] βούλεται γὰρ τροχὸν εἶναι τὴν φορὰν τοῦ παντός, τουτέστι τὴν σφαῖραν. Τὰ δὲ περὶ τῆς γῆς φέρονται ἐν τοῖς τελευταίοις τῆς Προπαρασκευῆς[2].

Γέν. 2, 14. (C, f. 307r.v. P, σ. 59· V, f. 36r.v. Ἀποσπάσματα ἐν N, 72, 64 καὶ 103 [Εἰς Γέν. III, 23]· Br. f. 47v).

[112] Τὰ τῶν τεσσάρων ποταμῶν ὀνόματα κατὰ μὲν Ἑβραίους οὕτω καλεῖται· ὁ μὲν πρῶτος Φεισών, ὁ δὲ δεύτερος Γαιών, ὁ τρίτος Φοράδ, ὁ τέταρτος Ἐδδεκέλ· παρὰ δὲ Ἕλλησι Γάγγης, Νεῖλος, Εὐφράτης, Τίγρης. Οὐκ οἶμαι δὲ ἀμφιβάλλειν, οὐδὲ τὸν ἀγνωμονέστερον, ὡς καὶ αἰσθητὸς ὑπῆρξε παράδεισος, τῶν τεσσάρων ποταμῶν αἰσθητῶν ὑπαρχόντων, ἅτε καὶ αὐτοῖς ὀφθαλμοῖς ὁρωμένων, καὶ αὐτοῖς τοῖς ὀνόμασι καλουμένων. Εἰ δὲ οὗτοι αἰσθητοί, δῆλον ὅτι καὶ ὁ ἐκπορευόμενος ἐξ Ἐδέμ, ὅθεν ἀφωρίσθησαν. Εἰ δὲ καὶ αὐτὸς αἰσθητὸς ὁ ποτίζων τὸν παράδεισον, τίς ἔτι μηχανὴ ὑπολειφθείη μὴ οὐχὶ καὶ αὐτὸν τὸν ποτιζόμενον αἰσθητὸν ὑπάρχειν; Εἰ δὲ καὶ ὁ παράδεισος αἰσθητός, δῆλον ὅτι καὶ τὰ φυτά. Εἰ δὲ ταῦτα, καὶ τὸ ξύλον ἄρα τῆς ζωῆς, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ[3]. Κατασκευαστέον δὲ αἰσθητὸν εἶναι τὸν παράδεισον καὶ ἐκ τοῦ περὶ Σοδόμων εἰρημένου, ὡς ἄρα ἦν «ὡς ὁ παράδεισος τοῦ Θεοῦ»[4]· οὐκ ἂν γὰρ τὸ αἰσθητὸν τῷ νοητῷ παρεβάλετο, ὥσπερ οὐκ ἂν εἴποι τις Ὡραῖόν ἐστι τόδε τὸ σῶμα ὡς ψυχή· Οὐ δεῖ δὲ θαυμάζειν εἰ διὰ τῶν αἰσθητῶν ξύλων ἀθανασία ἐγένετο ἀνθρώποις καὶ γνῶσις καλοῦ καὶ πονηροῦ, ὁπότε καὶ δι' αἰσθητοῦ ὕδατος ἄφεσις ἁμαρτιῶν δίδοται, καὶ ἄρτος αἰσθητὸς καὶ οἶνος ἁγιάζει τοὺς μεταλαμβάνοντας αὐτῶν. Ἴδοι δέ τις καὶ δι' αἰσθητοῦ φαρμάκου εἰ καὶ μὴ ζωὴν ἀλλὰ θάνατον ἐγγινόμενον, ὅθεν οὐκ ἀπιστήσει τις καὶ ζωῆς αἰσθητὸν ὑπῆρχθαί ποτε ξύλον, οὗ διὰ τὴν παράβασιν μεταλαβεῖν οὐκ ἠξιώθησαν. Ὥσπερ δὲ θανάτου εἰσὶ τρόποι δύο, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος, οὕτω καὶ ζωῆς ὁμοίως· καὶ τάχα τὸ μὲν νοητὸν ξύλον τῆς ζωῆς τῇ ψυχῇ τὴν ἀθανασίαν παρέχει, τὸ δὲ αἰσθητὸν τῷ σώματι.

Γέν. 2, 23. (Br, f. 54v· Bs, ff. 45v - 46· πρβλ. Προκόπιος 176 C 1-6, 12-15).

Τί δήποτε γέγραπται «Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου»[5], οὐκέτι δὲ «καὶ ψυχὴ ἐκ τῆς ψυχῆς μου»;

Ὅτι μεριστὴ μὲν ἡ τῶν σωμάτων φύσις, ἀμέριστος δὲ τῆς ψυχῆς ἡ οὐσία ἐπεὶ καὶ ἀσώματος, καὶ διαδοχὴ μὲν ἐπὶ τῶν σωμάτων καὶ ὁμοιότης προσώπων, ἐπὶ δὲ τῶν ψυχῶν οὐκέτι· οὐ γὰρ ψυχὴ ψυχὴν εἰς οὐσίαν γεννᾷ. Ὅθεν ἐπὶ μὲν τῶν τμητῶν καὶ σκεδαστῶν ὡς

---

1. Ψαλμ. 76, 19. 2. Εὐσεβίου, Εὐαγγελικὴ Προπαρασκευὴ ΙΕ', 55-58. Β.Ε.Π.Ε.Σ. 26, 276-277. 3. Γέν. 2, 9. 4. Γέν. 13, 10. 5. Γέν. 2, 23.

διαιρουμένων εἴρηται «ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου»[1], ἐπὶ δὲ τῆς κατ' εἰκόνα Θεοῦ [113] ψυχῆς ἀδιαιρέτως ποιηθείσης οὐκέτι «ψυχὴ ἐκ τῆς ψυχῆς μου». Ἐπεὶ γὰρ ὁ Θεὸς ἀμέριστός ἐστιν, τὸ πρωτότυπον τῶν νοητῶν ἐκμαγεῖον ἢ χάραγμα, καὶ ἡ εἰκὼν ἀμέριστος, καὶ τὸ «κατ' εἰκόνα»[2] ἀμέριστον, ἵνα «κατ' εἰκόνα» ᾖ. Καὶ μετ' ὀλίγα. Οὕτως «ὀστοῦν ἐξ ὀστέου»[3] ληφθὲν καὶ «σὰρξ ἀπὸ σαρκὸς»[4] ἐτελεσιουργεῖτο, οἰκοδομοῦντος τοῦ Θεοῦ τὴν πλευρὰν ἣν ἔλαβεν τοῦ Ἀδὰμ εἰς γυναῖκα[5]. Ψυχὴ δὲ ἡ ἀσώματος οὔτε συγκατασπείρεται, ἵνα μὴ σπείρηται, οὔτε ὡς κλῆμα ἢ ὡς κλάδος ἀπομερίζεται, ἵνα μὴ ἀποσκεδαννύηται« ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲν ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι»[6]· ἡ δ' αὐτεξουσιότης αὐτῆς τροπὰς δεχομένη προαιρέσεων, κατ' οὐσίαν ἀλλοίωσιν οὐκ ἐπιδέχεται.

Γέν. 3, 7. (P, σ. 62· V, f. 39· N. 85).

«Οἱ ὀφθαλμοὶ τῶν δύο»[7]. Εἰς κατασκευὴν τοῦ μὴ περὶ αἰσθητῶν ὀφθαλμῶν εἰρῆσθαι, παραθετέον τὰ ἐκ τῆς πρώτης τῶν Βασιλειῶν περὶ Ἰωνάθαν, ἡνίκα τοῦ μέλιτος ἐγεύσατο, οὕτως ἔχοντα «Καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοί αὐτοῦ»[8]. Καὶ μετ' ὀλίγα φησὶν ὁ Ἰωνάθαν «Ἴδε ὅτι εἶδον οἱ ὀφθαλμοί μου, ὅτι ἐγευσάμην βραχὺ τοῦ μέλιτος»[9].

Γέν. 3, 21. (C, f. 312ᵛᵒ· P, σ. 67· V, f. 43· N, 101).

Τῷ μετὰ τὴν παράβασιν ὁριζομένῳ σεσαρκῶσθαι τοὺς περὶ τὸν Ἀδὰμ διὰ τὸ τροπολογεῖν τοὺς «δερματίνους χιτῶνας»[10], πῶς ἀκολουθήσει τὸ «Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς»[11] πρὸ τῆς παραβάσεως εἰρημένον, καὶ τὸ «Ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ' αὐτῆς»[12];

Εἰ δὲ λέγει τὰ ἤδη πεπραγμένα ἐπεξηγεῖσθαι τὴν Γραφήν, λεκτέον ὡς καὶ τὸ «Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον»[13] ἐπεξήγησις ἦν τῆς ἀρχῆθεν αὐτοῦ γενέσεως. Καὶ Κλήμης δὲ ἐν τοῖς τελευταίοις τοῦ τρίτου Στρωματέως διαβάλλει τὴν τοιαύτην δόξαν, ἐπιμεμφόμενος αἱρεσιώτη τινὶ διὰ τούτων· «Χιτῶνας» δὲ ἡγεῖται «δερματίνους» ὁ Κασσιανὸς τὰ σώματα, περὶ ὧν ὕστερον [114] καὶ τοῦτον καὶ τοὺς ὁμοίως αὐτῷ δοξάζοντας πεπλανημένους ἀποδείξομεν, ὅταν περὶ τῆς ἀνθρώπου γενέσεως τὴν ἐπεξήγησιν μεταχειριζώμεθα»[14]. Καὶ ἐν τῷ η' δὲ Στρωματεῖ ἀθετεῖ τὴν περὶ τοῦ προεῖναι τὰς ψυχὰς δόξαν, λέγων αὐταῖς λέξεσιν· «Ὁ Θεὸς ἡμᾶς ἐποίησεν οὐ προόντας· ἐχρῆν δὲ καὶ εἰδέναι ἡμᾶς τὸ ποῦ ἦμεν, εἰ προῆμεν, καὶ πῶς καὶ διὰ τί δεῦρο ἥκο-

1. Γέν. 2, 23 2. Γέν. 1, 26. 27. κ.ἀ. 3. Πρβλ. Γέν. 2, 23. 4. ἔνθ' ἀν. 5. Πρβλ. Γέν. 2, 22. 6. Ματθ. 10, 28. 7. Γέν. 3, 7. 8. Α' Βασ. 14, 27. 9. Α' Βασ. 14, 29. 10. Γέν. 3, 21. 11. Γέν. 2, 7. 12. Γέν. 2, 21. 13. Γέν. 2, 7. 14. Στρωμ. 3, 14. Β.Ε.Π.Ε.Σ. 8, 44-45.

μεν. Εἰ δὲ οὐ προῆμεν, τῆς γενέσεως ἡμῶν μόνος αἴτιος Θεός· ὡς οὖν οὐκ ὄντας ἐποίησεν, οὕτως καὶ γενομένους σῴζει»[1]. Ὁ δὲ τοὺς δερματίνους χιτῶνας τὰ αἰσθητὰ εἶναι λέγων σώματα, πάντως που καὶ τὸ ξύλον τῆς ζωῆς αἰσθητὸν εἶναι ὁμολογήσει· μετὰ τοὺς χιτῶνας γὰρ εἴρηται τὸ «Μήποτε λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα»[2].

Γέν. 4, 15. (Br, f. 84· Προκόπιος 249 B 12 — C 7).

Οὐκ ἀφῆκεν ἀναιρεθῆναι, ἵνα μὴ φόνῳ φόνον ἕτερον ἐπισυνάπτων ἕτερος ἐναγὴς εὑρίσκοιτο καὶ ἵνα μὴ ἑπτὰ παραλύσῃ τὰ ἐκδικούμενα[3], τὴν ἐπὶ τῆς θυσίας ἀσέβειαν, τὴν ἀνδροφονίαν, τὴν ἀδελφοκτονίαν, τὴν ἀπάτην, τὸν δόλον, τὸ ψεῦδος, τὴν θρασύτητα. Ἀλλ' ἄπορον πῶς ταῦτα ἐκδικεῖται καὶ πῶς παραλύεται ἐκδικούμενα, μή ποτε οὖν κάλλιον ᾖ λέγειν τὰ ἐπαναπαυόμενα πνεύματα ἐπὶ τὸν ἐξελθόντα ἐκ ρίζης Ἰεσσαὶ[4], τάχα που καὶ τῷ Ἄβελ διὰ τὸ εὐσεβὲς ἐπιφοιτήσαντα; Ἠδίκησε δὲ καὶ εἰς ταῦτα ὁ Κάϊν ἐνοικήσαντα τῷ Ἄβελ καὶ ἐμπεριπατήσαντα ἐν αὐτῷ.

Γέν. 4, 23^{b}. (Br, f. 87^{v}· Προκόπιος, 256 C 7—12).

Ὁ Λάμεχ ἕβδομος ὢν ἀπὸ τοῦ Ἀδάμ, υἱὸς δὲ Κάϊν, δεκαπλασιάζων ἢ πολυπλασιάζων τὴν ἐκδίκησιν καθ' ἑαυτοῦ ταῦτα προλέγει· ὅτι Θεοῦ σημεῖον θεμένου τῷ Κάϊν, αὐτὸς τάχα που τὸ σημεῖον ὑπεριδών φησιν «Ἄνδρα ἀπέκτεινα»[5], ἢ τὸν Κάϊν ἀποκτείνας ἢ ἕτερον.

[115] *Γέν. 14, 13. (C, f. 322^{v}· N, 195· P, σ. 91· V, f. 67· P. G., XV, 217).*

«Καὶ ἀπήγγειλέν» φησιν «Ἀβρὰμ τῷ περάτῃ»[6]. Τὸ ἀπὸ τοῦ προπάτορος τοῦ Ἀβράμ, λέγω δὲ τοῦ Ἔβερ, ἐθνικὸν ὄνομα ἑρμηνευθὲν ἐτέθη, οἷον ἀντὶ τοῦ Ἀβρὰμ τῷ ἑβραίῳ «Ἀβρὰμ τῷ περάτῃ»[7]. Ἑβραῖος γὰρ «περάτης» ἑρμηνεύεται.

Γέν. 18, 2-4. (Br, f. 134^{v}· Bs, f. 102^{v}· πρβλ. Προκόπιος, 365 AB).

Ἀπὸ δὲ τῆς τοιαύτης θέας καὶ ὑπολήψεως ὁ φιλόξενος, ὁ ξενοδόχος Ἀβραάμ, ἀντὶ φιλοξενίας θεοξενίας μακαρίως ἀξιούμενος, πρότερον μὲν «προσέδραμεν εἰς συνάντησιν αὐτοῖς»[8], δρόμῳ νεανικῷ συναντῶν φιλίως ὁ πρεσβύτης (ἡ γὰρ πρὸς τὴν θείαν ὄψιν προθυμία τῆς ἡλικίας τὸ βράδος συνέτεινεν), καίτοιγε «ἐπάνω αὐτοῦ» ἑστηκότας «ἰδὼν προσέδραμεν εἰς συνάντησιν»[9]. Ἡ δὲ «ἐπάνω αὐτοῦ» στάσις τῶν φαινομένων ἀνδρῶν τὴν ὑπεράνω τῶν θνητῶν λῆξιν νοεῖν

---

1. Ἐκ τῶν Προφητικῶν ἐκλογαὶ Β.Ε.Π.Ε.Σ. 8, 340. 2. Γέν. 3, 22. 3. Πρβλ. Γέν. 4, 15. 4. Πρβλ. Ἡσ. 11, 1-2. 5. Γέν. 4, 23. 6. Γέν. 14, 13. 7. ἔνθ. ἀν. 8. Γέν. 18, 2. 9. ἔνθ' ἀν.

αὐτὸν ἐξ ὄψεως ἐποίει· παράδοξον γὰρ ἦν καὶ ἄνδρας τοὺς τρεῖς ὁρᾶν καὶ μὴ ἐπὶ γῆς, ἐπάνω δὲ αὐτοῦ ἑστῶτας, καὶ τούτοις προστρέχειν. Μετὰ δὲ τοῦτο προσκυνήσας, ὡς βασιλικὴν καὶ θείαν ὄψιν ἀξιοῖ μὴ παρελθεῖν αὐτόν.

(Br, f. 135· Bs, f. 102v· N, 232· P, σ. 197· V, f. 72v).

Καὶ ἡ μὲν προσκύνησις, ὡς θείων· ἡ δὲ παράκλησις τοῦ νίψασθαι, ὡς ξένων. Ἡ δὲ ὑπόνοια μερίζεται τῷ θεοφιλεῖ· ἀπὸ γὰρ τοῦ προσκυνῆσαι ἐπὶ τὸ νίψασθαι τοὺς πόδας παρακαλεῖ, εἰ καὶ μὴ γέγονεν τὸ νίψασθαι, — οὐδὲ γὰρ εἴρηται τοῦτο.

Γέν. 18, 8b. (Bs, f. 103).

Τὸ δὲ ζητεῖν εἰ ἐνδέχεται τὴν ἀσώματον οὐσίαν τρέφεσθαι σώμασιν, ἕτοιμον εἰς ἀνάνευσιν, τολμηρὸν δὲ εἰς ἀπόφασιν, θείας ἅπαξ προειλημμένης τῆς Γραφῆς τῆς λεγούσης «Παρέθηκαν αὐτοῖς καὶ ἐφάγοσαν» [1], εἰ μήποτε τὸ ἀνηλῶσθαι αὐτὰ «φαγεῖν» εἶπεν ἡ Γραφή.

(Br, f. 135v· πρβλ. Προκόπιος, 365 C 1-3).

Καὶ οὐ συνέφαγεν αὐτοῖς ὁ Ἀβραάμ, ὃς ἑστιάτωρ· ᾔδει γὰρ ἐκ τῆς ὄψεως τὸ ὑπὲρ ἄνθρωπον αὐτῶν [2].

[116] *(Br, ff. 135v - 136: καὶ μετ' ὀλίγα).*

Φαίνεται δὲ εἰδὼς Θεὸν δεξάμενος, ὅταν ἑξῆς λέγῃ «Μηδαμῶς, ὁ κρίνων πᾶσαν τὴν γῆν» [3]. Τὸ δὲ λέγειν πῶς ἐγχωρεῖ τὴν ἀσωματίαν αὐτῶν ἐσθίειν, ἐκβάλλοντός ἐστι τὴν πίστιν τῶν προειλημμένων θείων γραφῶν· τὸ γὰρ «πῶς» ἐνδέχεται τὴν θείαν φύσιν τροφῆς σωματικῆς μεταλαμβάνειν· ποιεῖ κατ' ἐπαγωγήν, οὐκ ἄρα ἐνδέχεται γενέσθαι, τὸ «ἐφάγοσαν». Τί οὖν ἐγένετο τὰ παρατεθέντα, τί δὲ γέγραπται τὸ «ἐφάγοσαν»; Ἀπιστοῦντος γάρ ἐστι ὡς θεοπνεύστους εἶναι τὰς γραφὰς καὶ μὴ ἀληθεῖς τὸ λέγειν ὅτι δόκησιν αὐτὰς γράφειν, Μενέτω δὴ ἔχον τὸ λόγιον οὕτως πεπιστευμένον ὡς κεῖται, καὶ τὸ ἀνηλῶσθαι τὰ παρακείμενα δηλούτω τὸ «ἐφάγοσαν», — ἀλλὰ καὶ τοῖς δύο ἀγγέλοις ὕστερον, ὡς γέγραπται, παρὰ τῷ Λὼτ γενομένοις «Ἐποίησε» Λὼτ «πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον» [4]. Καὶ ὅτι μὲν οὐκ ὀδοῦσι καὶ μύλαις τὴν τροφὴν κατελέαινον, εἰ μήτε σώματα στερεὰ τυγχάνοντες, προσείληφεν ἡ σύμφυτος ἔννοια. Ὅτι δὲ οὐκ ἀναιρετέον τὸ λέγεσθαι φαγεῖν αὐτούς, μὴ μεινάντων τῶν παρατεθέντων ἀλλ' ἀναλωθέντων, ἡ πίστις τῶν γεγραμμένων περιέχει.

---

1. Πρβλ. Γέν. 18, 8. 2. Τὸ πρῶτον μέρος τοῦ ἀποσπάσματος «Αὐτουργῶν τὴν ὑπηρεσίαν ... ἀναδεχόμενος» ὑπάρχει εἰς τὸν Φίλωνα. Quaestiones in Genesin IV, 10. Σχετικῶς ἴδε R. Devreesse. Les anciens commentateurs grecs de l' octateuque et des rois, ἔνθ' ἀν. σ. 19. 3. Γέν. 18, 25. 4. Γέν. 19, 3.

Γέν. 18, 16ᵇ. (Br, f. 137· Bs, f. 104: ἀνωνύμου. Προκόπιος, 368 B 13-15 ([λατινιστί]· Mon. f. 101).

Ὁρᾷς πόσον ἀγαθὸν τὸ συμπροπέμπειν ξένους, ὅτι ἐν τῷ συμπροπέμπειν τὸν Ἀβραὰμ ἐθαρρήθη τηλικαῦτα θαυμάσια παρὰ Θεοῦ.

Γέν. 18, 17· (Br, f. 137).

Τίς πατὴρ οὕτως ἐρεῖ, τίς δὲ ἀδελφὸς πρὸς ἀδελφόν; Θεὸς ὁ εἰπὼν Ἐφάνη ἡ ἀξία τοῦ δούλου, ἀνεφάνη ἡ φιλανθρωπία τοῦ δεσπότου· ἄρχεται λέγειν, ἃ κρύπτειν οὐκ ἠθέλησεν.

Γέν. 21, 7. (Br, f. 146· C, f. 237ᵛ· N, 266· P, σ. 104· V, ff. 79ᵛ - 80· πρβλ. Προκόπιος, 384 A).

Οὐκ ὡς ἀγνοοῦντος ἢ καὶ μὴ παρόντος τοῦ Ἀβραάμ, ἡνίκα τὸν Ἰσαὰκ ἐθήλαζεν, ἡ Σάρρα φησὶ τὸ «Τίς ἀναγγελεῖ» [1]. Πῶς γὰρ ἠγνόει καὶ οὐ παρῆν, ὃς καὶ ἐκάλεσεν τὸ ὄνομα τοῦ παιδίου Ἰσαὰκ καὶ περιέτεμεν αὐτὸ τῇ ὀγδόῃ **[117]** ἡμέρᾳ [2]; Μή ποτε οὖν τὸ «τίς» ὡς ἐπὶ ἀτόπου καὶ θαυμαστοῦ παρείληπται, ὡσεὶ καὶ ἡμεῖς αὐτοὶ φαίημεν Τίς ἔλεγεν τὸν δεῖνα ἰδιώτην βασιλεύσειν; Ἀσάφεια δὲ συνέβη περὶ τὸν τόπον ἐκ τῶν χρόνων τῶν ῥημάτων· ἀντὶ μὲν γὰρ τοῦ «ἀνήγγελλε» παρατατικοῦ, ὁ μέλλων κεῖται, οἷον «ἀναγγελεῖ»· ἀντὶ δὲ τοῦ «θηλάσει» μέλλοντος, ὁ ἐνεστώς, οἷον «θηλάζει».

Γέν. 21, 9. (C, f. 328ᵛ· N, 267· P, σ. 104· V, f. 80).

Μή ποτε τὸ «παίζειν» ἀντὶ τῆς μάχης καὶ τῆς διώξεως εἴρηται, ὡς καὶ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν περὶ τῶν παιδαρίων τοῦ Δαυὶδ καὶ Σαούλ [3]. Φησὶ δὲ καὶ ὁ Παῦλος περὶ τῶν ἀμφὶ τὸν Ἰσμαήλ. «Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα ἐδίωκεν τὸν κατὰ πνεῦμα» [4]. Εἰκός δέ ἐστι κατὰ τὴν Ἑβραίων διάλεκτον ὁμωνυμεῖν τήν τε μάχην καὶ τὴν παιδιάν, ὡς καὶ παρ' ἡμῖν ἔνια τῶν σημαινομένων· οἷον τὸ «μῆλον» οὐ μόνον ἐπὶ τοῦ ἀκροδρύου, ἀλλὰ καὶ ἐπὶ τοῦ ζῴου· καὶ τὸ «ἄντικρυς» οὐ μόνον ἐπὶ τοῦ ἐναντίου, ἀλλὰ καὶ ἐπὶ τοῦ σαφοῦς· καὶ ἡ «ἀσπὶς» οὐ μόνον ἐπὶ τοῦ ὅπλου, ἀλλὰ καὶ ἐπὶ τοῦ ἑρπετοῦ.

Γέν. 27, 41-42. (Br, f. 177· C, f. 332ᵛ· N, 342· P, σ. 126· V, f. 96ᵛ· πρβλ. Προκόπιος 426).

Εἰ «ἐν τῇ διανοίᾳ» τοῦτο εἶπεν ὁ Ἠσαῦ, πῶς «ἀπηγγέλη» τῇ Ῥεβεκκᾷ; Μή ποτε οὖν δι' ὀνειράτων ἢ οἵας δήποτε ἀποκαλύψεως· θεοφιλὴς γὰρ ἐτύγχανεν. Συνέβαινε δὲ καὶ τὸν Ἠσαῦ ἀπ' ἀρχῆς μὲν τοῦτο λογίσασθαι καὶ διανοηθῆναι παρ' ἑαυτῷ, μὴ στῆναι δὲ μέχρι τούτου, ἀλλ' ἔκπυστόν τινι ἤ τισι ποιῆσαι τὸ διανοηθέν.

---

1. Γέν. 21, 7. 2. Γέν. 21, 3-4. 3. Πρβλ. Β' Βασ. 2, 14. 4. Γαλ. 4, 29.

ΕΞΟΔΟΣ 7, 1-3. (Bs, f. 238ᵛ: ἀνωνύμου· N, 625· P, σ. 209· V, f. 169ᵛ).

Ὃν τρόπον ὁ Θεὸς διὰ προφητῶν λαλεῖ τοῖς ἀνθρώποις, **[118]** οὕτω καὶ ὁ Μωϋσῆς δι' Ἀαρὼν τῷ Φαραώ· διὸ ἑρμηνεύων τὸν νοῦν τοῦ λόγου φησὶν «καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης» [1].

Bs, f. 238ᵛ: Ἀκακίου, περὶ συμμίκτων ζητημάτων· P, σ. 209 καὶ V, ff. 169ᵛ - 170· N, 626-627).

Σκληρύνειν ὁ Θεὸς λέγεται τὸν ἀπειθῆ ταῖς θείαις παραγγελίαις Φαραώ, οὐκ εὔεικτον γινόμενον πρὸς τοὺς τυποῦντας τὴν ψυχὴν χαρακτῆρας τῶν θείων παραγγελμάτων· σκληρὸς γὰρ ὁ μὴ παρὰ τῶν χαρακτήρων τοῦ λόγου τυπούμενος. Καὶ ὁ μὲν ἀπειθὴς ἤδη σκληρὸς πρὶν ἄλλος ἐπιβαλὼν τὰς σφραγῖδας ἐλέγξῃ τὸ ἀντίτυπον τοῦ ὑποκειμένου· ὅταν δὲ καὶ ἁπαλωτέροις καὶ προσηνέσι λόγοις παραινῆται, χρηστότητος καταφρονῶν, θυμὸν δὲ μὴ δεδιὼς τέως ἡσυχάζοντα, ἔτι μᾶλλον σκληρύνεται, τουτέστι σκληρὸς ὢν ἐλέγχεται, ἐν οὐδενὶ λόγῳ τιθέμενος τὴν ἀγαθότητα τοῦ προστάσσοντος. Ὁ δὲ χρηστότητος λόγων ἀκούων καὶ νομίζων τοῦτο κολακείαν εἶναι καὶ ἀδυναμίαν τοῦ προστάσσοντος, ἀντιμάχεται ὡς περιεσόμενος τῇ δυνάμει τοῦ θείου βουλήματος, καὶ τὸ χρηστὸν τοῦ Θεοῦ πρὸς μετάνοιαν αὐτὸν ἄγον ἀφορμὴ τοῦ σκληρύνεσθαι τῷ ἀθέῳ γίνεται. Ἡ οὖν ἀφορμὴ τῆς ἀγαθότητος πρόφασις σκληρότητος, καὶ ἐνεργὸς σκληρότης τοῖς κακῶς φρονοῦσιν ἐνομίσθη.

Καὶ μετ' ὀλίγα. Ἐὰν οὖν λέγῃ ὁ Θεὸς «Ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ» [2] δυνάμει τοῦτό φησιν, Ἐγὼ δὲ σκληρὸν ἐλέγξω τὸ ἡγεμονικὸν Φαραώ, τοῦ ἐπιληψίμου τῆς ἐπαγγελίας λυομένου ὑπὸ τῆς τοιᾶσδε διανοίας.

[119] *Ἔξ. 20, 5-6. (C, f. 361ʳ·ᵛ· N, 773-775· P, σ. 268-269· V, ff. 208ᵛ - 209).*

«Θεὸς ζηλωτὴς ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς» [3]. Δόξει ἐναντίον εἶναι τούτῳ τὸ «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται» [4], ὁμοίως δὲ καὶ τὰ ἐν τῷ Ἰεζεκιὴλ πρὸς τοὺς λέγοντας «Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων αἱμωδιάσουσιν» [5]· ἀλλ' οὐκ ἔστιν ἐναντία, εἰ σαφῶς νοηθείη αὐτό τε τὸ «Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα» [6] καὶ τὸ «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν» [7] καὶ τὸ πρὸς τοὺς λέγοντας «Οἱ πατέρες ἔφαγον ὄμφακα» [8] καὶ τὰ ἑξῆς.

---

1. Ἔξ. 7, 1. 2. Ἔξ. 7, 3. 3. Ἔξ. 20, 5. Πρβλ. Δευτ. 5, 9. 4. Δευτ. 24, 16. 5. Πρβλ. Ἰεζ. 18, 2. Ἱερ. 38 (Μασ. 31), 30. 6. Ἔξ. 20, 5. 7. Ἱερ. 20, 30. 8. Ἰεζ. 18, 2.

Πρῶτον μὲν οὖν παράθες τὸ «Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα» τῷ «Μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε» [1], δι' οὗ τάχα τὸν κοινὸν τοῦτον παρίστησιν θάνατον, ὃν ἀποστέλλει ποτὲ τοῖς τέκνοις τῶν ἁμαρτησάντων πατέρων, οὔτι γε πρὸς παιδείαν αὐτῶν τελευτώντων, ἀλλὰ πρὸς τὸ τιμωρήσασθαι τοὺς γονεῖς, διὸ «ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν» [2] εἶπεν· ἕως γὰρ τούτων παρεκτείνει ποτὲ ὁ τῶν ἀνθρώπων χρόνος, ὡς περὶ τοῦ Ἰὼβ εἴρηκεν «καὶ εἶδεν υἱοὺς υἱῶν ἕως τετάρτης γενεᾶς» [3].

Τὸ δὲ «καὶ ποιῶν ἔλεος εἰς χιλιάδας» [4], σημείωσον ὅτι οὐκ εἶπε «τοῖς τέκνοις τῶν ἀγαπώντων με», ἀλλ' αὐτοῖς «τοῖς ἀγαπῶσίν με» ἥξει τὸ παρὰ τοῦ Θεοῦ «ἔλεος» [5]· δι' οὗ τὸ ἄπειρον παρίστησι τοῦ χρόνου, ἐν ᾧ καὶ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ἡ τῷ Θεῷ ἀνακειμένη ψυχὴ ἀνεξάλειπτον ἕξει τὸ παρὰ τοῦ Θεοῦ «ἔλεος»· Δοκεῖ δὲ ἀντικεῖσθαι τὸ ὑπὸ τοῦ Ἱερεμίου εἰρημένον οὕτως «Ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπον τέκνων αὐτῶν μετ' αὐ**[120]**τούς» [6]· εἰ γὰρ «μετ' αὐτοὺς» οὐκέτι διὰ τὸ αὐτοὺς τιμωρήσασθαι, ἐκτὸς εἰ μή τις ἐκλάβοιτο τὸ «μετ' αὐτούς», οὐχὶ μετὰ τὸν θάνατον αὐτῶν, ἀλλὰ μετὰ τὴν προτέραν αὐτῶν τιμωρίαν, ἥτις ἦν πρὸ τῆς διὰ τῶν τέκνων. Ὁ Διονύσιος δὲ ἐν μιᾷ τῶν περὶ μετανοίας ἐπιστολῶν τροπικώτερον ἐξείληφεν τὰ κατὰ τοὺς τόπους, οἷον «ἀποδιδοὺς ἁμαρτίας ἐπὶ τέκνα» ἀντὶ τοῦ Ἀποδιδοὺς τὰς τιμωρίας τῶν προτέρων ἁμαρτιῶν ἐπὶ τὰς δευτέρας [7].

Περὶ δὲ τοῦ «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν» [8], λεκτέον ὅτι ὁ νομοθετῶν, καὶ μάλιστα Θεός, ἑτέροις νομοθετεῖ, καὶ οὐχ ἑαυτῷ, ἐπεὶ μηδὲ ὁμοίως ἀνθρώποις πολιτεύεται. Πῶς γὰρ τὸ «Οὐ ποιήσεις σεαυτῷ εἴδωλον» [9] ἑαυτῷ ἐνομοθέτει, ἅτε τῶν ὅλων ὢν Θεός; ἢ τὸ «Οὐ πορνεύσεις» [10], ἄσαρκος ὢν καὶ ἀσώματος; ἢ τὸ «Οὐ κλέψεις» [11], τῶν πάντων κύριος ὑπάρχων; Διὸ καὶ τὸ «οὐκ ἀποθανοῦνται» παρ' ἀνθρώποις νομοθετεῖ, διὰ τὸ τὰ ἐν ποσὶν μόνα οἵους τε εἶναι κρίνειν, οὐ μὴν καὶ παρ' ἑαυτῷ, ὃς πάντων οἶδεν μόνος καὶ τὰς διανοίας καὶ τὰς αἰτίας, δι' ἃς ἀποκτείνει οὓς βούλεται κἂν μὴ ἁμάρτωσιν καὶ ζωοποιεῖ ὁμοίως, ὡς εἰκότως ἂν περὶ αὐτοῦ εἰρῆσθαι «Τὰ κρίματά σου ἄβυσσος πολλή» [12].

Ἑξῆς δὲ περὶ τῶν ἐν τῷ Ἰεζεκιὴλ εἰρημένων [13], λεκτέον ὅτι οὐ περὶ κοινοῦ θανάτου λέγει, οὐδὲ περὶ κοινῆς ζωῆς· ἀλλὰ θάνατον, ὃν ἀποθνήσκουσι τῷ Θεῷ οἱ ἁμαρτάνοντες, περὶ οὗ φησι «θάνατος ἁμαρτωλῶν πονηρός» [14]. Εἰ γὰρ περὶ τοῦ κοινοῦ θανάτου ἢ τῆς κοινῆς ζωῆς ὁ λόγος ἦν τῷ προφήτῃ, ἐναντίον ἂν ἦν τὸ εἰρημένον ἀλλαχοῦ

---

1. Ἱερ. 2, 30. 2. Ἔξ. 20, 5. 3. Πρβλ. Ἰὼβ 42, 16. 4. Ἔξ. 20, 6. 5. Πρβλ. ἔνθ' ἀν. 6. Ἱερ. 39 (Μασ. 32), 18. 7. Πρβλ. Εὐσεβίου Ἐκκλ. Ἱστ. 7, 10, 8-9. Β.Ε.Π.Ε.Σ. 20, 18. 8. Πρβλ. Δευτ. 24, 16. 9. Ἔξ. 20, 4. 10. Πρβλ. Ἔξ. 20, 13. 11. Ἔξ. 20, 14. 12. Ψαλμ. 35, 7. 13. Πρβλ. Ἰεζ. 18, 4. 14. Ψαλμ. 33, 22.

«Ἵνα τί δὲ ἀσεβεῖς ζῶσιν, πεπαλαίωνται δὲ ἐν πλούτῳ» [1]; τὸ δὲ αὐτὸ ἄτοπον ἔσται καὶ ἐπὶ τοῦ θανάτου τῶν ἁγίων, ἐπειδὴ «ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον» [2].

Ζητήσεις δὲ καὶ περὶ τοῦ «Καὶ ὑμεῖς ἐπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν» [3], καὶ «ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην» [4], καὶ «οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων» [5]. Καὶ μή ποτε οὕτως δεῖ ἀκούειν καὶ ταῦτα; Οἷον οἱ μὲν πατέρες ὑμῶν, εἰ καὶ ἥμαρτον, ὦ Ἰσραηλῖται, οἷον Κάϊν φονεύσας τὸν ἀδελφὸν Ἄβελ [6] καὶ Ἀμὼς τὸν Ζαχαρίαν [7], ἀλλ' οὐκ ἐπὶ τὸ πέρας τῶν ἁμαρτημάτων ἦλθον, οὐδὲ τὸ μέτρον ἀνεπλήρωσαν, τουτέστιν τὸ τὰς χεῖρας ἐπιβαλεῖν τῷ Χριστῷ, ὥσπερ ὑμεῖς· τὸ δὲ αὐτὸ καὶ περὶ τῶν Ἀμορραίων λεκτέον. Κατασκευάσεις δὲ πῶς πληροῦται τὸ μέτρον τῶν ἁμαρτημάτων ἀπὸ παραδείγματος. Οἷον νόμος ἐστὶ παλαιὸς ἐν ἀγῶνι τὸν τρὶς καταβαλλόμενον ὑπὸ τοῦ ἀντιπάλου τὴν τελείαν ἧτταν ἔχειν· κἂν μὲν **[121]** τὸ πρῶτον καταβληθῇ,—ἡττήθη μέν, ἀλλ' οὐ τελείως,—κἂν τὸ δεύτερον ὡσαύτως, εἰ δὲ τὸ τρίτον, τελείως ἡττήθη· οὕτως οὖν νομιστέον καὶ πάσας τὰς γενεὰς οἱονεὶ ἀθλητήν τινα εἶναι.

ΑΡΙΘΜΟΙ 14, 22. (C, ff. 391v - 392· N, 1256-7· P, σ. 403· V, ff. 335v - 336).

«Ἐπείρασάν με», φησίν, «τοῦτο δέκατον» [8]. Πρῶτον μὲν ἰδόντες τοὺς Αἰγυπτίους στρατοπεδεύσαντας ὀπίσω αὐτῶν, εἰπόντες τε τῷ Μωϋσῇ «Παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ ἐξήγαγες ἡμᾶς θανατῶσαι» [9] καὶ τὰ ἑξῆς. Δεύτερον δὲ ἐν τῇ Μερρᾷ, διὰ τὸ μὴ δύνασθαι ἀπὸ τοῦ ὕδατος πιεῖν, «πικρὸν γὰρ ἦν» [10]. Τρίτον γογγύζοντες ἐπὶ Μωϋσῆν καὶ Ἀαρών, μεμνημένοι «τῶν λεβήτων τῶν κρεῶν» καὶ τῶν ἄρτων [11], καθ' ὃν καιρὸν ἐδόθη αὐτοῖς τὸ μάννα καὶ ἡ προτέρα ὀρτυγομήτρα [12]. Τέταρτον οὐκ εἰσακούσαντες Μωϋσέως τοῦ μὴ καταλιπεῖν ἀπὸ τοῦ μάννα εἰς τὸ πρωΐ, διὸ καταλιπόντων τινῶν «ἐξέζεσεν σκώληκας καὶ ἐπώζεσεν» [13]. Πέμπτον παρακούσαντες τῆς περὶ τοῦ σαββάτου ἐντολῆς, ὡς ἐξελθόντας τινὰς ἐκ τοῦ λαοῦ συλλέξαι μὴ εὑρεῖν [14]. Ἕκτον παρεμβεβληκότες ἐν Ῥαφιδὶν καὶ μὴ ἔχοντες ὕδωρ πιεῖν, ἐλοιδοροῦντο πρὸς Μωϋσῆν, ἐν ᾧ χρόνῳ πατάξαντος Μωϋσέως τὴν πέτραν τὴν ἐν Χωρὴβ, ἐξῆλθεν ἐξ αὐτῆς ὕδωρ καὶ ἔπιεν ὁ λαός [15]. Ἕβδομον ποιήσαντες μόσχον [16] χρυσοῦν ἐν Χωρὴβ καὶ προσκυνήσαντες αὐτῷ. Ὄγδοον γογγύζοντες πονηρὰ ἐναντίον Κυρίου, ἅπερ ἀκούσαντος καὶ θυμωθέντος ὀργῇ «ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου καὶ κατέφαγεν μέρος τῆς παρεμβολῆς» [17], ὅθεν «ἐκλήθη

---

1. Ἰὼβ 21, 7. 2. Ἑβρ. 11, 37. 3. Ματθ. 23, 32. 4. Ματθ. 23, 36. 5. Γέν. 15, 16. 6. Γέν. 4, 8. 7. Πρβλ. Β' Παρλ. 14, 22 (Ἀμώς;). 8. Ἀριθμ. 14, 22. 9. Ἔξ. 14, 11. 10. Ἔξ. 15, 23. 11. Πρβλ. Ἔξ. 16, 2-3. 12. Ἔξ. 16, 13-14. 13. Ἔξ. 16, 20. 14. Πρβλ. Ἔξ. 16, 27. 15. Πρβλ. Ἔξ. 17, 1-6. 16. Πρβλ. Ἔξ. 32, 4. 17. Ἀριθμ. 11, 1.

τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἐμπυρισμός»[1]. Ἔνατον κλαύσαντες μετὰ τῶν ἐπιμίκτων καὶ εἰπόντες «Τίς ψωμιεῖ ἡμᾶς κρέα; ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἐσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν»[2] καὶ τὰ ἑξῆς· καθ' ὃν καιρὸν ἐδόθη αὐτοῖς τὸ δεύτερον ἡ ὀρτυγομήτρα ἐπὶ μῆνα ἡμερῶν[3]. Δέκατον πιστεύσαντες τοῖς δέκα τῶν κατασκόπων, ὡς φοβηθέντες μὴ θέλειν πολεμεῖν πρὸς τοὺς Χαναναίους, ὧν καὶ τὴν γῆν κληρονομεῖν ἔμελλον[4].

Ὁ Coislin 113, f. 428, παραθέτει σχόλιον εἰς τὸ χωρίον Α' Βασ. 1,1, τὸ ὁποῖον ἀνευρίσκομεν εἰς τὸν Προκόπιον (1081 Α 14- Β 5).

«Καὶ ἐγένετο ἄνθρωπος ἐξ Ἁρμαθὲμ Σιφὰ ἐξ ὄρους Ἐφραίμ»[5], εἶτα ἑξῆς φησιν «ὁ Ἐφραθαῖος». Εἰ τοίνυν νῦν «ἐξ Ἁρμαθὲμ», πῶς «Ἐφραθαῖος»; [122] Ἀλλὰ μή ποτε συνέβαινεν αὐτὸν ἐκ τῶν δυοῖν πόλεων ὁρμᾶσθαι, καθὸ ἐν μὲν τῇ Ἐφραθὰ γεγέννηται ἐν δὲ τῇ Ἁρμαθὲμ ἐτέθραπτο,—ὡς καὶ ὁ Σωτὴρ ἐν τῇ Βηθλεὲμ γεννηθείς[6], ἐχρημάτιζεν καὶ Ναζωραῖος τῆς ἀνατροφῆς ἕνεκεν[7].

II. ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ *

[53] *Ρωμ. 1, 17. (V, f. 8ᵛ· A, f. 2ʳ· B, f. 7ʳ· W, f. 33ʳ).* **

Δικαιοσύνη θεοῦ, φησίν, ἐν αὐτῷ ἀποκαλύπτεται[1], δηλονότι τῷ πιστεύοντι. τοιοῦτον λέγει τὸ ἀποκαλύπτεται δικαιοσύνη θεοῦ (οἷον) τὴν ἄμειψιν τῶν τὰ σπουδαῖα πραξάντων, ὥσπερ καὶ ἐπὶ τῶν ἐναντίων τὴν ὀργὴν ὁμοίως ἀποκαλύπτεται. ἐκ πίστεως εἰς πίστιν[2], τῷ μὲν Ἰουδαίῳ ἐκ τῆς τοῦ θετοῦ νόμου πίστεως εἰς τὴν διὰ Χριστοῦ, τῷ δὲ Ἕλληνι ἐκ τῆς τοῦ φυσικοῦ εἰς τὴν αὐτὴν Ἰησοῦ Χριστοῦ πίστιν.

Ρωμ. 5,14. (V, f. 49ʳ).

Οὐχ ἁπλῶς εἴρηκε καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας—ἄντικρυς γὰρ ἐναντίον ἦν τῷ ἀλλαχοῦ αὐτῷ εἰρημένῳ τῷ πάντες γὰρ ἥμαρ-

---

1. Ἀριθ. 11, 3. 2. Ἀριθ. 11, 4-5. 3. Πρβλ. Ἀριθ. 11, 31-33. 4. Πρβλ. Ἀριθ. κεφ. 13 καὶ 14. 5. Πρβλ. Α' Βασ. 1, 1. 6. Πρβλ. Ματθ. 2, 1. 7. Πρβλ. Ματθ. 2, 23.

* Κατὰ τὴν ἔκδοσιν τοῦ K. Staab «Pauluskommentare aus der griechischen Kirche» Münster 1933, σ. 53-56.

** Αἱ ἐνδείξεις τῶν κωδίκων κατὰ τὴν ὡς ἄνω κριτικὴν ἔκδοσιν εἶναι αἱ ἑξῆς: V = cod. Vat. 762, M = cod. Monach. 412, Π = cod. Athens Pantokrat. 28, W = cod. Vindob. theol. 166, A = cob. Vat. 1430, B = cod. Palat. 10.

1. Ρωμ. 1, 17. 2. ἔνθ' ἀν.

τον[1] — ἀλλ᾽ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ[2], τοῦτ᾽ ἔστι καὶ ἐπὶ τοὺς μὴ διὰ τοῦ φαγεῖν ἀπὸ τοῦ ἐν τῷ παραδείσῳ ξύλου ἁμαρτόντας. ἐκ τούτου δὲ ἴσως ἄν τις κατασκευάσῃ μὴ περὶ τοῦ κοινοῦ ἁπλῶς ἀνθρώπου ἀναγεγράφθαι τὰ ἐν τῇ Γενέσει, ἀλλὰ περὶ ἑνὸς καὶ μόνου τοῦ Ἀδάμ· εἰ γὰρ περὶ τοῦ κοινοῦ ἀνθρώπου γεγραμμένον ἦν τὸ περὶ τῆς παραβάσεως δρᾶμα, οὐκ ἂν ἐνταῦθα ἐλέγετο καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ[3].

Ρωμ. 5,18. (V, f. 53r).

Ὥσπερ γάρ, φησί, διὰ τῆς παραβάσεως τοῦ ἑνὸς ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί[4]· οὐ τοῦτο λέγει ὅτι ἑνὸς ἁμαρτόντος καὶ οἱ μὴ ἁμαρτόντες τὴν αὐτὴν δόξαν ἀπηνέγκαντο μετὰ τῶν τιμωριῶν — ἄδικον γάρ —, ἀλλ᾽ ὅτι ἀπὸ τοῦ Ἀδὰμ ἀρχὴν ἔσχεν ἡ ἀνθρωπότης καὶ ὑπάρχειν καὶ ἁμαρτάνειν.

Ρωμ. 9,11-14. (V, f. 133r).

Ἵνα ἡ κατ᾽ ἐκλογήν, φησί, πρόθεσις τοῦ θεοῦ μένῃ[5]· οὕτω πως τὴν πρόθεσιν ὁριστέον· πρόθεσίς ἐστιν ἕξις θετική τινος ἤ τινων, ἑνὸς ἢ πολλῶν ὑποτασσομένων. καὶ ἐνταῦθα οὖν οἰκείως ἡ πρόθεσις διὰ τὸ προτεθεῖσθαι τὸν Ἰακὼβ τοῦ Ἠσαῦ, οὐκ ἐξ ἔργων, φησίν, ἀλλ᾽ ἐκ τοῦ καλοῦντος[6]. οἱ προεῖναι τὴν ψυχὴν ἐθέλοντες δισσά φασι τὰ τῶν ἀνθρώπων ἔργα, καὶ τὰ μὲν πεπρᾶχθαι πρὶν ἐνταῦθα γενέσθαι, τὰ δὲ μετὰ τὸ ἐπιδημεῖν τῷ βίῳ· οὕς ἐρέσθαι καλόν, περὶ ποίων ἔργων ὁ ἀπόστολος ἐνταῦθά φησιν. εἰ μὲν οὖν λέγοιεν περὶ τῶν ἀρχαίων, αὐτόθεν ἀρνήσονται τὴν τοιαύτην οἰκείαν δόξαν· φασὶ γὰρ διὰ τὰ ἐκεῖ πραχθέντα αὐτοῖς ἔργα καὶ εἰς τόδε τὸ χωρίον ἐπιδημεῖν. εἰ δὲ ἐροῦσι τῶν ἐνταῦθα ἔργων, δεικτέον ὅτι ὁ μὲν Ἰακὼβ καλὰ ἔσχεν ἔργα, ὁ δὲ Ἠσαῦ φαῦλα. εἰ δὲ ἀμφοτέρων ἕνεκεν φήσειαν, ἔσονται παντάπασιν ψευδόμενοι· πῶς γὰρ ὁ μηδὲν ὅλως ἐργαζόμενος καὶ συνέστηκεν ἢ ὑπάρχει; ἕπεται γὰρ τῷ ὑπάρχοντι τὸ ἔχειν ἔργα. διὸ λεκτέον εὐσεβῶς ὅτι περὶ ἔργων λέγει ὧν ἐνταῦθα μετὰ τὸ γεννηθῆναι ἔπραξαν. ἑπομένου δὲ ἀκολούθως ἀπαιτεῖσθαι παρ᾽ ἡμῶν τὸ μὴ ἀδικία παρὰ τῷ θεῷ; ἐροῦμεν ὅτι μὴ γένοιτο[7]· προέθετο γὰρ καὶ προέκρινε τοῦ Ἠσαῦ τὸν Ἰακὼβ διὰ τὸ προγινώσκειν ἀμφοτέρων τὰ ἔργα, ὥσπερ αὐτὸς ὁ Παῦλός φησιν ἀνωτέρω ὅτι οὓς προέγνω, καὶ προώρισεν[8] καὶ τὰ ἑξῆς.

---

1. Ρωμ. 3, 23. 2. Ρωμ. 5, 14. 3. ἔνθ᾽ ἄν. 4. Ρωμ. 5, 19. 5. Ρωμ. 9, 11. 6. Ρωμ. 9, 12. 7. Ρωμ. 9, 14. 8. Ρωμ. 8, 29.

Ρωμ. 9, 22-23. (V, f. 144v· Π, f. 13r).

Τὸ εἰ δὲ θέλων ὁ θεὸς ἐνδείξασθαι τὴν ὀργήν[1], πρὸς τὸν ἀποροῦντα τὸ τί ἔτι μέμφεται[2]; λέγει. συνεκδεκτέον δὲ τὸ πόθεν οἶδας, ἵνα ᾖ· πόθεν δὲ οἶδας, ὦ οὗτος, εἰ θέλων ὁ θεὸς[3] [54] καὶ τὰ ἑξῆς; περὶ δὲ τοῦ ἐνδείξασθαι τὴν ὀργὴν[4] λεκτέον ,ὅτι οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν ἐπιδεικτιᾶν καὶ φανητιᾶν βουλόμενος ὁ θεὸς τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ τοῦ παραθέσει τοῦ χείρονος καὶ τῆς τούτου τιμωρίας τὸ κάλλιον ἔτι μᾶλλον ὠφελεῖσθαι. διὸ καὶ ἐπιφέρει τὸ ἐπὶ σκεύη ἐλέους[5] ἤνεγκε, φησίν, ἐν πολλῇ μακροθυμίᾳ, τὸ ἤνεγκεν εἰς τὸν βίον· ἠδύνατο μὲν γὰρ μηδὲ ὅλως ἐνεγκεῖν μηδὲ ὅλως κτίσαι ἅπερ προεγίνωσκε φαῦλα ἐσόμενα, ἀναγκαίως δὲ ταῦτα κτίζει, ἐπειδὴ μακροθυμεῖ καὶ ἀνέχεται τῶν φαύλων, ἕως οὗ μεταβάλωσιν τὸν ἑαυτῶν τρόπον, καὶ διὰ τὴν ἑτέραν δὲ αἰτίαν, ἥτις ἦν τὸ ὠφελεῖσθαι τοὺς καλλίω. ὁ μὲν γὰρ θεὸς ἤνεγκε τὰ σκεύη, ἀλλ' οὐκ αὐτὸς τὴν κακίαν αὐτῶν κατήρτισεν, ἀλλ' αὐτὰ διὰ τὸ αὐτεξούσιοι εἶναι ἔλαβε συνεργὸν τὸν πρωτοστάτην τῆς κακίας.

Ρωμ. 10,10. (V, f. 152v).

Καρδίᾳ γάρ, φησί, πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν[7]. ἀσαφὲς ἦν μοι τὸ λεγόμενον ἀεὶ διὰ τὸ οἴεσθαι τὸ καρδίᾳ γὰρ ὀνοματικῶς εἰρῆσθαι, ὕστερον δὲ ἐπέστησα ὅτι δοτικὴ πτῶσις τυγχάνει ὁμοίως τῷ στόματι. σαφέστερον δὲ ἔσται τὸ λεγόμενον προσθέσει ἄρθρου, ἵνα ᾖ· τῇ καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν[8]. τίς δὲ ὁ πιστευόμενος καὶ ὁμολογούμενος ἀλλ' ἢ ὁ Χριστός, ᾧ πιστεύσαντες ὁμολογοῦμεν τοῦτον κατὰ τὸ ἐπίστευσα, διὸ ἐλάλησα[9]. καὶ τοῦτο δὲ λεκτέον ὅτι ἤρκει μὲν ἡ καρδία εἰς ἀμφότερα, καὶ εἰς τὸ πιστεύειν καὶ εἰς τὸ ὁμολογεῖν, εἰ μὴ ἀναγκαῖον ἦν καὶ διὰ τοῦ στόματος ὁμολογεῖν, ἢ τοῖς διδάσκουσι τοὺς πιστευομένους ἢ ἐν διωγμοῖς ὁμολογεῖν καὶ μὴ ἀρνεῖσθαι.

Ρωμ. 12,2. (V, f. 176v - 177r· Π, f. 22r).

Εἰς τὸ δοκιμάζειν ὑμᾶς, φησί, τί τὸ θέλημα τοῦ θεοῦ, τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον[1']. τὴν διάνοιαν τούτου τοιαύτην εἶναι νομίζω, οἷον ὅπως ἑαυτοὺς δοκιμάζητε, εἰ θέλημα θεοῦ ἐστε, εἰ ἀγαθοί, εἰ εὐάρεστοι, εἰ τέλειοι. ταῦτα δὲ λέγει ὁμοίως τοῖς ἐν τῷ νόμῳ περὶ τῶν θυσιῶν παραγγέλμασιν, ὅπως τὸ προσφερόμενον ἄμωμον ᾖ, μὴ ψωριῶν, μὴ κολοβόκερκον[11].

1. Ρωμ. 9, 22. 2. Ρωμ. 9, 19. 3. Ρωμ. 9, 22. 4. ἐνθ. ἀν. 5. ἔνθ' ἀν. 6. ἔνθ' ἀνωτ. 7. Ρωμ. 10, 10. 8. ἔνθ' ἀν. 9. Ψαλμ. 115, 1. 10. Ρωμ. 12, 2. 11. Λευϊτ. 22, 21-23.

ἔστι δὲ τὰ εἰρημένα τέσσαρα ὑπὸ τοῦ Παύλου γενικώτατα καὶ συνεκτικώτατα πολλῶν εἰδῶν· τί γὰρ καλὸν λείπει τῷ θελήματι θεοῦ ὑπάρχοντι, **[55]** ὅπερ καὶ πρὸς τὴν Ἰερουσαλὴμ εἴρηται· οὐ γὰρ κληθήσῃ γῆ θελητή[1]; τί δὲ τῷ ἀγαθῷ οὐ πρόσεστι, περὶ οὗ, φησίν, ὁ ἀγαθὸς ἄνθρωπος[2] καὶ τὰ ἑξῆς; τί δὲ κάλλιον τοῦ εὐαρεστοῦντος καὶ μετατιθεμένου ὡς ὁ Ἐνώχ[3], εἰ μὴ αἰσθητῶς ἀλλ' οὖν ἐπὶ γῆς περιπατοῦντος καὶ ἐν οὐρανῷ τὸ πολίτευμα[4] ἔχοντος; τί δὲ μεῖζον καὶ ἐπαναβεβηκὸς τοῦ τελείου ὡς αὐτὸ τοὔνομα παρίστησιν, ὃ δὴ καὶ ὁ σωτὴρ παρῄνει τοῖς ἑαυτοῦ μαθηταῖς φάσκων· γίνεσθε τέλειοι καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν[5].

Ρωμ. 13,1. (V, f. 185rv· M, f. 292v· Π, f. 24v).

Πολλὰ ἐν τῇ συνηθείᾳ δοκεῖ μὲν καθολικώτερον λέγεσθαι, διακρίσεως δὲ δεῖται παρὰ τοῖς ἀκούουσιν, οἷον ὅταν ὁ Μωϋσέως νόμος διαγορεύῃ μὴ φονεύειν[6]. δοκεῖ μὲν καθολικῶς ἀποφαίνεσθαι, οὐ μὴν καθόλου ἀφεκτέον τοῦ φονεύειν τοῖς νομοθετουμένοις· καὶ γὰρ οἱ ἀμφὶ τὸν Ἰησοῦν τὸν τοῦ Ναυῆ τοσαῦτα ἐφόνευσαν ἔθνη[7], καὶ τῶν προφητῶν τινες ἐφόνευσαν, ὡς Ἠλίας, τοὺς ἱερεῖς τοῦ Βάαλ[8], καὶ Δαυὶδ πάλιν ἑτέρους[9] καὶ Σαμουὴλ τὸν Ἄγαγ[10]. διὸ τὸ οὐ φονεύσεις[11] οὕτως ἐκδεκτέον ἀντὶ τοῦ ἀδίκως οὐ φονεύσεις. οὕτως οὖν καὶ ἐνταῦθα, ἐὰν λέγηται· πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω[12], οὐχ ἡγητέον ὅτι κἂν ἀρνεῖσθαι προστάττῃ ἢ ἄλλο τι τῶν ψυχὴν βλαπτόντων, ἀλλ' ὅτε φόρους εἰσπράττονται καὶ τὰ τοιαῦτα, περὶ ὧν ὁ σωτὴρ ἔλεγεν· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ[13]. ὑποκαταβὰς δὲ καὶ αὐτὸς ὁ Παῦλός φησι· διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε[14].

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

Ρωμ. 7, 9. [M, f. 15r Καῖσαρ (=Ἀκακίου Ἐπισκόπου Καισαρείας)].

Ἀλλ' ὅπερ εἶπον, τὸ ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ[15], οὐ περὶ αὐτοῦ τοῦ Παύλου ληπτέον—οὐ γὰρ προϋπῆρχε τοῦ νόμου Παῦλος, ὁ ἔσχατος πάντων τῶν τοῦ νόμου φοιτητῶν—,

1. Μαλ. 3, 12. 2. Πρβλ. Ματθ. 12, 35. 3. Πρβλ. Σοφ. Σειρ. 44, 16. Ἑβρ. 11, 5. 4. Πρβλ. Φιλιπ. 3, 20. 5. Ματθ. 5, 48. 6. Ἔξ. 20, 15. Δευτ. 5, 17. 7. Σοφ. Σειρ. 46, 1-8. 8. Πρβλ. Γ' Βασ. 18, 40. 9. Πρβλ. Α' Βασ. 17, 50. 30, 17 κ.ά. 10. Πρβλ. Α' Βασ. 15, 33. 11. Ἔξ. 20,15. 12 Ρωμ. 13,1. 13. Ματθ. 22,21. Μάρκ. 12,17. Λουκ. 20,25. 14. Ρωμ. 13, 6. 15. Ρωμ. 7, 9.

οὐδ' αὖ πάλιν χωρὶς τούτου ποτὲ ἦν ἢ ἐγένετο—καὶ γὰρ τὸ εὐαγγέλιον κηρύττων τὰς νομικὰς μαρτυρίας παντὶ παρατίθησιν—, ἀλλ' ἐκ προσώπου τοῦ Ἀδὰμ ἀποδυρόμενος ταῦτά φησιν· ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ[1]. σαφέστερον δὲ ὡς ἐκ προσώπου τοῦ Ἀδὰμ ἀποδυρόμενος ταῦτά φησι, λευκαίνων τὸ νόημα, οὐκέτι νόμον ἀλλ' ἐντολὴν φάσκων, τὴν δοθεῖσαν τῷ Ἀδὰμ δηλονότι· ἐλθούσης δὲ τῆς ἐντολῆς, ὡσανεὶ δοθείσης, ἡ ἁμαρτία ἀνέζησέ φησιν, ἐγὼ δὲ ἀπέθανον[2] τῇ διὰ τῆς παρακοῆς ἐκπτώσει τῆς μακαρίας ζωῆς.

1. Ρωμ, 7,9. 2. Ρωμ. 7, 10.

ΕΥΣΕΒΙΟΣ ΕΜΕΣΗΣ (ca 300-359)

Α' ΕΙΣΑΓΩΓΙΚΑ

Ἐγεννήθη ἐν Ἐδέσσῃ τῆς Μεσοποταμίας, κατήγετο δ' ἐξ ἐπιφανοῦς οἰκογενείας. Ἐχρημάτισε μαθητὴς τοῦ Εὐσεβίου Καισαρείας καὶ τοῦ Πατροφίλου, ἐπισκόπου Σκυθοπόλεως. Τῷ 341 ἐγένετο ἐπίσκοπος Ἐμέσης ἐν Φοινίκῃ. Μετὰ τὴν καθαίρεσιν τοῦ Μ. Ἀθανασίου ὑπὸ τῆς ἐν Ἀντιοχείᾳ συνόδου, προσεφέρθη αὐτῷ ὁ θρόνος τῆς Ἀλεξανδρείας, ἀλλ' ἀπεποιήθη, ὀρθῶς φρονῶν «ὅτι εὑρήσει μῖσος παρὰ Ἀλεξανδρεῦσιν, οὐκ ἀνεχομένοις ἕτερον ἀντὶ Ἀθανασίου ἰδεῖν» (Σωζομ., Ἐκκλ. Ἱστ. 3,6). Κατηγορηθεὶς ὑπὸ τῶν Ἐμεσηνῶν ὡς καταγινόμενος εἰς τὴν ἀστρονομίαν καὶ τὴν μαγείαν, ἀνεχώρησεν ἐξ Ἐμέσης καὶ ἦλθεν εἰς Λαοδίκειαν πρὸς τὸν ἐπίσκοπον Γεώργιον, μεθ' οὗ συνεδέετο διὰ φιλίας. Βραδύτερον ἐπανῆλθεν εἰς τὴν ἐπισκοπήν του τῇ μεσιτείᾳ τοῦ φίλου του Γεωργίου (Σωζομ. Ἐκκλ. Ἱστορ. 3,6). Ἰδιαιτέρας ἐκτιμήσεως ἀπέλαυε παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίου: «Ἐγένετο δὲ Κωνσταντίῳ τῷ βασιλεῖ κεχαρισμένος· ἀμέλει τοι ἡνίκα Πέρσαις ἐπιστράτευσιν ἔμελλεν, αὐτὸν ἐπήγετο» (Σωζομ. Ἐκκλ. Ἱστ. 3,6). Κατηγορήθη ὡς φίλα φρονῶν τῷ Σαβελλίῳ. Πάντως βέβαιον φαίνεται, ὅτι ἦτο ἡμιαρειανικῶν φρονημάτων. Ὁ Ἱερώνυμος, καίτοι ψέγει τὰ ἀρειανικά του φρονήματα, ὁμολογεῖ ἐν τούτοις ὅτι ὁ Εὐσέβιος ἦτο εὐφυὴς καὶ ῥητορικὸς καὶ ὅτι διεκρίνετο διὰ τὸ καλλιεπὲς ὕφος τοῦ λόγου: «elegantis et retorici ingenii» (Vir. ill. 91). Ἀπέθανε καὶ ἐτάφη ἐν Ἀντιοχείᾳ τῷ 359, ἐπὶ αὐτοκράτορος Κωνσταντίου (Ἱερων., Vir. ill. 91: «Eusebius Emesenus episcopus ..... floruit temporibus Constantii imperatoris, sub quo et mortuus, Antiochiae sepultus est».

Συγγράμματα.

Ὁ Εὐσέβιος Ἐμέσης ἔγραψε συγγράμματα ἀπολογητικὰ (κατὰ Ἰουδαίων καὶ Ἐθνικῶν), ἑρμηνευτικὰ (εἰς Γαλάτας καὶ ἑρμηνευτικὰς ὁμιλίας εἰς τὰ εὐαγγέλια) καὶ ἄλλα. (Πρβλ. Ἱερων. Vir. ill. 91. Σωκράτους, Ἐκκλ. Ἱστ. 2,9. Σωζομένου, Ἐκκλ. Ἱστ. 3,6. Θεοδωρήτου, Αἱρετ. κακομυθ. Ι, 25-26. Ἐπιφανίου, Πανάριον 66,21).

Πολλὰ ἐκ τῶν συγγραμμάτων του ἀπωλέσθησαν. Τελευταίως ἀνεκαλύφθησαν εἴκοσι καὶ ἐννέα ἐκ τῶν λόγων του διασωθέντες πλήρεις εἰς παλαιὰν λατινικὴν μετάφρασιν (τοῦ τέλους τοῦ Δ' ἢ τῶν ἀρχῶν τοῦ Ε' αἰῶνος) ἐκδοθέντες δὲ ἐσχάτως εἰς κριτικὴν ἔκδοσιν εἰς δύο τόμους ὑπὸ τοῦ Robert Devreesse (ἰδὲ βιβλιογραφίαν). Εἷς ἄλλος λόγος τοῦ Εὐσεβίου («περὶ μετανοίας») εὑρίσκεται εἰς

τὸ ἑλληνικὸν πρωτότυπον μεταξὺ τῶν ἀποκρύφων τοῦ Μ. Βασιλείου[1]. *Κατὰ τὸν Ε. Μ. Buytaert πιθανῶς ὁ λόγος οὗτος μετὰ τοῦ πρώτου ἀποσπάσματος τῆς συλλογῆς Τ. 523*[2] *ἀποτελεῖ τὸ «βιβλίον» κατὰ τῶν Ἰουδαίων καὶ Ἐθνικῶν καὶ Νοβατιανῶν, περὶ τοῦ ὁποίου ποιεῖται λόγον ὁ Ἱερώνυμος*[3]. *Ὡσαύτως κείμενα ἐξ ὀκτὼ τοὐλάχιστον ἄλλων λόγων του ὑπάρχουν εἰς εἴκοσι καὶ ὀκτὼ ἀποσπάσματα εἰς τὴν Συριακὴν διασωθέντα ὑπὸ τοῦ μονοφυσίτου Φιλοξένου τοῦ Mabboug*[4]. *Εἰς τὴν αὐτὴν γλῶσσαν διεσώθησαν ὡσαύτως μικρὸν ἀπόσπασμα περὶ νηστείας*[5] *καὶ ἕτερον ὑπὸ τοῦ Ἰακώβου Ἐδέσσης παρατιθέμενον, καὶ προερχόμενον ἐκ λόγου τοῦ Εὐσεβίου, ὅστις δὲν εἶναι δυνατὸν ἐπακριβῶς νὰ καθορισθῇ*[6]. *Τέσσαρες ἐπίσης λόγοι του διεσώθησαν ἀποσπασματικῶς εἰς τὴν ἀρμενικήν, ἀσφαλῶς δὲ θὰ ὑπάρχουν καὶ ἕτερα ἀποσπάσματα εἰς τὴν αὐτὴν γλῶσσαν. Εἰς ἀρμενικὴν μετάφρασιν διεσώθη καὶ μέρος τῶν ἐξηγητικῶν ἔργων του.*

Προκειμένου περὶ τῶν ἑλληνικῶν ἀποσπασμάτων, ἂν ἐξαιρέσωμεν τὸ ὑπὸ τοῦ Θεοδωρήτου ἐν τῷ Ἐρανιστῇ (Διάλογος Γ' Ἀπαθής) παρατιθέμενον[7], *τὰ ἄλλα προέρχονται ἐκ σειρῶν ἑρμηνευτικῶν. Ἐκ τοῦ ὑπομνήματος εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ ὑπὸ τοῦ Ἱερωνύμου μνημονευομένου ἐλάχιστα ἀποσπάσματα διεσώθησαν. Μέγας ἀριθμὸς τούτων προερχόμενος ἐκ διαφόρων σειρῶν ἀναφέρεται εἰς τὰ ὀκτὼ πρῶτα βιβλία τῆς Παλαιᾶς Διαθήκης*[8]. *Πληρεστέρα τῆς ὑπὸ τοῦ Ε.Μ. Buytaert γενομένης ἐκδόσεως τούτων εἶναι ἡ ὑπὸ τοῦ Robert Devreesse γενομένη*[9].

Κατὰ τὸν R. Devreesse πάντα τὰ κείμενα, ἅτινα παραθέτει, δὲν εἶναι ἀποσπάσματα πλήρους ὑπομνήματος εἰς τὰ ἱστορικὰ βιβλία τῆς Παλαιᾶς Διαθήκης. Πρόκειται μᾶλλον περὶ ἐρωταποκρίσεων, ἔργου ἑρμηνευτικοῦ καὶ ἀπολογητικοῦ, διασωθέντος ὑπὸ δύο

---

1. P.G. 31, 1476-1488. Τὸ κείμενον θὰ παρατεθῇ μετὰ τῶν λοιπῶν ἔργων τοῦ Μ. Βασιλείου.

2. Τὸ χειρόγραφον Troyes 523 ἀνεκαλύφθη πρὸ πεντηκονταετίας, περιέχει δὲ δέκα ἑπτὰ ἐκ τῶν προαναγραφεισῶν εἴκοσι καὶ ἐννέα ὁμιλιῶν.

3. E.M. Buytaert.. L' héritage littéraire d' Eusèbe d' Emèse. Louvain 1949 σ. 191.

4. Ἔνθ' ἀν. σ. 30.

5. Ἔνθ' ἀν. σ. 123.

6. Ἔνθ' ἀν. σ. 34.

7. P.G. 83, 312C-317A.

8. E. M. Buytaert... ἔνθ' ἀν., σ. 95-143*. Ὁ Ε. Μ. Buytaert παραθέτει ἐν συνεχείᾳ (σ. 144-154) τὰ ὑπὸ τοῦ Κ. Staab ἐκδοθέντα ἀποσπάσματα ἄνευ οὐδεμιᾶς μεταβολῆς.*

9. Les anciens commentateurs grecs de l' Octateuque et des Rois (Fragments tirés des chaînes) Città del Vaticano 1959. Ἐν τῇ μελέτῃ ταύτῃ γίνεται λόγος καὶ περὶ τῆς ἱστορίας τῆς ἐκδόσεως τῶν ἀποσπασμάτων τούτων (σ. 55-57).

μορφάς. Περὶ τῶν ἀμφιβόλου γνησιότητος ἔργων τοῦ Εὐσεβίου ὡς καὶ τῶν μὴ γνησίων ἔχομεν νὰ παρατηρήσωμεν τὰ ἑξῆς:

Ὁ E.M. Buytaert κατατάσσει εἰς τὰ ἀμφιβαλλόμενα τὸ εἰς τὴν ἀρμενικὴν διασωθέν, ὡς καὶ ὡρισμένα ἐξηγητικὰ ἀποσπάσματα.

Ὡς μὴ γνήσια θεωρεῖ τὰ ἑξῆς ἔργα:

1) Τὰς ὁμιλίας I-IX καὶ XI-XIII τῆς συλλογῆς τοῦ Aucher (διεσώθησαν ἀρμενιστὶ καὶ ἐν μέρει ἑλληνιστί)[1].

2) De die dominica[2] (ἑλληνιστί, συριστί).

3) De ascensione Domini (ἑλληνιστί, ἀρμενιστί).

4) De tribus Habitaculis (λατινιστί).

5) Τὸ ἀπόσπασμα τὸ εὑρισκόμενον παρὰ τῷ Frowin d' Engelberg (λατινιστί).

6) Μερικὰ ἐκ τῶν ἀποσπασμάτων τῶν ἐξηγητικῶν σειρῶν (ἑλληνιστί)[3].

Ὡσαύτως μὴ γνήσιαι εἶναι αἱ 145 ὁμιλίαι αἱ περὶ τὰ μέσα τοῦ ιστ' αἰ. ὑπὸ τὸ ὄνομα τοῦ Εὐσεβίου Ἐμέσης ἐν Παρισίοις δημοσιευθεῖσαι (Divi Eusebii Episcopi Emiseni, homiliae de tempore et de sanctis, Paris 1554 καὶ οἱ ἐν τῇ ἐκδόσει τοῦ Migne παρατιθέμενοι δύο λόγοι (P.G. 86, 509-536).

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

ΕΚΔΟΣΕΙΣ - ΜΕΛΕΤΑΙ (κατ' ἐπιλογήν).

J. C. Thilo: Über die Schriften des Eusebius von Alexandrien und des Eusebius von Emisa. Halle 1932. E. M. Buytaert: L' héritage littéraire d' Eusèbe d' Emèse. Etude critique et historique. Textes. Louvain 1949. Τοῦ αὐτοῦ: Eusèbe d' Emèse. Discours conservés en latin. I. La collection de Troyes (I-XVII) II. La collection de Sirmond (XVIII-XXIX). Louvain 1953, 1957. Robert Devreesse: Les anciens commentateurs grecs de l'Octateuque et des Rois (Fragments tirés des chaînes. Città del Vaticano. Biblioteca Apostolica Vaticana 1959). Τοῦ αὐτοῦ: Anciens com-

1. Τῆς συλλογῆς ταύτης, τῆς εἰς τὸν Σεβηριανὸν Γαβάλων ἀποδιδομένης ὡς εἴδομεν, αἱ δύο τελευταῖαι ὁμιλίαι (XIV-XV) ἀνήκουν εἰς τὸν Εὐσέβιον Ἐμέσης. Ἐπίσης ἡ ἑβδόμη ὁμιλία διασωθεῖσα καὶ ἑλληνιστὶ εὑρίσκεται μεταξὺ τῶν νόθων ἔργων τοῦ Ἰωάννου τοῦ Χρυσοστόμου (P.G. 56,553-564). Ἀναλυτικώτερον ἰδὲ E. M. Buytaert.... ἔνθ' ἀν. σ. 136-144.

2. «Περὶ τῆς Κυριακῆς» P.G. 36, 413-421. Διεσώθη ὑπὸ τὸ ὄνομα τοῦ Εὐσεβίου Ἀλεξανδρείας.

3. Προκειμένου περὶ τῶν ἀποσπασμάτων ὀρθότεραι εἶναι αἱ ἀπόψεις τοῦ R. Devreesse, ὅστις ποιεῖται ὀξεῖαν κριτικὴν εἰς τὸν E.M. Buytaert.

mentateurs grecs de l' Octateuque. Revue Biblique 45, 1936 σ. 201-211. *N. Akinian: Handes Amsorya* 1956 σ. 289-30, 385-416, 1957 σ. 130, 257-266, 1958, σ. 1-22, 161-182, 449-474 (*λόγοι εἰς τὴν ἀρμενικήν*). *K. Staab: Pauluskommentare aus der griechischen Kirche. Münster* 1933 σ. 46-52. *A. Wilmart: Le souvenir d' Eusèbe d' Emèse. Un discours en l' honneur des saints d' Antioche Bernice, Prosdoce et Domnine; Analecta Bollandiana* 38, 1920 σ. 263-284 (*disc. VI De martyribus*). *Τοῦ αὐτοῦ Un discours théologique d' Eusèbe d' Emèse: Le Fils image du Père. Revue de l'Orient Chrétien* 22, 1921 σ. 32-94 (*disc. V De imagine*). *G. Bardy: La littérature patristique des «questiones et responsiones» sur l'Ecriture Sainte. Eusèbe d' Emèse. Revue Biblique t.* 41, 1932 σ. 342-343. *Ἰδὲ καὶ τὰς Πατρολογίας τῶν O. Bardenhewer: Geschichte der altkirchlichen Literatur III. Freiburg i. B.* 1923. *Johannes Quasten* (*Patrology vol. III ἔνθ' ἀν.* σ. 348-351 *καὶ Berthold Altaner-Alfred Stuiber* (*Patrologie 7Aufl. Freiburg i. B.* 1966 σ. 244, *ἔνθα καὶ εὐρυτέρα βιβλιογραφία*.

Κωνσταντῖνος Μπόνης Δρ. Θ. καὶ Φ.
Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

Β′ ΚΕΙΜΕΝΑ

Α′. ΕΚ ΤΩΝ ΛΟΓΩΝ ΤΟΥ ΕΥΣΕΒΙΟΥ ΕΜΕΣΗΣ *

ΕΥΣΕΒΙΟΥ ΕΜΕΣΗΝΟΥ ΕΚ ΤΟΥ ΛΟΓΟΥ ΠΕΡΙ ΤΟΥ ΑΥΤΕΞΟΥΣΙΟΥ ΚΑΙ ΒΟΥΛΗΣΕΩΣ ΤΟΥ ΠΑΥΛΟΥ ΚΑΙ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΘΟΥΣ

[I]

[9*] 1. ...Τίνος δ' ἕνεκα φοβεῖται τὸν θάνατον; Μή τι πάθῃ ἀπὸ τοῦ θανάτου; Τί γὰρ ἦν αὐτῷ θάνατος; οὐχὶ τὸ ἀναχωρῆσαι τὴν δύναμιν ἀπὸ τῆς σαρκός; Μὴ γὰρ ἧλον ἐδέξατο ἡ δύναμις, ἵνα φοβηθῇ. Εἰ γὰρ ἡ ψυχὴ ἡμῶν οὐ πάσχει τὰ τοῦ σώματος συνοῦσα, ἀλλὰ τυφλοῦται ὀφθαλμὸς καὶ ἡ διάνοια ἔρρωται, καὶ κόπτεται πούς καὶ οὐ χωλεύει λογισμός. — καὶ ἡ φύσις μαρτυρεῖ, καὶ ὁ Κύριος ἐπισφραγίζει, ὁ λέγων. Μὴ φοβῆσθε τοὺς δυναμένους ἀποκτεῖναι τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένους ἀποκτεῖναι[1]. Εἰ τὴν ψυχὴν [ἀποκτεῖναι] οὐ δύνανται, οὐχ ἢ οὐ βούλονται οἱ ποιοῦντες ἀλλ' ἢ οὐ δύνανται, κἂν θελήσωσι παθεῖν τὰ τοῦ σώματος τοῦ **[10*]** συνεζευγμένου. Ὁ κτίσας τὴν ψυχὴν καὶ πλάσας τὸ σῶμα[2], οὗτος πάσχει τὰ τοῦ σώματος, εἰ καὶ τὰ μάλιστα ἀναδέχεται τοῦ σώματος εἰς ἑαυτὸν τὰ παθήματα;

2. Ἀλλὰ γέγραπται, φησί, ὅτι ἔπαθε Χριστὸς ὑπὲρ ἡμῶν[3]. Οὐ ψευδόμεθα. Ἔδωκε γὰρ ἑαυτὸν ὃς ἔδωκεν· ὁ γὰρ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν[4], ἣν ἔδωκεν ὑπὲρ ἡμῶν. Ἐκρατήθη τὸ κρατούμενον, ἐσταυρώθη τὸ σταυρούμενον· ὁ δὲ ἔχων ἐξουσίαν καὶ ἐνοικῆσαι καὶ ἀναχωρῆσαι, τόδε λέγει· Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου[5], οὐκ εἰς χεῖρας βιαζομένων τὴν ἔξοδον.

3. Οὐκ εἰμὶ φιλόνεικος, ἀλλὰ καὶ ἀπέχομαι φιλονεικίας. Μετὰ πρᾳότητος δὲ περὶ τῶν ἀμφιβαλλομένων βούλομαι πυθέσθαι ὡς ἀδελφῶν. Οὐκ ἀληθεύων λέγω, ὅτι ἡ δύναμις οὐκ ἠδύνατο δέξασθαι τῆς σαρκὸς τὰ παθήματα; Ἐγὼ οὖν σιωπῶ· ὁ δὲ βουλόμενος λεγέτω

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ E. M. Buytaert. «L' héritage littéraire d' Eusèbe d' Emèse». Louvain 1949 σ. 9*-29*·

1. Πρβλ. Ματθ. 10, 28. 2. Πρβλ. Γέν. 2,7. 3. Πρβλ. Α′ Πέτρ. 2,21. 4. Ἰω. 6,51. 5. Λουκ. 23,46 Πρβλ. Ψαλμ. 30,6.

τί ἔπαθεν ἡ δύναμις. Ἐξέλιπεν; ὅρα τὸν κίνδυνον. Ἀπέσβη; ὅρα τὴν βλασφημίαν. Οὐκ ἔτι ἦν; τοῦτο γάρ ἐστι δυνάμεως θάνατος. Εἰπὲ τί δύναται κρατῆσαι ὅτι ἔπαθε, καὶ οὐ φιλονεικῶ; Εἰ δὲ [11*] οὐκ ἔχεις εἰπεῖν, τί μοι ἀγανακτεῖς, ὅτι οὐ λέγω, ὃ οὐκ ἔχεις; Οὐκ ἐδέξατο ἧλον. Πῆξον εἰς ψυχήν, καὶ δέξομαι εἰς δύναμιν.

4. Ἀλλὰ συνέπαθεν. Ἑρμήνευσόν μοι τὸ συνέπαθεν· τί ἐστι τὸ συνέπαθεν; οἷον εἰς τὴν σάρκα ἧλος, εἰς δὲ τὴν δύναμιν ὁ πόνος. Τοῦτο εἴπωμεν τὸ συνέπαθεν. Ἤλγησεν ἡ δύναμις ἡ μὴ τυπτομένη. Πάντως γὰρ τὸ ἄλγημα ἀκολουθεῖ τῷ παθήματι. Εἰ δὲ καὶ σῶμα πολλάκις ἐῤῥωμένης τῆς διανοίας καταφρονεῖ τῶν ἀλγημάτων, διὰ τὴν ἰσχὺν τοῦ ἐνθυμήματος ἐνταῦθα ἑρμηνευέτω τις ἀφιλονείκως ἢ τί ἔπαθεν, ἢ τί συνέπαθεν.—Τί οὖν; Οὐκ ἀπέθανεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν[1]; Πῶς ἀπέθανε; Πάτερ, εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου[2]. Ἀνεχώρησε τὸ πνεῦμα, ἔμεινε τὸ σῶμα, ἄπνουν ἔμεινε τὸ σῶμα. Οὐκ ἀπέθανεν οὖν; Ἀπέθανεν ὑπὲρ ἡμῶν[3]. Πῶς; ὡς γέγραπται· οὐκ ὡς ἐπινοῶ, ἀλλ' ὡς ἀκούω· ἀπέθανεν ὑπὲρ ἡμῶν[4]. Ὁ ποιμὴν προσήνεγκε τὸ πρόβατον, ὁ ἱερεὺς προσήνεγκε τὸ θῦμα, ἔδωκεν ὑπὲρ ἡμῶν ἑαυτόν[5]· καὶ ὅς τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων ἔδωκεν[6] αὐτοῦ τὸν υἱόν. Οὐκ ἀθετῶ τὰ ῥητά, ζητῶ δὲ τῶν ῥητῶν τὴν διάνοιαν. Λέγει ὁ Κύριος, ὅτι ὁ ἄρτος τοῦ Θεοῦ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ[7] καὶ ἑρμηνεύων, εἰ καὶ οὐ δύναμαι σαφέστερον εἰπεῖν διὰ τὰ μυστήρια. Τοσοῦτον δὲ λέγει, ὅτι ἡ σάρξ [12*] μού ἐστιν[8]—Ἡ σάρξ τοῦ υἱοῦ ἀπ' οὐρανῶν κατῆλθεν; οὐ κατῆλθεν ἀπ' οὐρανοῦ. Πῶς οὖν λέγει· ὁ ἄρτος τοῦ Θεοῦ[9] ζῇ καὶ καταβέβηκεν ἐκ τῶν οὐρανῶν, καὶ ἑρμηνεύων; Ἐπειδὴ ἀναλαβοῦσα ἡ δύναμις ἀπ' οὐρανῶν κατῆλθεν, ὃ ἔχει ἡ δύναμις, ἀναλογίζεται τῇ σαρκί. Οὐκοῦν ἀντίστρεψον, ἃ πάσχει ἡ σάρξ, ἀναλογίζεται τῇ δυνάμει.

Πῶς ἔπαθε Χριστὸς ὑπὲρ ἡμῶν[1]; Ἐνεπτύσθη, ἐτύφθη ἐπὶ κόῤῥης, περιέθηκαν στέφανον περὶ μέτωπον, ὠρύχθησαν αὐτοῦ χεῖρες καὶ πόδες. Ταῦτα πάντα παθήματα περὶ σῶμα, ἀναφέρεται δὲ ἐπὶ τὸν ἐνοικοῦντα. Ῥίψον λίθον εἰς εἰκόνα βασιλέως, τί τὸ λεγόμενον; βασιλέα ὕβρισας. Περίσχισον ἱμάτιον βασιλέως, τί τὸ λεγόμενον; βασιλεῖ ἐπανέστης. Σταύρωσον σῶμα Χριστοῦ, τί τὸ λεγόμενον; Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν[11]. Τίς δὲ χρεία ἐμοῦ καὶ σοῦ; προσέλθωμεν τοῖς εὐαγγελισταῖς· πῶς παρελάβετε παρὰ Κυρίου, πῶς ἀπέθανεν ὁ Κύριος; Ἀναγινώσκουσιν ὅτι

1. Ρωμ. 5,8. 2. Λουκ. 23,46 Πρβλ. Ψαλμ. 30,6. 3. Πρβλ. Α' Θεσ. 5,10 κ.ἁ. 4. ἔνθ' ἀν. 5. Τίτ. 2,14. Πρβλ. Γαλ. 1,4. 6. Πρβλ. Ρωμ. 8,32. 7. Πρβλ. Ἰω. 6, 33. 8. Ἰω. 6, 51. 9. Ἰω. 6, 33. 10. Πρβλ. Α' Πέτρ. 2, 21. 11. Ρωμ. 5, 8.

Π ά τ ε ρ, ε ἰ ς τ ὰ ς χ ε ῖ ρ ά ς σ ο υ π α ρ α τ ί θ η μ ι τ ὸ π ν ε ῦ μ ά μ ο υ[1]. Τὸ πνεῦμα ἄνω, καὶ τὸ σῶμα ἐπὶ σταυροῦ ὑ π ὲ ρ ἡ μ ῶ ν. Προσήνεγκε γὰρ τὸ πρόβατον.

Ὅσα εἰς τὸ σῶμα αὐτῷ λογίζεται....

[II]

[13*] 1. ...Τὴν ἡμετέραν φύσιν ἦλθε σῶσαι, οὐ τὴν ἑαυτοῦ ἀπολέσαι. Ἐὰν θελήσω εἰπεῖν ὅτι κάμηλος πέταται, εὐθὺς ξενίζεσθε, ὅτι οὐχ ἁρμόττει τῇ φύσει. καὶ καλῶς ποιεῖτε. Ἐὰν δὲ θελήσω εἰπεῖν ὅτι ἄνθρωποι θάλατταν οἰκοῦσιν, οὐκ ἀνέχεσθε, καλῶς γε ποιοῦντες· οὐ γὰρ δέχεται ἡ φύσις. Ὥσπερ οὖν, ἐὰν εἴπω ξένα περὶ τούτων τῶν φύσεων, ξενίζεσθε οὕτως ἐὰν εἴπω, ὅτι ἐκείνη ἡ δύναμις ἡ πρὸ αἰώνων, ἡ ἀσώματος τὴν φύσιν, ἡ ἀπαθὴς τὴν ἀξίαν, ἡ οὖσα π ρ ὸ ς τ ὸ ν Πατέρα[2] ἡ π α ρ ὰ τ ῷ Π α τ ρ ί[3] ἡ ἐ κ δ ε ξ ι ῶ ν[4], ἡ ἐ ν δ ό ξ ῃ[5], ἐὰν εἴπω, ὅτι ἐκείνη ἡ φύσις ἡ ἀσώματος πάσχει, οὐχὶ τὰ ὦτα ὑμῶν κρατεῖτε; Ἐὰν μὴ κρατησήτε ὑμῶν τὰ ὦτα, ταῦτα ἀκούοντες, κρατήσω μου τὴν καρδίαν.

2. Ἆρα ἀγγέλῳ, δυνάμεθά τι ποιῆσαι, οἷον ξίφει κροῦσαι ἢ ἥλῳ σχίσαι; Τί λέγω ἀγγέλῳ; ψυχῇ δυνάμεθα; οὐ δέχεται ἧλον ψυχή, οὐ τέμνεται ἡ ψυχή, οὐ καίεται. Κἂν εἴπῃς μοι· διατί; λέγω σοι· οὕτως γὰρ ἐκτίσθη.

[14*] Τὰ ἔργα αὐτοῦ ἀπαθῆ καὶ αὐτὸς ἐμπαθής; Οὐκ ἀθετῶ τὴν οἰκονομίαν, ἀσπάζομαι δὲ τὰς κακουργίας· ἀ π έ θ α ν ε Χ ρ ι σ τ ὸ ς ὑ π ὲ ρ ἡ μ ῶ ν[6] καὶ ἐ σ τ α υ ρ ώ θ η[7]. Οὕτως γέγραπται, οὕτως ἐδέχετο ἡ φύσις, οὔτε τὰ ῥήματα ἀπαλείφω, οὔτε φύσιν βλασφημῶ· ἀλλ' οὐκ ἀληθῆ ταῦτα; λεγέσθω τ' ἀληθέστερα. Εὐεργέτης οὐ χαλεπαίνων ὁ διδάσκων, οὐκ ἐχθρός, ἐὰν μὴ ἀγνώμων ᾖ ὁ διδασκόμενος. Ἔχεις τι καλὸν εἰπεῖν· ἤνοικται τὰ ὦτα μετὰ χάριτος. Φιλονεικεῖ τις· σχολάζων ἀκολουθῇ φιλονεικίᾳ. Ἴσχυσαν Ἰουδαῖοι τὸν υἱὸν τοῦ Θεοῦ σταυρῶσαι, αὐτὴν τὴν δύναμιν νεκρῶσαι; Δύναται ζῶν ἀποθανεῖν; Ὁ θάνατος τῆς τοιαύτης δυνάμεως, ἔκλειψις αὐτῆς ἐστι. Τὸ σῶμα ἡμῶν, ὅταν ἀποθάνωμεν, μένει· ἐὰν ἐκείνην τὴν δύναμιν νεκρώσωμεν, εἰς ἀνυπαρξίαν αὐτὴν καταφέρομεν. Οὐκ οἶδα εἰ οὐκ ἠδυνήθητε ἀκοῦσαι. Τὸ σῶμα ἐὰν ἀποθάνῃ, ἡ ψυχὴ χωρίζεται καὶ μένει. Ἐὰν δὲ ψυχὴ ἀποθάνῃ ἐπειδὴ ἀσώματός ἐστιν, ὅλως οὐκ ἔστιν. Ψυχὴ ἀποθνήσκουσα ὅλως οὐκ ἔστιν· εἰς ἀνυπαρξίαν γάρ ἐστι τῶν ἀθανάτων ὁ θάνατος.

[15*] 4. Νόησον τὸ ἕτερον· οὐ γὰρ τολμῶ οὐδὲ εἰπεῖν. Ταῦτα λέγομεν ὡς νοοῦμεν. Οὐ νομοθετοῦμεν δέ, εἴ τις φιλονεικεῖ. Ἓν δὲ οἶδα, ὅτι

---

1. Λουκ. 23, 46. 2. Πρβλ. Ἰω. 1, 1.2. 3. Ἰω. 8, 38. 4. Πρβλ. Ματθ. 22, 44. 26, 64. Μάρκ. 16, 19 κ. ἀ. 5. Πρβλ. Ματθ. 16,27 Α' Τιμ. 3, 16. 6. Ρωμ. 5, 8. 7. Πρβλ. Β' Κορ. 13, 4. Ἀποκ. 11, 8. Α' Κορ. 1,13.

ἕκαστος ἀφ' ὧν φρονεῖ, ἀπὸ τούτων ἔχει ἀπολαῦσαι· καὶ ἀπέρχεται ἕκαστος πρὸς τὸν Θεόν, καὶ προβάλλεται ὃ εἶπε περὶ αὐτοῦ καὶ ἐφρόνησε. Μὴ γὰρ νομίζετε, ὅτι βίβλους ἀναγινώσκει ὁ Θεὸς ἢ μνήμαις ὀχλεῖται. Τί εἶπες, καὶ Τίς ἤκουσε; Φανερὰ πάντα. Κάθηται ὁ κριτής. Φέρεται Παῦλος ὁ ἐνταῦθα· ἄνθρωπόν με εἶπες, οὐκ ἔχεις ζωὴν μετ' ἐμοῦ· ἐπειδὴ οὐκ ἔγνως με, οὐ γινώσκω σε. Προσέρχεται ἄλλος· εἶπές με ἓν τῶν ὄντων, οὐκ ἔγνως μου τὴν ἀξίαν· οὐ γινώσκω σε. Προσέρχεται ἄλλος· εἶπες ὅτι οὐκ ἀνέλαβον σῶμα, ἠθέτησάς μου τὴν χάριν· οὐ μεταλήψῃ μου τῆς ἀθανασίας. Προσῆλθεν ἄλλος· εἶπες ὅτι οὐκ ἐγεννήθην ἐκ παρθένου, ἵνα σώσω τὸ σῶμα τῆς παρθένου· οὐ σωθήσῃ.

Ἕκαστος ἀποφέρεται τὰ φρονήματα περὶ πίστεως...

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΕΜΕΣΗΝΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ

[16*] 1. Τῶν τὴν μετάνοιαν ἀναιρεῖν τολμώντων τὴν ἀλαζονείαν μὴ ἐνεγκών, ὁ τιμιώτατος ἀδελφὸς δεύτερον ἡμῖν ἐπίταγμα προσέταξε, τούτων τὸ ὑπερήφανον βλέπων· σώφρονα δὲ τοῖς ἀδελφοῖς ὀρέξαι δεξιὰν εἰς μετάνοιαν. Χρησιμώτατος δὲ οὗτος ὁ λόγος ἀνθρώποις· ἀνθρώπων γὰρ οὐδεὶς *ἀναμάρτητος*. ἑνὶ γὰρ μαρτυρεῖται, *ὅτι* ἁμαρτίαν *οὐκ ἐποίησεν*[1].

2. Λέγωμεν οὖν περὶ μετανοίας ἐκ Παλαιᾶς τε καὶ Καινῆς· οὗτοι γὰρ τῆς Ἐκκλησίας οἱ θησαυροί. Συνιστῶμεν δὲ μετάνοιαν, οὐχ ἁμαρτίαν ἀδελφοῦ προτρεπόμενοι,—οὐ γὰρ ἐπ' ἐλπίδι μετανοίας βουλόμεθα ἁμαρτάνειν τὸν ἁμαρτήσαντα, — ἀλλ' ἀναστῆσαι τὸν πεσόντα σπεύδοντες. Ἡ γὰρ παρὰ τῶν ἐναντίων εἰσαγομένη ἀνελπιστία τὸν ἅπαξ πεσόντα συνειλεῖσθαι τοῖς ἁμαρτήμασι προτρέπεται, ἡ δὲ προσδοκία τῆς μετανοίας τὸν πεσόντα ἀνίστησι καὶ μηκέτι ἁμαρτάνειν προτρέπεται. Τίνες δὲ ἐσμὲν τῷ Θεῷ νομοθετοῦντες; Βούλεται ὁ Θεὸς ἀφιέναι καὶ τίς ὁ κωλύων; Ὅτι ἡμῖν λέγομεν οὐ τί ἐκεῖνοι τολμῶσιν, ἀλλὰ τί ὁ Θεὸς προστάσσει· *μὴ ὁ πίπτων οὐκ ἀνίσταται*[2]; Τί οὖν; ἀντιφθεγξόμεθα τῷ Θεῷ· *ὁ πίπτων οὐκ ἀνίσταται*;

[17*] 3. Οὐκ ἔπεισέ σε ψιλῷ ῥήματι, πείσει σε δι' ὑποδείγματος ἐνεργείας. Τί γὰρ οὗτος ἄπλυτον *ὡς κόκκινον*; τί δὲ λευκὸν παρ' ἡμῖν ὡς χιών, ἢ *ὡς ἔριον* καθαρόν[3]; Φησὶν ὁ ταῦτα πλάσας, ὅτι *ἐὰν γένωνται αἱ ἁμαρτίαι ὑμῶν ὡς*[4] τὰ ἄπλυτα χρώματα, εἰ λούσοισθε, μεταπίπτει εἰς καθαρότητα χιόνος.—Ἀλλ' οὐ μετὰ τὸ βάπτισμά ἐστιν αὕτη ἡ ἄφεσις· εἶπε γάρ, φησί· *λούσασθε*,

1. Πρβλ. Ἠσ. 53, 9. 2. Ἱερ. 8, 4. 3. Πρβλ. Ἠσ. 1, 18. 4. ἔνθ' ἄν.

καθαροὶ γένεσθε[1].—Τοῦτο δὲ μάλιστα παρ' ἡμῶν ἠτήσασθε, εἰ δυνάμεθα ἀπὸ Γραφῆς δεῖξαι, ὅτι μετὰ τὸ βάπτισμα ἔσται συγχώρησις· οὐ γὰρ τὰ εὔκολα δεῖ ἐκλεγόμενον ἀντιλέγειν, ἀλλὰ πρὸς αὐτὰ τὰ δοκοῦντα ἰσχυρὰ ἐν τῷ ἐναντίῳ λόγῳ δεῖ ἐνίστασθαι. Ἐφ' ὅσον γὰρ τὰ ἀντιπίπτοντα οὐκ αἴρεται ἀπὸ τῆς ψυχῆς, οὐδὲ ἔχει χώραν γλυκαίνεσθαι τὰ γλυκέα.

4. Λέγομεν δὲ ἀπὸ Παλαιᾶς, ἀλλ' εἴπομεν τί ἀντιλέγουσι πρὸς τὰ ἐκ τῆς Παλαιᾶς λεγόμενα· λέγουσι γὰρ ὅτι πρὸ τοῦ πάθους τοῦ Σωτῆρος, πρὸ τοῦ τὸ αἷμα τὸ ἅγιον ὑπὲρ ἡμῶν ἐκχυθῆναι, ἐὰν ἀπὸ τῆς Παλαιᾶς ἀναγνῶτε ἡμῖν περὶ μετανοίας, λέγομεν ὅτι ἐν τῇ Παλαιᾷ συγκεχώρηται· ἐν δὲ τῇ Καινῇ διὰ τὸ πάθος, οὐκ ἔσται συγχώρησις. Ἐὰν ἀπὸ τῆς Καινῆς δείξωμεν ὅτι μετὰ τὸ βάπτισμα καὶ μετὰ τὴν μετάληψιν τοῦ Πνεύματος ἁμαρτήσας τις, ἀνακαλεῖται διὰ μετανοίας· ἄλλως ἐὰν δείξωμεν διὰ τῆς Καινῆς ὅτι ἔστι μετάνοια τοῖς παραπεσοῦσι καὶ μετὰ τὸ βάπτισμα, δηλονότι καὶ τὰ ἐν τῇ Παλαιᾷ ἔσται ὑπὲρ τῆς μετανοίας κύρια.

[18*] 5. Ὡς προσέχουσι λέγω· ὅθεν καὶ βαθυτέρων ἅπτομαι, ἵνα, εὐέλπιδες γενόμενοι, μὴ ἅπαξ πεσόντες ἐπιμένωμεν τῷ πτώματι. Οὐκ ἐπείσθης αὐτῷ δι' ὑποδείγματος; ὅρκῳ πείσθητι Θεῷ· λέγει ὁ Θεός· ζῶ ἐγώ, λέγει Κύριος[2]·—τοῦτο δὲ ὅρκος Θεῷ πρέπων· ἐπειδὴ γὰρ οὐκ εἶχε μείζονα ἑαυτοῦ, καθ' ἑαυτοῦ ὤμοσεν[3]· ὄμνυσι δέ, διὰ τὴν ἀπιστίαν τὴν τῶν ἀναιρούντων μετάνοιαν.—ζῶ ἐγώ, λέγει Κύριος[4] καὶ οὐδεὶς φοβεῖται, ὅτι οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἐπιστρέψαι αὐτὸν καὶ ζῆν. Ὁ ζῶν ζῆσαι θέλει, καὶ τίς ὁ ἀνταίρων; Οὐδὲ ὅτε ὄμνυσι Θεὸς ἀξιόπιστος; Οὔτε λόγῳ, οὔτε ὑποδείγματι, οὔτε ὅρκῳ πείθει; ἔργοις πείσθητι.

6. Οὐ κατεστράφη Νινευί· μετενόησε γάρ[5]· ἡ ἀγανάκτησις τοῦ προφήτου ὅτι οὐ κατεστράφη, ἀνεφύη κολοκύνθη[6]. Ἀπολογεῖταί σοι, ἵνα μνησθῇς ὅτι ἐστὶν ἀγαθός. Δέδοικα δὲ μὴ ἀκούσῃς παρ' αὐτοῦ· εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι[7]; Τίς ἀσεβέστερος ἀναγέγραπται τοῦ Ἀχαάβ;—ὡς ἀναγινώσκουσι λέγω· —ἥρπασε πρὸς ταῖς ἄλλαις ἁρπαγαῖς ἀμπελῶνα, φονεύσας τὸν δεσπότην· κατῆλθε κληρονομῆσαι, κατῆλθε χαίρων. Ἀπήντησεν λοιπὸν ὁ ἐλέγχων προφήτης, οὐχὶ ἐχθρὸς ἀλλ' ὡς φειδόμενος ἀπεφήνατο, οὐ τὴν ἑαυτοῦ ἀπόφασιν, ἀλλὰ τὴν τοῦ Θεοῦ. Μετὰ τὴν ἀπόφασιν, ἐνεδύσατο σάκκον καὶ ἀποδύεται τὴν δεσποτείαν. Γέγραπται γὰρ **[19*]** ὅτι αὐτὸς ὁ προφήτης, ὁ ἀποσταλεὶς ἐπὶ τὴν ἀπόφασιν, ἤκουσε παρὰ τοῦ Θεοῦ ὅτι ἐπειδὴ ἐδεήθη Ἀχαὰβ τὴν ἀπειλὴν φοβούμενος οὐκ ἔσται ἃ εἶπον ἐν

---

1. Ἠσ. 1, 16. 2. Ἰεζ. 33, 11. 3. Πρβλ. Ἑβρ. 6, 13. 4. Ἰεζ. 33, 11. 5. Πρβλ. Ἰων. 3, 10. 6. Πρβλ. Ἰων. 4, 6. 7. Ματθ. 20, 15.

ταῖς ἡμέραις αὐτοῦ[1].—Ἀναγκάζομαι ἐπιθυμῆσαι καλοῦ φαρμάκου.

7. Δαβὶδ ὁ ὅσιος, καὶ μετὰ τὴν ἁμαρτίαν ὅσιος, τῶν δέκα ἐντολῶν ἐν μιᾷ ὑποθέσει τρεῖς παρέβη. Ἐπειδὴ ὑμῖν λαλοῦμεν, εἴπωμεν καὶ σαφέστερον. Γέγονε μοιχεία καὶ φόνος καὶ ἐπιθυμία ἀλλοτρίας γυναικός· ἥμαρτεν ὁ δίκαιος ἄνθρωπος, καὶ ὁ Θεὸς κριτὴν αὐτὸν ἐποίησε τῆς ἰδίας ἁμαρτίας. Ἐπειδὴ γὰρ οὐ βλέπομεν δοκὸν ἐν ὀφθαλμῷ ἡμῶν· κάρφος δὲ ἐν ἀλλοτρίῳ[2], εἰσάγει τὴν δίκην αὐτοῦ ὡς ἀλλοτρίαν καί φησιν ὅτι δύο ἄνδρες ἦσαν ἐν πόλει μιᾷ, ὁ μὲν πλούσιος, ὁ δὲ πένης[3]· τῷ πλουσίῳ ὑπῆρχε πολλά, τῷ δὲ πένητι ἀμνὰς μία· ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε·—τοῦτο δὲ γυναικὸς μυστήριον·—μετ' αὐτοῦ ἤσθιε καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινεν[4]. Ἦλθε, φησί, ξένος τῷ πλουσίῳ·—καλῶς δὲ ὅτι ξένος· οὐ γὰρ ἐν τούτοις εἶχε συνήθειαν ὁ Δαβίδ.—Ἦλθεν οὖν αὐτῷ ξένος. Ἐάσας, φησί, τῷ ξένῳ ἀφ' ὧν εἶχε θῦσαι, τὴν μίαν ἀμνάδα, φησί, τοῦ πένητος ἀφαρπάσας θύει[5]. Ὅσον ἂν πέσῃ ὁ ἰσχυρός, ταχεῖαν ἔχει τὴν ἀνάστασιν. Ἀγανακτεῖ ὁ Δαβίδ· ἦν γὰρ καὶ πεσὼν καὶ ὄμνυσι· Ζῇ Κύριος, ἄξιος θανάτου ἐστὶν ὁ ποιήσας τοῦτο[6]· ἀπεφήνατο αὐτὸς καθ' ἑαυτοῦ. Ὡς ἀπεφήνατο, ἐφανέρωσεν ὁ προφήτης τίς ἐστιν ὁ ἄνθρωπος. Εὐθὺς ἐπὶ τὸ φάρμακον ἐλήλυθεν· εἶδε τὸ τραῦμα, προσέφυγε τῷ [20*] ἰατρῷ· ἥμαρτον, φησί· καὶ εὐθὺς ἡ ἴασις· καὶ ὁ κύριος παρήνεγκέ σου τὸ ἁμάρτημα[7]. Τί γὰρ βούλει· ἓν ἁμάρτημα λογισθῆναι ὁσίοις, ἢ πολλὴν δικαιοσύνην; Ἐποίησεν ἁμαρτίαν, ἀλλ' ἐποίησε καὶ πολλὰς δικαιοσύνας.

8. Τί δίκαιον παρὰ δικαίῳ Θεῷ· τῶν ὀλίγων μνημονεῦσαι, ἢ τῶν πολλῶν ἐπιλανθάνεσθαι; Ἔστω ζυγός, καὶ ᾧ μετροῦμεν, μετρηθήσεται ἡμῖν[8]· εἰ πλείονα τὰ ἁμαρτήματα, ἔστω ἁμαρτωλός· εἰ δὲ πλείονα τὰ δικαιώματα, ἔστω δίκαιος· εἷς καὶ εἷς. Τὰ γάρ παρ' ἡμῖν πάντα ἐκ τοῦ πλείονος λέγεται καὶ τοῦ λευκοῦ ἐστιν ἄλλο λευκότερον, καὶ τοῦ γλυκέος εἰς σύγκρισιν ἄλλο γλυκύτερον. Οὕτως καὶ οἱ δίκαιοί ἐσμεν ὡς ἄνθρωποι· οὐχ ὡς ἡ ἁμαρτία δικαιοσύνη. Ὅθεν ὁ υἱὸς τοῦ Θεοῦ δικαιοσύνη[9] ἀκούει, ἡμεῖς δὲ μεταλήψει δικαιοσύνης δίκαιοι. Καὶ Μωϋσῆς ἐλάλησέ τι τῇ γλώττῃ, ἀλλ' οὐκ ἀπελήφθη τῇ ἱστορίᾳ. Καὶ Ἀβραὰμ κηρύσσεται πιστός[10], καὶ ἔστιν ὅπου ἠπίστησεν[11].—Οὐ τῶν δικαίων κατηγορῶ, ἀλλὰ τὸν Θεὸν δοξάζω· οὐ προτρέπομαι ἵνα ἁμαρτήσωμεν, ἀλλ' ἵνα εἴ τι κἂν ἁμάρτωμεν ὡς ἄνθρωποι, διὰ μετανοίας ἀπαλείψωμεν.—Ἤρεσεν Ἐνὼχ

---

1. Πρβλ. Γ' Βασ. 20, 29. 2. Πρβλ. Λουκ. 6, 41. Ματθ. 7, 3. 3. Β' Βασ. 12, 1. 4. Πρβλ. Β' Βασ. 12,2-3. 5. Πρβλ. Β' Βασ. 12, 4. 6. Πρβλ. Β' Βασ. 12,6. 7. Β' Βασ. 12, 13. 8. Πρβλ. Ματθ. 7, 2. Μάρκ. 4, 24. Λουκ. 6, 38. 9. Πρβλ. Α' Κορ. 1, 30. 10. Πρβλ. Γέν. 15, 6. Ρωμ. 4,3.9. 11. Πρβλ. Γέν. 15, 2-3. 17, 17-18.

τῷ Θεῷ, λέγει ἡ Γραφή, μετὰ τὸ γεννῆσαι τὸν υἱόν[1]· εἰ δὲ μετά, δηλοῖ ὅτι οὐ πρότερον· εἰ μετὰ ταῦτα ἤρεσεν, ἔστιν ἀρέσαι μὴ ἀρεσκόμενον.

[21*] 9. Ἀλλ' ἔλθωμεν ἐπὶ τὴν Καινήν, ἔτι πλείονα ἔχοντες ἀπὸ τῆς Παλαιᾶς. Καὶ γὰρ Μανασσῆς, ὁ τετραπρόσωπα εἴδωλα ἐν τῷ ναῷ τοῦ Θεοῦ θείς, ἵν' ὅθεν ἄν τις εἰσέλθῃ τοῖς εἰδώλοις προσκυνήσῃ[2], μετανοήσας ἀνεκλήθη ἐκ τῆς αἰχμαλωσίας. Ἔλθωμεν ἐπὶ τὴν Καινήν· ἀφ' ἧς γὰρ μάλιστα θέλουσιν ἀποκλεῖσαι τὴν μετάνοιαν, ἀπ' αὐτῆς μάλιστα κηρύττεται μετάνοια.

10. Πυνθανώμεθα τοῦ Σωτῆρος· τί ἦλθες; καὶ ἀποκρίνεται· οὐκ ἦλθον δικαίους σῶσαι, ἀλλὰ ἁμαρτωλούς, φησίν, εἰς μετάνοιαν[3]. Ἐξετάσωμεν αὐτόν· τί βαστάζεις ἐπ' ὤμων; ἀπολωλός, λέγει, [22*] πρόβατον[4]. Ἐπὶ τίνος γίνεται χαρὰ ἐν οὐρανοῖς; λέγει· ἐπί τινος ἁμαρτωλοῦ μετανοοῦντος, οἱ ἄγγελοι χαίρουσι[5]· καὶ σὺ βασκαίνεις; ὁ Θεὸς χαίρων δέχεται[6], καὶ σὺ κωλύεις; σφοδρότερον προσφθεγξώμεθα τῷ Ἀγαθῷ. Δύο, φησίν, υἱοὶ ἦσαν[7], ἀμφότεροι υἱοί·—οὐ δύνασαί μοι εἰπεῖν ὅτι ἡ ἀπὸ Ἑλλήνων ἐστὶν ἡ ὧδε μετάνοια·—ἀλλ' ἀμφότεροι υἱοί, ἐξ ἴσου μερίσαντες. Ἀναλίσκει ὃ εἶχεν ὁ νεώτερος· δίκαιος ὢν ἐκπίπτει. Ἀναλώσας δὲ πάντα, ἦλθεν ἐπὶ μετάνοιαν, καὶ σπεύδει πρὸς τὸν πατέρα, καὶ μελετᾷ πατρὶ ἀπαντήσων τί εἴποι· ἥμαρτον ἐπὶ σοὶ καὶ ἔμπροσθεν τοῦ οὐρανοῦ[8]. Ταῦτα ἐβουλεύσατο, οὐκ ἔλαθε τὸν ἀγαθὸν πατέρα· ἦλθεν ἀπολογήσασθαι· ἀπήντησεν ὁ αἰσχυνόμενος. Μόνον θέλησον καὶ αὐτὸς προαπαντᾷ. Ἄρχεται λέγειν καὶ ὁ πατὴρ προσλαμβάνεται.—Κατανόει τὰ σπλάγχνα καὶ μὴ ἀποκόψῃς τὴν ἐλπίδα.—Ἐδέξατο καὶ φησί· θύσατε ταῦρον καὶ στολὴν ἐξενέγκατε καὶ ταύτην ἀρχαίαν, καὶ δακτύλιον ἐν τῇ χειρί[9]. Ταῦτα πάντα παρερμηνεύεται μέν, δηλοῖ δὲ συντόμως τὴν προτροπὴν τὴν ἀγαθὴν τοῦ ὑποδεξαμένου· οὐ πρὸς ἃ θέλω, ἀλλὰ πρὸς ἃ λέγει. Εἰ δὲ ἀγανακτεῖς ὅτι δέχεται μετὰ τὸ βοσκῆσαι χοίρους, μετὰ τὸ ἀναλῶσαι πάντα, ἠγανάκτησε καὶ ὁ ἀδελφός, ἀλλ' οὐκ ἐδέξατο ὁ αἰσχυνόμενος.

[23*] 11. Καὶ συκῆ γεωργουμένη, καὶ ἐν τρισὶν ἔτεσι μὴ δοῦσα καρπόν, ἀφείθη καὶ οὐκ ἐξετμήθη ἐπ' ἐλπίδι τοῦ δοῦναι[10]. Δεσπότης χαρίζεται, καὶ σὺ ἀντερεῖς; Μὴ γὰρ ἴδια πράγματά τις ἑαυτῷ ἁρπάζει; Εἰ δὲ χαρίζεται ὁ Θεός, τίς ὁ ἀντιλέγων; Ἐπεὶ διδαχθῶμεν εὔχεσθαι· ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, διότι ἀφήκαμεν καὶ ἡμεῖς[11]. Σὺ ἀφίῃς· Θεὸς οὐκ ἀφίησι; σὲ ἐποίησεν

---

1. Πρβλ. Γέν. 5, 22.24. 2. Πρβλ. Β' Παραλ. 33, 3. Δ' Βασ. 21, 3. 3. Πρβλ. Ματθ. 9, 13. 4. Πρβλ. Ματθ. 18,12-14. Λουκ. 15, 4-7. 5. Πρβλ. Λουκ. 15, 10. 6. Πρβλ. Λουκ. 15, 5. Ματθ. 18, 13. 7. Πρβλ. Λουκ. 15,11. 8. Πρβλ. Λουκ. 15, 21. 9. Πρβλ. Λουκ. 15, 22-23. 10. Λουκ. 13, 6-9. 11. Πρβλ. Ματθ. 6, 12. Λουκ. 11, 4.

ἰατρὸν σεαυτοῦ· ᾧ μ έ τ ρ ῳ ἐὰν μετρῇς, ἀ ν τ ι μ ε τ ρ η θ ή σ ε τ α ί σοι [1]· ἀφίης, ἀφίησί σοι. Ἀλλὰ σὺ ὁ πονηρὸς χρηστεύῃ· ὁ ἀγαθὸς οὐ πολὺ μᾶλλον;

12. Μετὰ ἁμαρτωλῶν Ἰησοῦς, μετὰ πορνῶν ὁ καθαρός, μετὰ νοσούντων ὁ ἰατρός. Ἀγανακτοῦσι Φαρισαῖοι, οἱ πατέρες τῶν νῦν ἀγανακτούντων· οὐκ ἀποστρέφεται ὁ ἐλεήμων. Εἰσῆλθεν ε ἰ ς ο ἶ κ ο ν Φ α ρ ι σ α ί ο υ [2] κληθείς· ἐπεισῆλθεν αὐτῷ ἁ μ α ρ τ ω λ ὸ ς γ υ ν ὴ [3] μὴ κληθεῖσα. Εἶδε τὴν ἁμαρτίαν· προσῆλθε τῇ δικαιοσύνῃ. Εἶδε τὴν νόσον, ἀπῆλθεν ὅπου ὁ ἰατρός· προσῆλθεν, οὐ πρὸς προσώπῳ οὐ γὰρ εἶχε παῤῥησίαν. Οὐκ ἐκράτησεν αὐτοῦ χεῖρα· οὐ γὰρ ἐτόλμα, ἀλλ' ἐπὶ τ ο ὺ ς π ό δ α ς, οὓς τ ο ῖ ς δ ά κ ρ υ σ ι ν ἔπλυνεν· ἐξέβαλε τὰς τρίχας τότε μόνον καλῶς [4]· τὰς πολλάκις κακῶς φανείσας, τότε καλῶς ἐγύμνωσεν. Ὑπογράφει σοι τὸ προσφυγεῖν τοῖς ποσὶ τοῦ Ἰησοῦ. Ἀνῆλθε πρὸς τὸν Πατέρα, ἀλλά φησιν· ἐ γ ὼ μ ε θ' ὑ μ ῶ ν ε ἰ μ ι [5]. Ὁπότε θέλεις **[24*]** πρόσφευγε θαῤῥῶν, βρέξον πόδας· ἐ γ γ ί ζ ω ν ἐ σ τ ί. Καὶ ἦλθε παρὼν καὶ ἀπῆλθε παρών. Ταῦτα ἀπὸ Καινῆς, ἀδελφὰ τῶν ἐν Παλαιᾷ.

13. Τί κηρύττει ὁ Ἰ ω ά ν ν η ς; β ά π τ ι σ μ α μ ε τ α ν ο ί α ς [6]. Καὶ διδάσκει ἐ ν π α ρ α β ο λ α ῖ ς [7], οὐχ ἅπαξ, οὐ δίς, ἵνα πολλάκις διδασκόμενος μάθῃς. Πέτρος τ ρ ὶ ς ἀπαρνεῖται [8], καὶ κεῖται ἐν θεμελίῳ· Παῦλος ἀπὸ διωκτῶν κ ῆ ρ υ ξ [9]· ἀλλ' ἐνταῦθά ἐστι ζήτημα. Ἀλλὰ τί λέγει αὐτός; Ἰ η σ ο ῦ ς Χ ρ ι σ τ ὸ ς ἦ λ θ ε ν ε ἰ ς τ ὸ ν κ ό σ μ ο ν ἁ μ α ρ τ ω λ ο ὺ ς σ ῶ σ α ι, ὧ ν π ρ ῶ τ ό ς ε ἰ μ ι ἐ γ ώ [10]· τὸ ἴδιον ἐλάττωμα φανεροῖ, ἵνα δείξῃ τὸ μέγεθος τῆς χάριτος. Ἀλλὰ Π έ τ ρ ο ς εἰπὼν καὶ εὐλογηθείς· εἰπὼν ὅτι υ ἱ ὸ ς ε ἶ τ ο ῦ Θ ε ο ῦ, τοῦ ὑψίστου [11]· καὶ ἀκούσας ὅτι πέτρα ε ἶ [12] ἐνεκωμιάσθη. Εἰ γὰρ καὶ πέτρα, οὐχ ὡς Χ ρ ι σ τ ὸ ς π έ τ ρ α ὁ Πέτρος πέτρα; Χ ρ ι σ τ ὸ ς ὄντως π έ τ ρ α ἀσάλευτος [13]· Πέτρος δὲ διὰ τὴν πέτραν· χαρίζεται γὰρ Ἰησοῦς τὰ ἑαυτοῦ ἀξιώματα, οὐκ ἀποκενούμενος. Ἀλλ' ἔχων ἃ δίδωσι. Φ ῶ ς ἐστιν [14]· ὑ μ ε ῖ ς ἐ σ τ ε τ ὸ φ ῶ ς τ ο ῦ κ ό σ μ ο υ [15]· ἱ ε ρ ε ύ ς [16] ἐστι· ποιεῖ ἱερέας [17]· πρόβατόν ἐστιν· ἰ δ ο ὺ ἀ π ο σ τ έ λ λ ω ὑ μ ᾶ ς ὡ ς π ρ ό β α τ α ἐ ν μ έ σ ῳ λ ύ κ ω ν [18]· π έ τ ρ α ἐστί· πέτραν ποιεῖ καὶ τὰ ἴδια χαρίζεται τοῖς δούλοις. Τοῦτο γὰρ σημεῖον πλουσίου· τὸ ἔχειν **[25*]** καὶ χαρίζεσθαι. Ἀλλ' οἱ παρ' ἡμῖν πλούσιοι χαριζόμενοι ἐλαττοῦσιν ἃ

---

1. Πρβλ. Ματθ. 7, 2. Λουκ. 6, 38. Μάρκ. 4, 24. 2. Πρβλ. Λουκ. 7, 36. 3. Πρβλ. Λουκ. 7, 37. 4. Πρβλ. Λουκ. 7, 38. 5. Ματθ. 28, 20. 6. Πρβλ. Μάρκ. 1, 4. 7. Πρβλ. Μάρκ. 4, 2. Ματθ. 13, 3.10.13. Μάρκ. 3, 23. 4, 34. 12, 1. 8. Πρβλ. Ματθ. 26, 34. Μάρκ. 14, 30. 9. Πρβλ. Α' Τιμ. 2, 7. 10. Α' Τιμ. 1, 15. 11. Πρβλ. Ματθ. 16, 16. 12. Πρβλ. Ματθ. 16, 18. 13. Πρβλ. Α' Κορ. 10, 4. 14. Πρβλ. Ἰω. 1, 4-9. 8, 12. 9, 5. 12, 35-36. Α' Ἰω. 2, 8. 15. Ματθ. 5, 14. 16. Πρβλ. Ἑβρ. 5, 6. 7, 11. 15. 17.21. 17. Πρβλ. Ἀποκ. 1, 6. 5, 10. 18. Ματθ. 10,16 Πρβλ. Λουκ. 10,3.

ἔχουσιν. Οὐ γὰρ πλούσιοι, ἀλλότρια γὰρ κεκτήμεθα· ὁ δὲ ὄντως πλουτῶν, ὅσα ἐὰν χαρίζηται, τοσοῦτον μένει πλούσιος ὤν[1], ὥσπερ πηγὴ ἀένναος· ὅσον ἐὰν λάβῃς, οὐκ ἀπομειοῦται τὸ ῥεῦμα. Καὶ οὐχ ὡς πηγή· οὐδὲ γὰρ ἄξιον ὑποδειγμάτων παρ' ἡμῖν ἐκείνης τῆς φύσεως. Ἀλλὰ μὴ ἔχοντές τι ἄξιον, χρώμεθα τοῖς ἐλάττοσιν, ἵνα ὁπωσδήποτε γνῶμεν τὰ ἄγνωστα. Τρὶς ὁ Πέτρος ἀρνεῖται,[2] οὐχ ἵνα Πέτρος πέσῃ, ἀλλ' ἵνα σὺ σχῇς παραμυθίαν. Ἐδάκρυσεν, ἔκαμψε τὰ δάκρυα τὸν ἐλεήμονα ἡμῶν. Ἡ γὰρ προθυμία ἦν ἀγαθή· πανταχοῦ ὁμολογεῖ μόνος.—Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής[3]· οἶδεν ὁ πλάσας τὴν πλάσιν, καὶ βαστάζει τὰ ἀσθενήματα, συγχωρῶν τὰ παραπτώματα.

14. Μνήσθητι, φησί, Κύριε, ὅτι χοῦς ἐσμεν[4]· τί γὰρ ἡμῶν ἡ δικαιοσύνη; Μέγας ἦν ὄντως Ἀβραάμ· ὄντως ἦν μέγας, διότι γῆ ἐστι καὶ σποδός[5]· ὁ γὰρ γινώσκων ὅσον μεταξὺ Θεοῦ καὶ ἀνθρώπων, οἶδεν ἑαυτόν. Ἄκουε καὶ ἄλλους μακαρισμούς· μακάριοι ὧν ἀφείθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι[6]· Θεὸς μακαρίζει, καὶ σὺ ἀποκωλύεις; Ἆρα πότερον ὡς βουλόμεθα λέγουσιν αἱ Γραφαί, ἢ ὡς γέγραπται ὀφείλομεν ἀκολουθῆσαι; Καὶ ταῦτα καθ' ἡμῶν. Οὐ καλὴ ἡ φιλονεικία ἐλπίδα ἀποκόπτουσα.

15. Ἀλλ' ἐπειδὴ ἐπαγγελλόμεθα μετὰ τὸ βάπτισμα συγχώρησιν, —τοῦτο γὰρ τὸ συνεκτικώτατον πρὸς τὴν κακουργίαν,—γράφει **[26*]** ὁ Ἀπόστολος ἐν τῇ προτέρᾳ ἐπιστολῇ πρὸς Κορινθίους, ὅτι πορνεία ὅλως ἐν ὑμῖν ὀνομάζεται, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται[7]. Ἠκούσατε τὸ μέγεθος τοῦ κακοῦ, ἀκούσατε καὶ τὸ μέγεθος τῆς ἀποφάσεως· συναχθέντων οὖν, φησίν, ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος ἐν τῇ δυνάμει τοῦ Χριστοῦ, παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ[8]. Παιδεύει· οὐ γὰρ ὡς ἐχθρὸς ἀποῤῥίπτει. Ἐν μὲν τῇ προτέρᾳ, τῷ σατανᾷ παραδέδωκεν· ἐν δὲ τῇ δευτέρᾳ γράφει οὐδὲν τῇ προτέρᾳ ἐναντίον, κυρῶσαι εἰς αὐτὸν ἀγάπην, μὴ τῇ ὑπερβολῇ τῆς λύπης ἀπόληται ὁ τοιοῦτος[9]. Ἔλυσε καὶ τὰ ἄλυτα ὁ Ἀπόστολος. Τότε λέγει παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ[10]· μετὰ ταῦτα περὶ τοῦ αὐτοῦ γράφων καὶ συγχωρῶν φησιν· ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ σατανᾶ[11]. Ἐὰν γὰρ λάβῃ τινὰ ἡμῶν, καὶ ἐπλεονέκτησεν ἡμῶν· ἐξέρχεται πρόβατον ἀπὸ ποίμνης, λύκων γίνεται βορά· εἰσάγαγε, ἵνα φύγῃ τὴν ἐπιβουλήν· Ὥσπερ οἱ ἀγαθοὶ ποιμένες κἄν

---

1. Πρβλ. Ἐφεσ. 2, 4. 2. Πρβλ. Ματθ. 26, 34. Μάρκ. 14,30. 3. Ματθ. 26, 41. Μάρκ. 14, 38. 4. Ψαλμ. 102, 14. 5. Γέν. 18, 27. 6. Ψάλμ. 31, 1. 7. Πρβλ. Α'. Κορ. 5, 1. 8. Α' Κορ. 5, 4-5. 9. Πρβλ. Β' Κορ. 2, 6-7. 10. Α' Κορ. 5, 5. 11. Β' Κορ. 2, 11.

ἀρθῇ τὸ πρόβατον, δέρμα γοῦν σπεύδουσι λαβεῖν· εἰ δέρμα νεκροῦ καλὸν ἀποσπάσαι, ψυχὴν ἀπὸ στόματος λύκου οὐκ ἄξιον λαμβάνειν; Καὶ ἐν πολέμῳ, τιτρώσκεται ἀριστεύς, καὶ οὐχ ὅτι ἐτρώθη διὰ τοῦτο οὐ στέφεται· ἀλλ' ἔλαβε τραῦμα, πολλὰ ἐργασάμενος.

16. Τὸ μὲν ἓν λογίζεται κακόν, τὰ δὲ πολλὰ ἀγαθὰ οὐ λογίζεται Θεός; Πόσοι μάρτυρες πρῶτον ἀρνησάμενοι, τὸ δεύτερον ἀνεκαλέσαντο τὴν ἧτταν; Ἀλλ' ἀρνησάμενοι, οὐχὶ τῇ διανοίᾳ, ἀλλὰ τῇ γλώττῃ· ἡ σὰρξ γὰρ ἀσθενής[1]. Ἀπαρνούμενος ἐκπίπτει, πάλιν [27*] ὁμολογῶν ἀνακαλεῖται. Οὐ γὰρ τὰ κακὰ φυλάττει ὁ Θεός, τὰ δὲ καλὰ ἀθετεῖ. Καὶ βασανιζόμενός τις, πολλάκις ἐνέδωκε, μὴ ἐνεγκών, οὐ τὴν προθυμίαν, ἀλλὰ τὸν πόνον· ἀλλὰ κατενεχθεὶς καὶ ἄνεσιν λαβών, ἀνακαλεῖται. Τὸ μικρὸν ῥῆμα φυλαχθήσεται αὐτῷ· αἱ δὲ βάσανοι οὐκ ἀριθμηθήσονται; Ἀλλὰ ὁ Θεὸς κριτής, οὐκ ἀνθρώπων ἡ τόλμα· τολμᾷς νομοθετεῖν Θεῷ, ὃς οἶδε τὴν ἀσθένειαν καὶ χορηγεῖ τὴν βοήθειαν καὶ δώσει τὴν νίκην; Πόσοι οὐκ ἀπὸ καλοῦ βίου ἐμαρτύρησαν. Ἆρα ἐπειδὴ ἐπέστρεψεν ἐπιθυμία, ἀποστερηθήσονται τῶν καμάτων; Οὐκ ἄγγελοί ἐσμεν, ἀλλ' ἄνθρωποι· καὶ πίπτομεν καὶ ἐγειρόμεθα, καὶ πολλάκις τῆς αὐτῆς ὥρας. Καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ[2]· διὰ τί; εἰ γὰρ μέτρον τί ἐστι τῆς δικαιοσύνης, πάντες ὀφείλουσι τὸ ἴσον ἔχειν· εἰ δὲ οἱ μὲν λάμπουσιν ὡς ὁ ἥλιος, οἱ δὲ αὐγάζουσιν ὡς σελήνη, οἱ δὲ κατὰ τὴν διαφορὰν τῶν ἀστέρων λάμπουσι, δῆλον, ὅτι ἄλλος ἄλλου ὑπερέχει· ὁ δὲ ἐλαττούμενος, δῆλον ὅτι ἔχει μικρὰ ἁμαρτήματα. Εἰ δὲ οὐδενὸς ἁμαρτήσαντος ἡ ἄφεσις, ἡ διαφορὰ ἦν ἐν τῇ ποικιλίᾳ.

17. Ἀλλ' ἐπειδὴ ἀναγκαῖόν ἐστι δεῖξαι μετὰ τὸ βάπτισμα σῳζομένους τοὺς παραπεσόντας, φοβούμενος λέγω, μὴ παρὰ τὸ ἐμὸν βούλημα ἀποστῆτε· πάνυ γὰρ θέλω τοὺς λαμβάνοντας τὸ φώτισμα μὴ ἁμαρτάνειν. Εἰ δὲ παραπίπτοιέν ποτέ τινες μὴ βουλόμενοι, οὐ βούλομαι ὃ βούλονται οἱ τὴν μετάνοιαν ἀναιροῦντες, μὴ βουλόμενοι συναποθανεῖν ἡμᾶς τῷ σταυρῷ· ἀλλ' ὃ ὁ Ἀπόστολος καὶ [28*] συνταφῆναι αὐτῷ[3], καὶ μηκέτι ζῆν ἁμαρτίᾳ[4]· τοῦτο μὲν βούλομαι. Οὐκ ἀθετῶ δὲ τὴν χάριν τοῦ Θεοῦ, Γαλάταις γράφων, ὁ Ἀπόστολός φησιν[5], ὅτι ἔλαβον πνεῦμα.—Μὴ τούτου ἐναργέστερον ζητεῖς; —Ἀλλ' ἐπιφέρει· οὕτως ἀνόητοί ἐστε, ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε[6];—Οὐκοῦν εἰλήφασι πνεῦμα.—Καὶ πάλιν· τοῦτο μόνον θέλω μαθεῖν παρ' ὑμῶν· ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως[7]; Ἐτρέχετε καλῶς[8]. Βλέπετε πόσα πλεονεκτήματα, ἄκουε τὰ ἁμαρτήματα· νῦν σαρκὶ

---

1. Ματθ. 26, 41. Μάρκ. 14, 38. 2. Α' Κορ. 15, 41. 3. Πρβλ. Ρωμ. 6, 4. 4. Πρβλ. Ρωμ. 6, 6. 5. Γαλ. 2, 21. 6. Γαλ. 3, 3. 7. Γαλ. 3, 2. 8. Γαλ. 5, 7.

ἐπιτελεῖσθε[1], ἐξεπέσατε ἀπὸ Χριστοῦ[2]. Εἶδες αὐτοὺς ἔχοντας τὸ πνεῦμα· ἤκουσας ὅτι κατηργήθητε ἀπὸ Χριστοῦ[3]·—ὁμοίως καὶ τῆς χάριτος ἐξεπέσατε[4]. Τί μετὰ ταῦτα ἐπιφέρει, διδοὺς τόπον ἐγκαινισμοῦ; τεκνία μου, οὓς πάλιν ὠδίνω[5]· ἅπαξ ἣν γεννήσας, ἀλλ' οὐχ ὁ ἅπαξ γεννήσας παραιτεῖται καὶ ἐκ δευτέρου γεννῆσαι εἰς σωτηρίαν.

18 ·Εἰς τὰ ἄλλα πάντα τις κακουργήσει, τοῦτο αὐτὸ ἄθεον. Ἄνθρωποι δὲ λαβόντες τὸ πνεῦμα, καλῶς τρέχοντες, τοσαῦτα ὑπομείναντες, κινδυνεύσαντες, εἰκῇ ὑπομεμενηκότες, ἐκπεσόντες καὶ καταργηθέντες, πάλιν ἀναγεννῶνται, ἵνα πάλιν μορφὴν Θεοῦ ἀναδέξωνται. Μὴ πάλιν ὑπολείπεταί σοι ἀντιλογία περὶ μετανοίας; Τίς ἡμᾶς ἔπλασε; Θεός· ἐποίησεν ἡμῖν σῶμα, ἐποίησεν ἡμῖν ψυχήν[7]. Περιορᾷ; Τίς δέδωκεν ἡμῖν φάρμακον ζωῆς; διὰ τί ἀναγνώσματα; ἵνα ἀποστῶμεν ἁμαρτημάτων. Διὰ τί ἀρδευόμεθα; ἵνα καρποφορήσωμεν. Τί εὐχόμεθα; ἵνα ἀφεθῶσιν ἡμῶν αἱ ἁμαρτίαι.

[29*] 19. Πληρώσωμεν τὸν λόγον. Τίσιν οὐκ ἔστι μετάνοια; ὁ δ' ἐλπίδι τῆς μετανοίας κακουργῶν, κακουργίας ἔχει τὸν τρόπον καὶ ἀπεστέρηται μετανοίας. Ἔστιν ἐλπὶς καὶ μετὰ τὴν ἁμαρτίαν· ἔστιν ἴασις καὶ μετὰ τὸ ἕλκος· ἀλλὰ μένει ἡ οὐλή. Μακάριον τὸ μηδὲ διστάσαι· δεύτερος μακαρισμός, ἡ μετὰ τὴν πληγὴν ἴασις.

20. Θεῷ δὲ τῷ πλάστῃ ἐξ ἀρχῆς, καὶ συνερχομένῳ τῇ ἀσθενείᾳ, καὶ φυλάττοντι τὴν προαίρεσιν, καὶ χαριζομένῳ μετάνοιαν, διὰ τοῦ ἄγοντος ἡμῖν τὰ ἀγαθά, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν[8].

---

1. Γαλ. 3, 3. 2. Πρβλ. Γαλ. 5, 4. 3. Γαλ. 5, 4. 4. ἔνθ' ἀν. 5. Γαλ. 4, 19. 6. Πρβλ. Γαλ. 3, 2. 7. Πρβλ. Γέν. 2, 7. 8. Πρβλ. Ἰούδ. 25.

Β'. ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

Ι. ΕΙΣ ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ *

[57] *ΓΕΝΕΣΙΣ 1, 17. (Br, f. 22r.v. Bs, f. 23r.v. P, σ. 42-43*** *N, 34-35: Πρβλ. Προκόπιος 89 A 11 — B 8 καὶ B 11-13).*

Ζητεῖται πότερον κατώτερον τοῦ οὐρανοῦ δρόμον τρέχουσιν ἀπέχοντες διαστήματι τοῦ οὐρανοῦ, ἢ κεκολλημένοι (τουτέστι πεπηγμένοι) εἰσίν, ἢ ὥσπερ ἐν γῇ ὁδοιπόροι οὕτως ἐν οὐρανῷ οἱ φωστῆρες;

Ἔδοξε μέν τισι λέγειν ὅτι πεπήγασιν ἐν οὐρανῷ, καὶ οὐχ ὁ ἥλιος ὁ τρέχων οὐδὲ ἡ σελήνη. Εἰ μὲν οὖν ἔστιν Ἕλλην ἀνεχόμενος ποιητῶν, ἀκουέτω Ὁμήρου ἀπὸ τῶν τοῦ Ὠκεανοῦ ῥείθρων αὐτὸν ἀνάγοντος [1], καὶ μέσου οὐρανοῦ [58] ἐπικλίνειν αὐτὸν λέγοντος, καὶ πάλιν πεμπόμενον εἰς δύσιν αὐτὸν εἰσάγοντος. Εἰ δὲ φιλοσόφοις τοῖς λογισμοῖς τῆς ψυχῆς ἀποδιδοὺς τὸ κράτος, ἀπό τε τῶν ὁρωμένων πιστοῦσθαι σπεύδων, ὁράτω σελήνην καταλαμβανομένην κατὰ λ' ἡμέρας, πλειάδας δὲ δι' ὁλοκλήρου ἔτους. Εἰ δ' ἔμενεν ἀκίνητα, ὑπὸ τῆς τοῦ οὐρανοῦ κινούμενα φύσεως, οὐκ ἂν τόδε τοῦδε ἦν ὀξύτερον· χωρὶς δὲ τούτων ὁρῶμεν ἕτερά τινα τῶν ἄστρων μηδὲ εἰς δυσμὰς ἀφικνούμενα, ἔνια δὲ διὰ πλειόνων τῶν ἐτῶν φαινόμενα. Εἰ δ' ἐκινεῖτο ὁ οὐρανὸς ἀκίνητα ταῦτα ἔχων καὶ ἐν ἑαυτῷ πεπηγότα, οὐκ ἂν ἐγίνετο τὰ προειρημένα.

Τισὶ δὲ δοκεῖ κατώτερα εἶναι τοῦ οὐρανοῦ καὶ ἀεροπορεῖν. Ἡ δὲ Γραφὴ βούλεται μὲν ἐστερεῶσθαι ἀκίνητον τὸν οὐρανὸν [2] κινεῖσθαι δὲ ἥλιον καὶ σελήνην. Καὶ γὰρ Ἰησοῦς ὁ τοῦ Ναυή· «Στήτω», φησίν, «ὁ ἥλιος» (οὐχὶ ὁ κινῶν αὐτὸν οὐρανός) «καὶ ἡ σελήνη» [3], καὶ γένονεν οὕτως. Καὶ ἐπὶ Ἐζεκίου δὲ τοῦ βασιλέως ὁ ἥλιος ἀνέστρεψε τὸν δρόμον αὐτοῦ, οὐχ ὁ οὐρανός [4]. Καὶ μετ' ὀλίγα. Οὐ πεπήγασιν τοίνυν ἐν τῷ οὐρανῷ, ἀλλ' οὐδὲ διεστήκασιν αὐτοῦ. Καὶ μετ' ὀλίγα. Τί οὖν ἔστι; Τρόπον τινὰ ὥσπερ ἐπιβαίνουσιν οὐρανοῦ πλησίον ὄντες καὶ προσαπτόμενοι τάχα τῆς τοῦ οὐρανοῦ ἐπιφανείας, ἵνα τὰς ἀπ' αὐτῶν ἀκτῖνας πάσας ἐπὶ γῆς καταπέμψωσιν, ἄνω πέμπειν οὐκ ἔχοντες χώραν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse. «Les anciens commentateurs grecs de l' octateuque et des rois» (Fragments tirés des chaînes). Città del Vaticano 1959 σ. 57-103.

** Παραλείπονται χάριν συντομίας αἱ εἰς τὸν Εὐσέβιον Ἐμέσης ἀποδίδουσαι τὸ ἔργον ἐνδείξεις τῶν κωδίκων.

1. Ἰλιὰς 7,422-3. Ὀδύσ. 19,433-4. 2. Πρβλ. Γέν. 1,8 Ψαλμ. 32,6. 3. Ἰησ. Ν. 10,12. 4. Πρβλ. Δ' Βασ. 20,10-11.

Γέν. 2, 6. (Br, ff. 35v-36· Bs, f. 31v· P, 54· V, f. 32v: N, 60· P.G., XV, 169 καὶ LXXXVI, 556 A· Προκόπιος, 149 C 6-D 3).

Ἑβραῖος δέ τίς φησιν ὅτι οὐ λέγει «Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς»[1], ἀλλά τι εἶδος ἀχλύος ἢ αἰθέρος συνεστῶτος παχυτάτου, οὗ τὴν ἀνάδοσιν ἀπὸ τῆς γῆς γίνεσθαι ἔφη, καὶ καλύπτειν τὸ πρόσωπον· εἴτε δὲ ἀπὸ τῆς νοτίδος, φησίν, εἴτε Θεοῦ οἰκονομοῦντος ἐγίνετο, οὐκ ἔχω λέγειν.

Φίλων δὲ ὁ ἑβραῖός φησι· Μή ποτε ὡς ἵππος λέγεται βασιλέως πᾶσα ἱππικὴ δύναμις[2], οὕτω καὶ «πηγὴ» πᾶσα φλὲψ τῆς γῆς, πότιμον ὕδωρ πᾶν ὀμβροῦσα ἢ πηγάζουσα. Εὖ δέ φησι καὶ τὸ φάναι μὴ πᾶσαν, ἀλλὰ «τὸ πρόσωπον τῆς γῆς»[3] νοτίζεσθαι, τὸ ἄριστον καὶ ἡγεμονεῦον μέρος καὶ καρποφορεῖν δυνάμενον, ὃ τῆς ἀπὸ τῶν πηγῶν ἐπικουρίας δεῖται.

[59] *Γέν. 2, 8-9. (Br, f. 45r.v· P, σ. 57· V, f. 34v· N, 66-67).*

Οἱ μέν φασιν «Ἐδὲμ» καλεῖσθαι τὸν τόπον ἐν ᾧ ἐφυτεύθη ὁ παράδεισος· οἱ δὲ «Ἐδὲμ» τὸν «παράδεισόν» φασι[4], τὸν δὲ ἑρμηνευτὴν καὶ τὴν ἑρμηνείαν θεῖναι καὶ τὸ ἑρμηνευόμενον τεθεικέναι[5].

Ζητεῖται δὲ πότερον μετὰ τὸ πλασθῆναι τὸν ἄνθρωπον παράδεισος ἐφυτεύθη,—τὰ γὰρ ῥητὰ τοῦτο βούλεται σημαίνειν,— ἢ τῇ τρίτῃ ἡμέρᾳ, μετὰ τῶν ἄλλων ξύλων[6];

Ὁ μὲν οὖν Σύρος οὕτως ἔχει γεγραμμένον «Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ[7] ἐξ ἀρχῆς»· «ἐξ ἀρχῆς» δέ φασι μὴ ἐγκεῖσθαι τῷ ἑβραϊκῷ. Λέγουσιν οὖν πολλοὶ ὅτι μετὰ ταῦτα ἐφυτεύθη· εἰπὼν γάρ, φασί, Μωϋσῆς ὅτι «ἐφύτευσεν ὁ Θεὸς παράδεισον καὶ ἔθετο τὸν ἄνθρωπον, ὃν ἔπλασεν»[8] ἐν αὐτῷ, παριστῶν ὅτι μετὰ ταῦτα ἐφυτεύθη ὁ παράδεισος, ἐπάγει «καὶ ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς»[9], τῷ «ἔτι» δηλῶν ὅτι χωρὶς τῶν «ἐξ ἀρχῆς» ὁμοῦ γενομένων.

Γέν. 2, 9. (Br, ff. 45v-46· Bs, f. 39· Προκόπιος, 161 B4 - D 1)· ἡ τελευταία φράσις, Πῶς οὖν — ἐκλήθη ἐν N, 69: Ἀδήλου).

Ζητοῦμεν πότερον τῇ φύσει τῶν δένδρων ἔκειτο τοῦ μὲν ζωοποιεῖν, τοῦ δὲ γνῶσιν ἐντιθέναι καλοῦ τε καὶ πονηροῦ, ἢ ἑτέρως θεωρητέον;

Ὅτι τὸ μὲν τῷ ξύλῳ «τῆς ζωῆς»[10] φυσικῶς ἐνέκειτο ἀθανατίζειν τὸν ἐσθίοντα, δηλοῖ τὸ ἐκβληθῆναι τὸν Ἀδὰμ παραβάντα τὴν ἐντολήν, ἵνα μὴ τούτου φαγὼν «ζήσεται εἰς τὸν αἰῶνα»[11]· οὐ γὰρ περὶ τοῦ ζῆν ἁπλῶς λέγει (ἔζων γὰρ καὶ μὴ φαγόντες), ἀλλὰ περὶ ἀθανασίας.

---

1. Γέν. 2,6. 2. Φίλωνος Quest. in Genesim 1,3. 3. Γέν. 2,6. 4. Πρβλ. Γέν. 2,8. 5. Πρβλ. Ὠριγένους εἰς τὴν Γένεσιν. Ἐκλογαὶ ΒΕΠΕΣ 15,129 P.G. 12,100 A. 6. Πρβλ. Γέν. 1,11-13. 7. Γέν. 2,8. 8. ἔνθ. ἀν. 9. Γέν. 2,9. 10. ἔνθ' ἀν. 11. Γέν. 3,22.

Τὸ δ' ἕτερον τῶν ξύλων οὐκ εἶχεν ἐν τῇ φύσει τῶν ἀντικειμένων τὴν γνῶσιν. Ὅτε γὰρ προσετάχθησαν μὴ φαγεῖν ἢ ἀποθανεῖσθαι [1], ᾔδεσαν κακὸν τὸ φαγεῖν καὶ ὡς ἀντὶ τιμωρίας ὁ θάνατος παραβαίνουσιν, ἢ οὔ; Ἀγνοοῦσι μὲν οὖν ἡ ἐντολὴ περιττή, καὶ ἄτοπος τοῖς ἐν ἀγνοίᾳ παραβαίνουσιν ὁ θάνατος· ἐπιστα[60]μένοις δὲ περιττὸν τὸ ξύλον τοῖς ἔχουσι τὴν γνῶσιν πρὶν ἅψωνται, περιττὴ δὲ καὶ ἡ παραγγελία τοῦ μὴ γνῶναι ἅπερ ἠπίσταντο. Εἰ δὲ τὸ ξύλον εἶχε τὴν γνῶσιν, φθονερὸς ὁ κωλύων, περιττὴ δὲ ἡ κώλυσις· ἔδει γὰρ πρότερον διὰ τῆς βρώσεως τὴν γνῶσιν λαβεῖν, ἢ τῷ αὐτεξουσίῳ δίδωσι χώραν, καὶ τότε λοιπὸν εἰδόσιν τὴν τῶν κακῶν ἀπαγόρευσιν νομοθετεῖσθαι.

Πῶς οὖν αὐτὸ νοητέον; Ἀπὸ τοῦ γυμνάσιον τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς αὐτῷ δεδόσθαι, οὕτως ἐκλήθη.

Γέν. 3, 1-2. (Br, ff. 55v-56· Bs, ff. 46v-47· Προκόπιος, 180 C — 181 B 3).

Ἐχέτω μὲν οὖν ἀλόγου φρόνησιν, ἀλλ' οὐ δήπου καὶ συλλογιστικήν, οὐδὲ λόγῳ χρωμένην προφορικῷ, ἀνάγκη ἄρα πρὸς τὸν ἐν αὐτῷ λαλήσαντα γίνεσθαι τὴν ἀναφοράν. Καὶ πόθεν; Ὅτι Σατανᾶς ἐλάλησε δι' αὐτοῦ. Ἐπειδὴ λέγει ἐν τῷ εὐαγγελίῳ «ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς»[2], οὐ διὰ τὸν Ἄβελ ἁπλῶς (οὐδὲ γὰρ τοῦτον ἀνῃρηκὼς γέγραπται)[3], οὐδ' ἂν ἠδυνήθη μὴ πρότερον θνητὸν ποιήσας τὸν ἄνθρωπον· τὸ γὰρ «ἀνθρωποκτόνος» κοινὴν ἐπιβουλὴν τοῦ γένους δηλοῖ. Ὅθεν, φασί, καὶ «θηρίον»[4] αὐτὸν εἶπε, καίτοι ἑρπετοῦ ὄντος τοῦ ὄφεως.

Τινὲς δὲ λέγουσιν ὡς διὰ τὴν ἔμφυτον αὐτοῦ φρόνησιν ἐπιτήδειον αὐτὸν ὄργανον ἐποιήσατο καὶ τὸ λαλεῖν, ὅπερ ἔλειπε, τούτῳ προσέθηκεν. Ἆρ' οὖν ὁ διάβολος ἀνοῖξαι στόμα πρὸς λόγον ἠδύνατο καὶ μεταπλάσαι τὴν φύσιν; τοῦτο γὰρ ἴδιόν ἐστι Θεοῦ. Ἀλλ' ἰδὼν αὐτὸν ὁ Θεός, ὁ διὰ τοῦ αὐτεξουσίου στεφάνους παρασκευάζων τοῖς ἀθληταῖς, σκοποῦντα ὡς Εἰ δυνατὸν ἦν τοῦτο γενέσθαι προσῆλθον ἂν εἰς ἀπάτην αὐτοῖς, συνεχώρησε τοῦτο, παρασκευάσας λαλῆσαι τὸ ἴδιον δημιούργημα, ἐπεὶ καὶ ἐπὶ τοῦ Ἰὼβ[5] τὴν τῶν τοσούτων ἀναίρεσιν συνεχώρησεν, ἐκείνου σκοποῦντος ὡς Εἰ συνεχωρήθην, ἤλεγχον αὐτοῦ τὴν ἐπίπλαστον ἀρετήν, ἣν ἔχειν διὰ τὸν πλοῦτον δοκεῖ. Ὁ γὰρ ἐκεῖ διάλογος τοιαύτην ἔχει τὴν δύναμιν, σαφηνείας ἕνεκα τῆς Γραφῆς τῷ σχήματι τοῦ λόγου τὰς ἐννοίας λογοποιούσης, ὅπερ ἐστὶ νοεῖν καὶ ἐπὶ τῶν πειρασμῶν τοῦ Κυρίου. Μαθὼν γὰρ ἐκείνου τὴν ἔννοιαν, ἀνῆλθεν εἰς τὴν ἔρημον, ἐπείνησεν [6] [61] ἑκών, ἐκείνου νομίζοντος διὰ τροφῆς αὐτὸν δύνασθαι καθάπερ τὸν Ἀδὰμ ἀπατᾶν, εἰ πεινάσειε. Καὶ πρὸς τὴν ἔννοιαν ἐκείνου πάλιν ἀνῆλθεν εἰς τὸ πτερύγιον [7]· εἰ δὲ καὶ εἰς τὸ ὄρος, φησίν,

---

1. Πρβλ. Γέν. 2,17. 2. Ἰω. 8,44. 3. Πρβλ. Γέν. 4,8. 4. Γέν. 3,1. 5. Πρβλ. Ἰὼβ 1,6-12. 2,1-6. 6. Πρβλ. Ματθ. 4,1-2. 7. Πρβλ. Ματθ. 4,5.

ἀνήνεγκα τοῦτον, ἐδείκνυον αὐτῷ πάσας τὰς βασιλείας τῆς γῆς[1]· ὅθεν ἀνῆλθεν ἑκών. Οὕτω καὶ νῦν ὁ Θεὸς ὁρῶν αὐτοῦ τὰς ἐννοίας, ἤνοιξε τὸ στόμα τοῦ ὄφεως, καθάπερ τῆς ὄνου Βαλαάμ[2]· προειδὼς δὲ ὁ Θεὸς ὅτι ἐπιθυμήσει Ἀδὰμ γενέσθαι Θεός, προηπείλησέ τε τὸν θάνατον, καὶ παραβάντος ἐπήνεγκεν. Ἦν δέ, φασίν, ὁ ὄφις κεχαρισμένος τῇ γυναικὶ δι' ὑπερβάλλουσαν εὐφυΐαν πρὸς πᾶν ὁτιοῦν, καὶ δὴ καὶ πρὸς μίμησιν.

Γέν. 3, 22ᵇ. (Br, f. 75ᵛ· ἐν τῷ κώδικι τούτῳ ἀναγράφεται: Εὐσεβίου ἐπισκόπου Ῥώμης· Bs, ff. 56ᵛ-57· Προκόπιος, 224 D 7 - 225 B 5).

Οὐ φθονῶν ὁ Θεὸς λέγει, ἀλλ' ἐπεμελεῖτο τοῦ ἐλαττωθέντος σκεύους δι' ἑαυτόν· ἵνα μὴ μείνῃ ἠλαττωμένον εἰς τὸ διηνεκές, ἀλλ' ὡς ἄριστος κεραμεὺς τὸ βλαβὲν ἀγγεῖον ἐπιστρέψας εἰς τὸ ἴδιον φύραμα τὴν γῆν, ἐν τῇ ἀναστάσει ἀναπλάσειε τὸν δίκαιον ἐν δόξῃ ἀθάνατον καὶ δυνάμενον ἀπολαύειν τῆς βασιλείας, τὸν δὲ ἄδικον δυνάμενον ὑποφέρειν τὴν τῆς κρίσεως τιμωρίαν. Ἐφύτευσε δὲ τὸ ξύλον τῆς ζωῆς, καιρῷ τῷ δέοντι διὰ τοῦ ἰδίου προστάγματος ἐπιτρέπων αὐτῷ λαβεῖν ἀπ' αὐτοῦ· νῦν δὲ ἅπαξ ἁμαρτόντα οὐ βούλεται μένειν ἐν ἀϊδίῳ ζωῇ, μὴ πρὸς τοῖς ἄλλοις καὶ πιστὸν ἡγήσηται τὸν διάβολον, καὶ βάσκανον τὸν Θεόν· οὕτω γὰρ ἂν καὶ θεὸν ἐνόμισεν ἑαυτόν. Νυνὶ δὲ ἐπίστευσε τῷ Θεῷ τὸ «θανάτῳ ἀποθανεῖσθε»[3] εἰπόντι καὶ ἑαυτὸν ἔγνω, ὡς φύσει μὲν ἀσθενής, τιμηθεὶς δὲ φιλανθρωπίᾳ Θεοῦ.

Γέν. 3, 24. (Br, f. 78· Bs, f. 58ᵛ· P, σ. 69 καὶ V, f. 44ᵛ· N, 104· πρβλ. Προκόπιος 228 C 13-14).

[62] Τῷ γὰρ Ἀδὰμ ἡ παροίκησις ἀντὶ τιμωρίας ἐδόθη, ἵνα ὁρῶν τὸν παράδεισον ἀναμιμνήσκηται τῆς ἐκπτώσεως καὶ τοὺς υἱοὺς ἀσφαλίζηται. Οὐκοῦν ἡ τῆς φλογίνης ῥομφαίας ὅρασις καὶ τὸ «Χερουβίμ»[4] τότε ἐχρησίμευσεν, ἕως ὅτε ἔζη ὁ Ἀδάμ.

Γέν. 4, 23. (Br, f. 87ᵛ· Προκόπιος, 256 C 5-7).

Φαίνεται ὁ Λάμεχ, ἀφ' ὧν λέγει, δύο ἀποκτείνας ἄνδρας[5]· δύναται δὲ ὁ ἀνὴρ καὶ μέσης εἶναι ἡλικίας καὶ λοιπὸν γέρων, ὁ δὲ νεανίσκος νεώτερος.

Γέν. 4, 26. (Br, f. 88ᵛ· Bs, f. 64ᵛ· P, σ. 71· V, f. 47ᵛ· N, 119· P.G., XV, 186· LXXXVI, 556 AB· Προκόπιος, 261 C 2-9).

Ἐν τῷ ἑβραϊκῷ οὐχ οὕτως ἔχει, ἀλλ' «οὗτος ἤλπισεν ἐπικαλεῖσθαι

---

1. Πρβλ. Ματθ. 4,8. 2. Πρβλ. Ἀριθ. 22,28-30. 3. Γέν. 2,17. 4. Πρβλ. Γέν. 3,24. 5. Πρβλ. Γέν. 4,23.

πάσης «τῆς γῆς»· οὐ γὰρ πανταχοῦ οὕτως ἔσται ὄμβρος, ὡς μὴ ἔχειν χώρας τὰς ἀκτῖνας.

[65] *Γέν. 9, 23. (Br, f. 113ᵛ· Bs, f. 81· Πρβλ. Προκόπιος, 305 C 1-4).*

Ζητεῖται δὲ πότερον ἡ ἄμπελος πρὸ τοῦ κατακλυσμοῦ ἦν, ἢ Νῶε ταύτης ἐφευρέτης; Λέγουσί τινες ὅτι ἦν μὲν τὸ φυτὸν τῆς ἀμπέλου πρὸ τοῦ κατακλυσμοῦ, ἐφεῦρεν δὲ τὸν οἶνον ὁ Νῶε· διόπερ ἀγνοῶν «ἐμεθύσθη» πιών [1].

Γέν. 11, 3. (Br, f. 117ᵛ· Bs, f. 84).

Ὁ Σύρος καὶ ὁ Ἑβραῖός φησι «Καὶ ἄσβεστος ἦν αὐτοῖς ὁ πηλός», ὃ καὶ πιθανόν· ἄσφαλτος [2] γὰρ εἰς οἰκοδομὴν ἄχρηστος.

Γέν. 11, 31 - 12, 5. (Br, f. 121ʳ·ᵛ· Bs, f. 87ʳ·ᵛ· πρβλ. Προκόπιος, 317 B-D).

[66] Ζητεῖται ἐνταῦθα διὰ τί τοῦ Θεοῦ τῷ Ἀβραὰμ ἐξελθεῖν ἐκ τῆς Χαρρὰν λέγοντος ἐν τῇ Γενέσει [3], Στέφανος λέγει ὅτι ἐν γῇ Χαλδαίων πρὸ τοῦ ἐλθεῖν εἰς Χαρρὰν εἶπεν ὁ Θεὸς ἐξελθεῖν τῷ Ἀβραάμ [4]; Δεύτερον, εἰ καὶ πρὸ τούτου εἶπεν καὶ ἐξήει, διὰ τί εἶπεν ἐξελθὼν Θάρρα «πορευθῆναι εἰς γῆν Χαναάν», οὐκέτι ἀπῆλθεν, ἀλλ' «ἐν Χαρρὰν ἀπέθανεν» [5]; Εἰ δὲ ἵνα μόνος Ἀβραὰμ κατάσχῃ τῆς ἐπαγγελίας τὴν γῆν, καὶ μὴ Ναχώρ, διὰ τί Λὼτ ἐξήει «μετ' αὐτοῦ», διὰ τί δὲ ὅλως Θάρρα ἐξήει ἐκ γῆς Χαλδαίων ;

Ἡ Γένεσίς φησιν «ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Χαλδαίων πορευθῆναι εἰς γῆν Χαναάν» [7] τοῦ Θεοῦ ἄρα προϋποβάλλοντος, οὐχ ὡς τῷ Ἀβραὰμ μετὰ τὸν θάνατον τοῦ πατρός, ἀλλ' ὑποβαλόντος καὶ οἰκονομήσαντος τοῦτο· ὁ μὲν οὖν Στέφανος ἀπὸ τῆς οἰκονομίας ἤρξατο, ἡ δὲ Γένεσις ἀφ' οὗ ἐρρέθη Ἀβραάμ.

Ὑπέλαβε μὲν οὖν ὁ Θεὸς ἐκ τῆς ἀποκινήσεως Χαλδαίων, οὐχ ἵνα εἰς Χαναὰν ἔλθωσιν εὐθέως, εἰ καὶ τοῦτο ἐβούλετο. ἀλλ' ἵνα μετακινηθέντες ἐκ γῆς Χαλδαίων μεταβληθῶσι τὴν προαίρεσιν καὶ τῷ Ἀβραὰμ ὅμοιοι γένωνται· μὴ μεταβληθέντας δὲ τοὺς λοιποὺς ᾠκονόμησεν εἰς Χαρρὰν παροικῆσαι, τῷ δὲ Ἀβραὰμ μόνῳ ἐξελθεῖν παρακελεύεται. Εὑρίσκομεν δὲ ἐν τῇ Γραφῇ οὔτε τὸν Ναχὼρ μεταθέμενον [8], οὔτε τὸν Βαθουήλ, οὔτε τὸν Λάβαν· οὐδὲ γὰρ τὴν τοῦ Ἀβραὰμ εὐδαιμονίαν ἀκούσαντες τὴν εἰς τὴν Χαναὰν [9] καὶ ὡς αὐτῷ συνῆλθε Θεός, οὔτε αὐτὸν δεξάμενοι τὸν Ἰακὼβ μετέθεντο, καὶ τὸν Λὼτ μιμητὴν τοῦ Ἀβραάμ· διόπερ εὐλόγως ὁ μὲν Λὼτ συνεξήει, οἱ δὲ λοιποὶ ἀπέ-

1. Πρβλ. Γέν. 9,21. 2. Πρβλ. Γέν. 11,3. 3. Γέν. 12,1-4. 4. Πρβλ. Πράξ. 7,2-4. 5. Πρβλ. Γέν. 11,31-32. 6. Πρβλ. Γέν. 11,31. 7. ἐνθ' ἄν. 8. Πρβλ. Γέν. 24,10.24.47. 29,5 κ.ἑ. 9. Πρβλ. Γέν. 24,35 κ.ἑ.

μενον. Καὶ γὰρ ὥσπερ εὐσεβείας ἀπέστελλεν ὁ Θεὸς σπέρμα ἐν τοῖς κατὰ Χαναὰν τόποις, τοὺς μὲν ἔτι Θεὸν ἐπιγινώσκοντας ἀναζωπυροῦν, τοὺς δὲ καταλείψαντας ἐπαναστρέφον, ὥσπερ καὶ ἐν Αἰγύπτῳ τὸν Ἰωσήφ, καὶ ἐν Βαβυλῶνι τὸν Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας. Μετεκίνησεν οὖν ἐκ γῆς Χαλδαίων ὁ Θεὸς δεικνὺς τῷ Ἀβραὰμ ὅτι μετακινηθέντας τῆς ἀσεβείας οὐ κωλύσει συνανελθεῖν αὐτῷ, καὶ ὅτι αὐτὸν εὐσεβείας ἕνεκεν ἐκλέγεται. Εἰ δὲ εὐσεβείας ἕνεκεν καὶ ὠφελείας Ἀβραὰμ ἐπέμπετο, πῶς ἂν Ναχὼρ ἀπῄει εἰδωλολατρῶν; Ὅτι δὲ Θάρρα καὶ Ναχὼρ εἰδωλολάτραι, Ἰησοῦς ὁ τοῦ Ναυὴ ἐλέγχει [1].

[67] *Γέν. 12, 2. (Br, f. 122ᵛ· Bs, f. 88ᵛ.*

Ὅτι τοῦ σώματος τοῦ Χριστοῦ μεταλαμβάνοντες εὐλογούμεθα, τὸ δὲ σῶμα αὐτοῦ ἐξ Ἀβραάμ.

Γέν. 12, 17. (Br, f. 124· Bs, f. 90· Προκόπιος, 320 B 7-11).

Ἐκ τούτου δῆλον ὡς πρὶν αὐτῆς ἅψασθαι τὸν Φαραὼ τοῦτο ποιεῖ ὁ Θεός· εἰ γὰρ ἐκδικεῖ, δῆλον ὅτι φυλάττων καθαρὰν μιασμοῦ. Συγχωρεῖ δὲ τὸν φόβον τῷ Ἀβραάμ, ἵνα δείξῃ τὴν βοήθειαν καὶ πιστότερον ἐργάσηται τὸν δίκαιον.

(Br, f. 124ʳ·ᵛ· Bs, f. 90· Προκόπιος, 329 C 6-12).

Ζητεῖται εἰ κεκοινώνηκε Φαραὼ τῇ Σάρρᾳ, καὶ διὰ τοῦτο δεδώκασι τῷ Ἀβραὰμ δῶρα [2]. Εἰ δὲ οὐ κεκοινώνηκε, διὰ τί ἡ Γραφὴ οὐ μέμνηται;

Ἀπὸ τοῦ Ἀβιμέλεχ ἔστιν ἰδεῖν ὅτι οὐ συνεχώρησεν ὁ Θεός [3]· ὁ γὰρ ὕστερον μὴ συγχωρήσας, οὐκ ἂν τὸ πρῶτον ἀφῆκεν. Ἡ δὲ Γραφὴ πολλὰ ἐν πολλοῖς παραλιμπάνουσα, ἐν ἄλλοις ἀναλαμβάνει.

Γέν. 14, 18. (Br, f. 127ᵛ· Bs, f. 93ᵛ· Sin 4, Catal., σ. 4, Πρβλ. Προκόπιος, 333 B 6-9).

Ὅτι ἡ Σαλήμ, ἧς ἦν βασιλεὺς ὁ Μελχισεδέκ [4], οὔτε Ἱερουσαλὴμ ἦν οὔτε Συχέμ, ἡ Γραφὴ ἐλέγχει· φησὶ γὰρ αὐτὴν εἶναι ἐν τῇ κοιλάδι τῇ Σαυῇ, εἰς «τὸ πεδίον τοῦ βασιλέως» [5].

Γέν. 15, 8. Δύο μέρη: 1) στ. 1-12 (Bs, ff. 94ᵛ-95· ἀνωνύμου ἐν Br, f. 125ᵃᵛ). 2) στ. 12 κ.ἑ., ἐν Br, f. 129ᵃ. Τὸ ὅλον ἐν Προκοπίῳ, 337 D 5 — 340 B 11.

[68] Τινές φασιν ὅτι ἠπίστησεν Ἀβραὰμ ἐνταῦθα· διὰ τοῦτο εἶπεν ὁ Θεὸς ὅτι «πάροικον ἔσται τὸ σπέρμα σου» [6]. Εἰ οὖν ὀργίζεται, πῶς μετ' αὐτοῦ διατίθεται;

---

1. Ἰησ. Ν. 24,2. 2. Πρβλ. Γέν. 12,16. 3. Πρβλ. Γέν. 20,2 κ.ἑ. 4. Γέν. 14,18. 5. Πρβλ. Γέν. 14,17. 6. Γέν. 15,13.

(Br, f. 138· — Bs, f. 104v· N, 240· P, σ. 99 καὶ V f. 75: ἀνων.).

Ὁ πάντα ἄνθρωπον ἀπαιτῶν δικαιοπραγίαν, μὴ ποιήσῃς ἀκρίτως τοῦτο.— Ἄλλοι δὲ λέγουσι «τὴν καθόλου κρίσιν»[1].

Γέν. 18, 27 (Br, f. 138· Bs, f. 105· N, 240· P, σ. 99 καὶ V, f. 75· πρβλ. Προκόπιος, 370 A 15-18 [λατινιστί]· Monac. 358, f. 101v).

Ὁρᾷς ὅτι ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται[2]. Ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι «γῆ» ἐστι «καὶ σποδός»[3], καὶ οὐκ ὀφείλει οὔτε τὰ δίκαια μετὰ ἀδείας ἐπὶ [71] τοῦ Κυρίου φθέγξασθαι, ἐπὶ τοσοῦτον τετίμηται ὡς τὸν Θεὸν αὐτὸν εἰπεῖν «Μὴ κρύψω»[4] καὶ τὰ ἑξῆς· μικροῦ γὰρ καὶ εἰς συμβούλιον κέκληται.

Γέν. 19, 4 (Br, f. 139v· Bs, f. 106· — N 243· P σ. 99 καὶ V, f. 75v: ἀνων.).

Βαβαὶ τῆς ἐσχάτης κακίας, ὅτι οὐδὲ πρεσβύτης ἐν αὐτοῖς ἐσωφρόνει. Ὡς δέ φησιν Ἰώσηπος, θαυμάσιον εἶχον εἶδος οἱ ἄγγελοι[5].

Γέν. 19, 21-23. (Br, f. 142v· Bs, f. 109· Sin. 4, Catal., σ, 5· P.G., XV, 232-233 [Διόδωρος]· Πρβλ. Προκόπιος, 373 B Monac., f. 103).

Τὴν Σηγὼρ ἐπηγγείλατο ὁ Θεὸς δι' ἀγγέλου «μὴ καταστρέψαι»[6] διὰ τὸν Λώτ. Ταύτην δὲ ἀλλαχοῦ ἡ Γραφὴ Ζογορὰ καλεῖ[7],—ὁ δὲ Σύρος Ζαάρ,—ἢ Βάλακ, τουτέστιν Ἡ καταπιοῦσα. Διά τοι τοῦτο οἱ μὲν ἄνδρες αὐτῶν κατεπόθησαν· ἔδει γὰρ τὴν πόλιν σωθῆναι διὰ τὸν Λώτ, ἐκείνους δὲ ἀναιρεθῆναι. Διὰ τοῦτο ἐκλήθη «καταπιοῦσα», διὰ τοῦτο καὶ ὁ Λὼτ ἀπὸ ταύτης εἶχε τὰς τροφὰς ἐν τῷ ὄρει. Καὶ ὁ Ἑβραῖος οὕτω πως λέγει «ἕως τῆς καταπιούσης» περὶ τῆς Σηγώρ.

Γέν. 19, 30b (Br, f. 142v· Bs, f. 109r.v· N, 254· P, σ. 102 καὶ V, f. 77v· P.G., XV, 233-234 καὶ LXXXVI, 556 CD· Προκόπιος, 373 B).

Καὶ ταῦτα ἀκούσας ὅτι «Διὰ σὲ οὐ καταστραφήσεται». Διό φασί τινες ὅτι καταστροφῇ οὐ κατεστράφησαν οἱ εἰς Σηγώρ, ἀλλὰ κατεπόθησαν· διὸ καὶ Βαλὰκ ἐκλήθη, ὃ ἑρμηνεύεται «καταποθεῖσα». Καὶ τοῦτο συναγωνίζεται [72] τῷ τολμῆσαι τοιοῦτο τὰς θυγατέρας τοῦ Λώτ, ὡς μηδενὸς μηδὲ ἐκ Σηγὼρ περιλειφθέντος· οὐ γὰρ ἂν τὰ ἐκεῖσε ἔφυγεν ὁ Λώτ.

---

1. Πρβλ. Γέν. 18,25. 2. Πρβλ. Ματθ. 23,12. 3. Πρβλ. Γέν. 18,27 4. Γέν. 18,17. 5. Πρβλ. Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας I, XI 3. 6. Γέν. 19,21. 7. Πρβλ. Γέν. 13,10.

Γέν. 19, 33. (Br, f. 143· Bs, f. 110).

Ἔδωκεν ἑαυτὸν εἰς οἶνον [1], οὐ τὸ ὑπὸ τῶν θυγατέρων μελετώμενον γινώσκων, ἀλλὰ διὰ τοῦ πότου τὸν φόβον παραμυθούμενος.

Γέν. 20, 16ᵇ (Br, f. 145ᵛ· Bs, f. 111ᵛ· Προκόπιος, 381 C).

Διὰ τί δὲ «καὶ ταῖς μετὰ σοῦ» [2]; Ἵνα κἀκείνας προτρέψηται μαρτυρῆσαι παρὰ πᾶσι τῇ ἀγνοίᾳ καὶ μὴ τὸ ἐναντίον φημίσαι, ὡς ἂν μὴ δόξῃ ἄδικος εἶναι.

Γέν. 21, 12. Τὸ πρῶτον μέρος (στ. 1-3) ἐν Br, f. 147ᵛ. Τὸ δεύτερον (στ. 4-10) ἐν Br, f. 148, ὑπὸ τὸ ἴδιον λῆμμα καὶ ἐν Bs, f. 113ᵛ. Πρβλ. Προκοπίου, 286 [λατιν.]· Monac., f. 106ᵛ.

Διὰ τί οὖν καὶ ὁ Θεὸς συντρέχει τῇ Σάρρᾳ [3]; Πονηρὰ ἦν, καθὰ εἴρηται πάλαι, ἡ Ἄγαρ· διόπερ καὶ Ἀβραὰμ ἀκούσας παρὰ Σάρρας ἐκβάλλει τὸ παιδίον μετὰ τῆς μητρὸς ὡς πονηρόν [4].

Ἆρ' ἀπάνθρωπος ὁ δίκαιος Ἀβραὰμ οὐδὲ ὄνον δοὺς τῇ Ἄγαρ καίτοι τοσαῦτα κτήνη ἔχων; Φασί τινες ὅτι διὰ φιλανθρωπίαν, ἵνα μὴ ὄνου φροντίζῃ, τινὲς δὲ ὅτι πιστεύων ὅτι ὁ Θεὸς τοῦ παιδίου ὑπερασπίζει. Διὰ τί γὰρ ὅλως ἐκβάλλει αὐτὴν ἄρα; Θέλων εἰρήνην ἔχειν μετὰ τῆς γυναικός· καὶ μὴν αὐτὸς ἐκβάλλειν οὐκ ἤθελεν, εἰ μὴ παρὰ Θεοῦ ἀκήκοεν.

Γέν. 21, 17. (Br, f. 148ᵛ· P, σ. 107 καὶ V, f. 81: ἀνων.· Προκόπιος, 385 B 9-10· N, 271 Προκοπίου).

[73] Χαριέντως χρησώμεθα τῷ ῥητῷ, ἐπὶ τῷ δεῖν τὰ παιδία προσεύχεσθαι ὡς ὑπακουόμενα [5].

Γέν. 22, 9. (Br, f. 153ᵛ· Bs, ff. 116ᵛ-117: ἀνων.· ἀρχὴ ἐν N, 281· P, σ. 110 καὶ V, f. 83ᵛ· Πρβλ. Προκόπιος 389, 2-3 καὶ A 5-8 [λατινιστί]· Monac., ff. 107ᵛ-108).

Ἐπισημαντέον ὅτι, ὅπου οἰκοδομεῖται ὁ ναός, ἐκεῖ καὶ Ἰσαὰκ θύεται, τάχα δ' ἀληθέστερον, ὅπου ὁ υἱὸς τοῦ Θεοῦ σταυροῦται. Ἐπεὶ γὰρ οὐκ ἐφείσατο Ἀβραὰμ τοῦ μονογενοῦς, ὁ Θεὸς ἀντιδίδωσι τῷ Ἀβραάμ, καὶ δι' αὐτοῦ τῷ ἀνθρωπείῳ γένει, καὶ δι' αὐτοῦ «τοῦ ἰδίου υἱοῦ οὐ φείδεται» [6].

Γέν. 22, 12ᵇ. (Br, f. 154ᵛ· Bs, f. 117ᵛ· — N, 282: ἀνων: P, σ. 110 καὶ V, ff. 83ᵛ-84. Πρβλ. Προκόπιος, 390, στ. 4-1 ἐν ὑποσημειώσει [λατινιστί]· Monac., f. 108ᵛ).

«Νῦν ἔγνων» [7], ἀντὶ τοῦ Νῦν ἔδειξας. Πῶς γὰρ ἀγνοεῖ αὐτὸς λέγων

---

1. Πρβλ. Γέν. 19.33. 2. Πρβλ. Γέν. 20,16. 3. Πρβλ. Γέν. 16,4-5. 4. Πρβλ. Γέν. 16,6. 5. Γέν. 21,17. 6. Πρβλ. Ρωμ. 8,32. 7. Γέν. 22,12.

νομίαν. Καὶ τὸν μὲν Ἰακὼβ εὐλογῶν τὰς εὐλογίας καὶ τῷ σπέρματι αὐτοῦ κατὰ διαδοχὴν κατέλιπεν, τῷ δὲ Ἠσαῦ μόνῳ.

Γέν. 27, 37 (Br, f. 176v· Bs, f. 135v· — N, 341· P, f. 125 καὶ V, f. 96: ἀνωνύμου· Πρβλ. Προκόπιος, 421 A 1-2).

Καὶ μὴν καὶ ἄλλους υἱοὺς οὐκ ἔσχεν ὁ Ἰσαάκ. Δῆλον οὖν ὅτι «ἀδελφοὺς» τοῦ Ἰακὼβ καλεῖ τοὺς ἐκ τοῦ σπέρματος τοῦ Ἠσαῦ [1].

Γέν. 27, 40. (Br, f. 176v· Bs, f. 136· — N, 342· P, σ. 126 καὶ V, f. 96: ἀνωνύμου· Προκόπιος, 421 B).

[77] Ὡς ἔτι καὶ νῦν Ἄραβες λῃστεύοντες καὶ πολεμοῦντες διαγίγνονται. Τινὲς δέ φασιν ὅτι ἀδελφοὺς τοῦ Ἰακὼβ καλεῖ τοὺς Μωαβίτας· ἐδούλευσαν γὰρ αὐτοῖς.

Γέν. 28, 21-22. (Bs, f. 139· — N, 354· P, σ. 128 καὶ V, f. 99· Πρβλ. Προκόπιος, 429 C).

Τοῦτο βούλεται εἰπεῖν ὅτι Ἐὰν ὑποστρέψω, εὐχαριστήσω τῷ Θεῷ θυσιαστήριον ποιήσας· οἶκον γὰρ Θεῷ ἐν τῷ τόπῳ οὐκ ἐποίησεν. Ἐὰν οὖν σωθῶ, ἔσομαι τοῦ Θεοῦ· τοῦτο γάρ ἐστιν «ἔσται μοι εἰς Θεόν»[2]. «Καὶ πάντων, ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι»[3]· πρὸ τοῦ γραπτοῦ νόμου τὸν ἔμφυτον καὶ παρὰ Θεοῦ ἔχων νόμον, τῶν ὑπαρχόντων αὐτῷ ἢ μελλόντων ἔσεσθαι δεκάτας ἐπαγγέλλεται τῷ Θεῷ, φύσει τὰ τοῦ νόμου ποιῶν.

Γέν. 30, 39. (Br, f. 188v καὶ Bs, f. 148· — N, 377· P, σ. 136 καὶ V, f. 105).

Τὸ τῶν ῥάβδων οὐχὶ φυσικόν ἐστιν, ἐπεὶ Λάβαν ἐχρήσατο ἂν αὐτῷ· οὕτω δὲ οὐ φυσικόν, ὅτι ἄγγελος ἐφάνη τῷ Ἰακώβ, δεικνὺς αὐτῷ ὅτι κατ' ἐνέργειαν Θεοῦ τοῦτο γίνεται.

Γέν. 31, 7-8. (Br, ff. 190v-191 καὶ Bs, f. 149r-v· — N, 380· P, σ. 137 καὶ V, f. 106· Προκόπιος, 447 A [λατινιστί], Monac., f. 133).

Ὁ Σύρος λέγει «Καὶ ἤλλαξε τὸν μισθόν μου δεκάκις»[4], ἀντὶ τοῦ πολλάκις. Εἶπε γὰρ ὅτι Ἐὰν γεννήσῃ ποικίλα καὶ φαιά, ἔσται σοι [5]· ἰδὼν δὲ ὅτι **[78]** ἐπληθύνθη τοιούτων ἡ γενεά, πάλιν λέγει Ἐὰν γεννήσῃ «τὰ πρόβατα λευκά»[6], ἔσται σά. «Δεκάκις» οὖν «ἤλλαξε τὸν μισθόν μου».

---

1. Πρβλ. Γέν. 27,37. 2. Πρβλ. Γέν. 28,21. 3. Γέν. 28,22. 4. Πρβλ. Γέν. 31,7. 5. Πρβλ. Γέν. 30,32.34. 6. Πρβλ. Γέν. 31,8.

Γέν. 32, 2-3 (Br, f. 196· Bs, f. 153v· P, σ. 140 καὶ V, f. 108· N, 391: ἀνωνύμου).

Διὰ τοῦτο αἱ παρεμβολαὶ τῶν ἀγγέλων φαίνονται τῷ Ἰακώβ, ἵνα θαρρήσας μὴ φοβηθῇ τὸν Ἠσαῦ, εἰδὼς ὅτι τὸν Θεὸν ἔχει βοηθόν.

Γέν. 32, 25-29. (Br, f. 200· Bs, f. 156v· P, σ. 142 καὶ V, f. 111· N, 397: Φίλωνος ἑβραίου· Προκόπιος, 458, σ. 5 ἐν ὑποσημειώσει — 459, σ. 1 [λατινιστί]· Monac., f. 138).

Ἄγγελος ἦν ὁ παλαίσας μετὰ Ἰακώβ, καὶ οὐ Θεός, ὡς ἐνόμισεν ὁ Ἰακώβ· λέγει γὰρ τελευτῶν «ὁ ἄγγελος ὁ ῥυσάμενός με ἐκ νεότητός»[1] μου. Καὶ αὐτὸς ᾔδει ὅτι ἄγγελος μὲν ἦν, Θεὸς δὲ δι' ἀγγέλου εἰργάζετο. Διὰ τί οὖν ἐνταῦθα τὸ «Ἰσραὴλ ἔσται τὸ ὄνομά σου»[2]; Ἰσραὴλ Θεὸν ὁρῶν κατὰ τὴν πίστιν. Ποίαν; Λέγει ὁ ἄγγελος «Ἀπόστειλόν με»[3]. Ἆρα γὰρ ἀναχωρεῖν οὐκ ἠδύνατο, εἰ μὴ «Ἀπόστειλόν με» εἶπεν; Ἀλλὰ διδοὺς χώραν εἰπεῖν ἃ εἶπεν· πάντως γὰρ ἤθελε μὲν εἰπεῖν, ὤκνει δέ. Λαβὼν δὲ παρρησίαν φησίν «Οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς»[4]. Διὰ ταύτην τὴν πίστιν Ἰσραὴλ ἐκλήθη· «Θεὸν» γὰρ «οὐδεὶς ἑώρακεν πώποτε»[5].

Γέν. 34, 3 (Br, f. 204v).

Ἀντὶ τοῦ Ἠγάπησεν αὐτήν. «Καὶ ἐλάλησεν κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ»[6], ἀντὶ τοῦ Παρακλητικοὺς εἶπεν αὐτῇ λόγους.

Γέν. 36, 6-8 (Bs, f. 166· Προκόπιος, 464 C).

Φαίνεται ὁ Ἠσαῦ, πρὶν τὸν Ἰακὼβ ἐπανελθεῖν, οἰκῶν ἐν ὄρει Σηίρ. Πῶς **[79]** οὖν λέγει ὅτι λαβὼν πάντα τὰ αὐτοῦ ἀνεχώρησεν εἰς τὸ ὄρος Σηὶρ μετὰ τὸ ἐλθεῖν Ἰακὼβ πρὸς Ἰσαάκ; Τινές φασιν αὐτὸν ὡς ᾤκει μὲν ἐν Σηίρ, οὐ τέλειον δὲ διὰ τὸν πατέρα, ἐλθόντος δὲ τοῦ Ἰακὼβ παντελῶς μετῳκίσθη.

Γέν. 39, 13-15, 22. (Br, f. 227· Bs, f. 176r.v· — N, 449-450, 451· P, σ. 147 καὶ V, f. 123r.v· Πρβλ. Προκόπιος, 476 B 12-20 [λατινιστί]· Monac., f. 145r.v).

Μιμεῖται πάλιν τοῦ Χριστοῦ τὸ σῶμα. Κατεσχέθη ὑπὸ τῆς γυναικὸς ὁ Ἰωσήφ· ὁ Σωτὴρ κατέχεται ὑπὸ τοῦ θανάτου πρὸς βραχύ. Ἀλλ' Ἰωσὴφ ἀπεδύσατο τὰ ἱμάτια καὶ προσέρριψε τῇ ἀκολάστῳ· ὁ δὲ Σωτὴρ ἀναστὰς τὰ ἱμάτια ἀπεδύσατο καὶ προσέρριψε τῷ τάφῳ.

Ἐμβάλλεται Ἰωσὴφ εἰς τὸ δεσμωτήριον, ἐπειδὴ καὶ ὁ Χριστὸς εἰς τὸν τάφον. Ἦν ἄρχων τῶν δεσμωτῶν Ἰωσήφ, ἐπειδὴ καὶ ζώντων

---

1. Πρβλ. Γέν. 48,16.15. 2. Γέν. 32,28 3. Γέν. 32,26. 4. ἔνθ' ἀν· 5. Ἰω. 1,18. 6. Γέν. 34,3.

πολεμίων, οὗ καὶ ἡ τελευτὴ χαλεπωτέρα τῆς ζωῆς τοῖς πολεμίοις γέγονεν, ὡς ἡ Γραφὴ ἐπεσημήνατο. Καὶ πάλιν. Μωϋσῆς δὲ περὶ τοῦ Δὰν ἐν ταῖς εὐλογίαις φησίν «Δὰν σκύμνος λέοντος, καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν»[1].

Γέν. 49, 24ᵇ (Bs, f. 213· — N, 539-540· P, σ. 185 καὶ V, f. 148ᵛ).

Οὐκ ἠδύνατο «χειρῶν» εἰπεῖν ἢ ὤμων, ἀλλ' ἐπειδὴ τὰ ἐν μέσῳ τοῦ τόξου πλατέα βραχίονες λέγονται, εὐκαίρως βραχίονας καλεῖ.

Γέν. 49, 27. (Bs, f. 213ᵛ καὶ f. 214· — N, 542· P, σ. 186 καὶ V, f. 149).

Βούλεται τὴν τόλμαν προαγορεύειν, ἣν ἐτόλμησαν, καὶ τὸν πρὸς τοὺς ἀδελφοὺς αὐτῶν πόλεμον, καὶ τὴν τῶν παρθένων ἁρπαγήν. Τοῦ αὐτοῦ. «Τὸ πρωϊνὸν ἔδεται»[2], ἀντὶ τοῦ Πολεμήσει, ὡς καὶ τῷ Βαλαὰμ λέγει «Οὐ κοιμηθήσεται, ἕως φάγῃ θήραν, καὶ αἷμα τραυματιῶν πίεται»[3]. «Διαδώσει τροφὴν» ἑαυτῷ, τουτέστιν Ἁρπάζοντες ἑαυτοῖς[4] τὴν ἁρπαγὴν διαδώσουσιν.

ΕΞΟΔΟΣ 1, 12 (Bs, f. 216ᵛ· — N, 555· P, σ. 188 καὶ V, f. 151ᵛ: ἀνωνύμου· Πρβλ. Προκόπιος, 513 B 1-3).

[83] Ὁ Σύρος καὶ ὁ Ἑβραῖος «Ἐθλίβοντο ὁρῶντες αὐτοὺς πληθυνομένους καὶ ἐκάκουν αὐτούς».

Ἐξ. 1, 21. (Bs, f. 217· — N, 558· P, σ. 188· V, f. 152ʳ·ᵛ· Πρβλ. Προκόπιος 514 [λατινιστί]· Monac., f. 165).

Τὰς ἀχειροποιήτους καὶ ἐν τοῖς οὐρανοῖς[5]· τοιαύτας γὰρ ἑαυτοῖς ποιοῦσιν οἱ εὐαρεστοῦντες Θεῷ.

Ἐξ. 2, 1-10. (Bs, ff. 217ᵛ-218· CRAMER, σ. 111-112· P.G., LXXXVI 557 BD).

Α. Ἐγέννησαν οἱ γονεῖς, εἶδον ὅτι καλὸν (ἐπήνθει γὰρ ἡ χάρις), θεασάμενοι δὲ ὅτι καλὸν ἐφείδοντο, φοβούμενοι δὲ τὸ πρόσταγμα ἔκρυψαν. Κρύψαντες δὲ ἐκινήθησαν καὶ ὥρμησαν ῥῖψαι διὰ τὸν φόβον, σοφίζονται δὲ τὸ πρᾶγμα διὰ τὰ σπλάγχνα· καὶ κιβωτὸν ποιησάμενοι πρὸς μίμησιν τῆς γενομένης ἐπὶ Νῶε, καὶ τὸν Θεὸν τοῦ Νῶε ἐπικαλεσάμενοι ῥίπτουσι τὸν παῖδα ἐν τῷ ποταμῷ διὰ τῆς κιβωτοῦ, ἵνα καὶ δοκῶσι πείθεθαι τῷ προστάγματι καὶ ἀσφαλίσωνται τὸν παῖδα. Καὶ οἱ μὲν ῥίπτουσιν, ὁ δὲ παρακελεύεται ἀγνοούσῃ τῇ θυγατρὶ Φαραὼ ἐξελθεῖν ἐπὶ τὸν ποταμόν· ἐξῆλθεν ἀγνοοῦσα, εὗρεν ὃ οὐκ ἐζήτει.

---

1. Δευτ. 33,22. 2. Γέν. 49,27. 3. Ἀριθμ. 23,24. 4. Πρβλ. Κριτ. 21,23. 5. Πρβλ. Β' Κορ. 5,1.

Β. Καὶ μετ' ὀλίγα. Καὶ ἐσώθη Μωϋσῆς διὰ συμβόλων τῆς κοινῆς σωτηρίας τῆς ἐκκλησίας. Ἡ γὰρ κιβωτὸς ἀπὸ ξύλου ἦν, καὶ τὸ ξύλον ἐπὶ ὕδατος, καὶ σωτηρία τῷ ἀπαγορευθέντι, καὶ ἡ ἀναλαβοῦσα οὐκ Ἰουδαία, ἀλλ' ἐξ ἐθνῶν καὶ Αἰγυπτίᾳ.

[84] Γ. Καὶ πάλιν. Ἐγένετο δὲ πάντα, ἵνα μηδὲν τῶν κατὰ Μωϋσέα νομισθῇ ἀνθρώπινον. Τίνος γὰρ ἦν εἰπεῖν, ὅτι αὐτῶν ἦν Μωϋσῆς; Οἱ γονεῖς; ἀλλ' ἔρριψαν. Οἱ Αἰγύπτιοι; ἀλλ' οὐκ ἐγέννησαν. Ἡ μήτηρ, ὅτι ἔθρεψεν; ἀλλ' ἄλλη ἔδωκε μισθούς. Οὐκοῦν, ἐπειδὴ οὐχ εὑρίσκεται ἀνθρώπων, ἄνθρωπος Θεοῦ οὕτω γεννηθεὶς καὶ σωθεὶς παιδεύεται τὰ Αἰγυπτίων· σοφὸς γὰρ ἦν ὁ παιδεύων.

Καὶ γὰρ ἐν τοῖς πολέμοις πέμπονται οἱ κατασκοποῦντες, ἵνα πρῶτον γνωσθῇ τῶν ἀντικειμένων τὰ ἐνθυμήματα, καὶ οὕτω καταρχὴ γένηται τῆς μάχης. Ἐπειδὴ δὲ ἤμελλε κατ' Αἰγυπτίων καθοπλίζεσθαι Μωϋσῆς, εὐσεβῶς ὑπεβλήθη τοῖς Αἰγυπτίοις, ἵνα Αἰγυπτίων κατασκοπήσῃ καὶ Θεὸν ἀνθρώπων προτιμήσῃ.

Ἔξ. 2, 12-13. Τρία μέρη. Τὸ πρῶτον στ. 1-5 (Bs, f. 219r.v. P.G., 560 B καὶ CRAMER σ. 114)· Τὸ δεύτερον στ. 6-9 (Bs, συνέχεια τοῦ προηγουμένου ἀποσπάσματος· CRAMER, σ. 113· P.G., 557 D — 560 A 4). Τὸ τρίτον στ. 10-17 (Bs, f. 219v· P.G., 560 AB καὶ CRAMER, σ. 113-114· N, 565· P, σ. 190 καὶ V, f. 153v).

Δ. Ἃ δὲ ἐποίει αἴνιγμα ἦν ἀγνοουμένων πραγμάτων· τοῦτο γὰρ σημεῖον ἦν ὅτι μέλλει ὁ Θεὸς διὰ Μωϋσέως Αἰγυπτίους ἀποκτενεῖν, τοὺς δὲ λεγομένους Ἰσραηλίτας σῴζειν. Γευσάμενος δὲ Μωϋσῆς καλῆς θήρας, ὡς σκύλαξ εὐγενὴς ἐξῆλθεν καὶ εἰς τὴν ἑξῆς, ἐπὶ τὰ ὅμοια περιβλεπόμενος, μὴ πάλιν ἄλλος κατὰ Ἰσραηλίτου.

Ε. Εὗρε δὲ οὐχ ὃ ἐζήτει, ἀλλ' ἀδελφὸν πρὸς ἀδελφόν· παρῄει μέσος, οὐκέτι τὸν ζῆλον ἐκεῖνον, ἀλλὰ νουθεσίαν προεβάλλετο. Μὴ ἀδίκει, φησίν, ἀδελφός ἐστιν ὃν ἀδικεῖς. Προεβάλλετο τὴν προσηγορίαν, ἵνα δυσωπήσῃ τὴν πλεονεξίαν.

F. Ἀνεῖλε Μωϋσῆς, οὐ θυμῷ εἴξας, οὐδὲ ὀργῇ νικηθείς, ζήλῳ δέ. Πᾶν δέ, ὃ ἂν γένηται εἰς λόγον Θεοῦ, εὐσέβεια· κἂν φόνος ᾖ διὰ Θεόν, οὐκ ἔστι φόνος. Ὁ γοῦν Φινεές, δύο ἐν μιᾷ χειρὶ φονεύσας, ἤκουσεν «Ἔστη Φινεὲς [85] καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις»[1]. Διάφορος γὰρ ἡ προαίρεσις φονέως καὶ εὐσεβοῦντος, καὶ τὸ πρᾶγμα τὸ γενόμενον διὰ τοῦ Φινεὲς ἱερωσύνη μᾶλλον ἢ φόνος. Τοσοῦτον γὰρ ἴσχυσεν ὁ διπλοῦς οὗτος φόνος, τοῦ θανάτου ἐπινεμομένου τὸν Ἰσραὴλ δι' ἀσέβειαν, ὅπερ ἴσχυσε τὸ θυμιατήριον τοῦ πατρὸς Ἀαρών. Τοσοῦτον ἴσχυσε φόνος, μᾶλλον δὲ ἡ εὐσέβεια.

---

1. Ψαλμ. 105,30. Πρβλ. Ἀριθ. 17,12-13.

Ἐξ. 2, 15 (Bs, f. 220v· CRAMER, σ. 115· — N, 568· P, σ. 191 καὶ V, f. 154v).

G. Μηδεὶς ἡμῶν ἔστω φίλος τῶν τοῦ Θεοῦ ἐχθρῶν· ὅσον γάρ τις ἀγαπᾷ τὸν Θεόν, τοσοῦτον μισεῖ τοὺς ἀντικειμένους Θεῷ.

Ἐξ. 3, 1. (Bs, f. 220v· P, σ. 191· V, f. 154v· P.G., 560 B· CRAMER, σ. 116· N, 573).

H. Ἐκ βασιλείων ἐξελθὼν ποιμὴν ἐν ἐρήμῳ ἐγένετο, καὶ οὐκ ἤχθετο. Εἴ τις γὰρ θέλει σῶσαι τὴν ἀγάπην καὶ τὸ φίλτρον τὸ περὶ Θεόν, εἴτε ἐν πενίᾳ σῴζεται, εἴτε ἐν πόλεσι διαφυλάττεται, εἴτε ἐν δεσμωτηρίῳ οὐκ ἀγανακτεῖ· ἔχεις τούτου ἐν τῇ Γραφῇ παραδείγματα.

(Bs, f. 221v-222· — N, 573-574· P, 192 καὶ V, ff. 155v-156).

Ποιμαίνει Μωϋσῆς τεσσαράκοντα ἔτη. Μεμέρισται γὰρ αὐτοῦ ἡ ζωὴ εἰς τρεῖς ἀριθμοὺς ἴσους. Ὅτε γέγονε τεσσαράκοντα ἐτῶν ἐπεσκέψατο «τοὺς ἀδελφούς»[1], καὶ ἐδιώχθη τεσσαράκοντα ἔτη ποιμαίνειν, τεσσαράκοντα ἔτη προΐσταται τοῦ λαοῦ· ἵνα τὰ Αἰγυπτίων μάθῃ διὰ τεσσαράκοντα ἐτῶν, τὰ δὲ τῆς ποιμαντικῆς τῶν προβάτων διδαχθῇ διὰ τεσσαράκοντα ἐτῶν, ἐπειδὴ **[86]** ἤμελλεν ἐπὶ τεσσαράκοντα ἔτη λογικὰ πρόβατα πιστεύεσθαι. Καὶ πᾶσα μὲν ἡγεμονία χαλεπή, καὶ προβάτων, καὶ ἵππων, καὶ βοῶν, οὐχ οὕτω δὲ ὡς τῶν λογικῶν καὶ ὁμοίων· ἐκεῖ μὲν γὰρ οὐ τῶν ὁμοίων, ἀλλὰ πολὺ τὸ δέος καὶ τὴν ὑποταγὴν ἐχόντων, ἐνταῦθα δὲ ὁμοτίμων καὶ τῆς αὐτῆς ὄντων φύσεως· καὶ ἄνθρωπον ἀνθρώπους ποιμαίνειν, ἔνθα τὸ ἴσον τῆς φύσεως, χαλεπωτέραν ποιεῖ τὴν ἐπιστασίαν. Διὰ τοῦτο τοίνυν γυμνάζεται Μωϋσῆς πρῶτον διὰ προβάτων, ἵνα ἑτοιμότερος εὑρεθῇ διὰ τῆς παιδεύσεως τῆς ἑνούσης εἰς τὴν ἐπιστασίαν τῶν λογικῶν προβάτων.

Ἐξ. 3, 2. (N, 574· P, σ. 194· V, f. 157v· Πρβλ. Προκόπιος, 526, στ. 19-21 [λατινιστί]· Monac, f. 170v).

Ὡς λοιπὸν τῷ Μωϋσῇ πεπληρῶσθαι τὰ τῶν γυμνασίων, τοῖς δ' Αἰγυπτίοις τὰ τῆς ὠμότητος, τῷ δὲ Ἰσραὴλ τὰ τῆς ταπεινώσεως, τῷ δὲ Θεῷ τὰ τῶν ἐπαγγελιῶν τῶν πρὸς Ἀβραάμ, Μωϋσῆς μὲν ἐποίμαινε, Θεὸς δὲ ὀπτασίαν καθῆκε, καὶ πῦρ μακρόθεν ἐφαίνετο ἐν βάτῳ μαχόμενον, φύσις κεχαλινωμένη. Πῦρ ἦν ἐν βάτῳ, καὶ βάτος εἶχε πῦρ ἐν κόλποις μὴ καιομένη· ξένον ἦν τὸ ὅραμα καὶ παρὰ φύσιν τὸ θέαμα, ἐπισπᾶται δὲ τὰ ξένα καὶ ἐφέλκεται τὰ μὴ ἐν συνηθείᾳ.

Ἐξ. 3, 3. (Bs, f. 223).

Ἐὰν ἐξετάσῃς διὰ τί ἐν βάτῳ «ὤφθη»[2], εὑρήσεις ὅτι οὐδὲ τοῦτο οὐκ ἦν ἀργόν. Ἤδει γὰρ ὁ Θεὸς πρὸς ποῖον λαὸν ἔπεμπεν, ᾔδει ὅτι

1. Ἐξ. 2,11. 2. Ἐξ. 2,3.

οὐδὲν αὐτοῖς ἐστι ποιῆσαι ἀπὸ ξύλων θεούς· ἐξελέξατο οὖν τοιοῦτον ξύλον, ἀφ' οὗ οὐδ' ἂν ἐθέλωσι ποιῆσαι δυνήσονται.

Ἔξ. 3, 5. (Bs, f. 224ᵛ· N, 580· P, σ. 194 καὶ V, f. 158).

Τί οὖν; Ἐμόλυνε «τὸ ὑπόδημα»[1] τὴν ἁγίαν γῆν; Ἔστω δέ, ἔλυσε «τὸ ὑπόδημα» Μωϋσῆς, οὐχὶ ἐπὶ γῆς ἐτίθετο «τὸ ὑπόδημα». Ἀλλὰ φαίνεται, **[87]** ὅτι βούλεται αὐτὸν ἐπιγνῶναι ποῦ ἐφέστηκε, τίς ὁ παρὼν καὶ τὸν τόπον ἁγιάζων. Ἵνα οὖν μάθῃ ὅτι ἁγίου παρουσία, καὶ οὐχὶ πῦρ κατὰ φύσιν καίει τὴν βάτον, ἐκάλεσε τὴν γῆν ἁγίαν, ἵνα ἀπὸ τοῦ τόπου γνωσθῇ ὁ παρών.

Ἔξ. 3, 6ᵇ. (Bs, f. 225· N, 581 καὶ P, σ. 194· V, f. 158· Πρβλ. Προκόπιος, 528, στ. 12-10 ἐν ὑποσημειώσει [λατινιστί]· Monac., f. 172ᵛ).

Ἔφριξε Μωϋσῆς τὸ θέαμα· φρικωδεστέρα δὲ ἦν ἡ ἀκοὴ καὶ ἐν ταραχῇ ἦν ἡ ἡδονή. Ὅτι μὲν γὰρ κατηξιώθη ἀκούειν ἔχαιρεν, ὅτι δὲ φοβερὰ ἦν τὰ λεγόμενα καὶ τὰ ὁρώμενα ἐταράττετο μετὰ γλυκύτητος· καί φησιν πρὸς αὐτὸν Ἔγνως ὅτι ἅγιος παρών, ἄκουε λοιπὸν παρὰ ἁγίου.

Ἔξ. 3, 11-13ᵃ. (Bs, f. 225ʳ·ᵛ· P, σ. 196 καὶ V, f. 158ᵛ· N, 583: ἀνωνύμου. Δύο ἀποσπάσματα ἐν N· Πρβλ. Προκόπιος, 529, A 12-16).

Παραιτεῖται ὁ Μωϋσῆς· ὅσον μὲν γὰρ εἰς τὸ ῥύσασθαι τὸν Ἰσραὴλ καὶ πάνυ ἐβούλετο ὁ γὰρ καὶ πρὶν προσταχθῆναι ἀπελθών, πολλῷ μᾶλλον ἂν καὶ σφροδρότερον ἀπῆλθε κελευόμενος. Ὅσον μὲν οὖν εἰς τὸ ῥύσασθαι τὸν λαὸν πρόθυμος ἦν, ὅσον δὲ εἰς τὸ τὸν λαὸν πεῖσαι τὴν εὐεργεσίαν δέξασθαι ἀπρόθυμος· καὶ ηὑρίσκετο μὲν καινὸν τὸ πρόσταγμα. Οὐ γὰρ τοσοῦτον Αἰγυπτίων Μωϋσῆς τὴν σκληρότητα παραιτεῖται, ὅσον Ἰσραὴλ τοῦ εὐεργετουμένου χάριν.

Ὁρᾷς αὐτὸν παραιτούμενον διὰ τοὺς Ἰσραηλίτας μάλιστα, καὶ τὴν ἀπιστίαν αὐτῶν ἐκκλίνοντα; Οὗτος ὁ Μωϋσῆς, εἰς ὃν καυχῶνται· καυχῶνται δὲ οὐκ αὐτοί, ἀλλ' ἡ Μωϋσέως προαίρεσις.

Ἔξ. 3, 13ᵇ. (Bs, f. 225ᵛ· N, 584 καὶ V, f. 158ᵛ: ἀνωνύμου· P, σ. 196· Πρβλ. Προκόπιος 530 B [λατινιστί]· Monac., f. 173ᵛ).

[88] Ζητεῖς «ὄνομα» Θεοῦ καὶ τίς ὁ κατονομάσας; Τίς γὰρ αὐτοῦ προϋπῆρχεν, ἵνα μαθήσῃ τὴν προσηγορίαν; Τίς δὲ ἦν ὅμοιος, ἵνα τοῦτο ποιήσῃ; Ἀκατονομάστου ζητεῖς προσηγορίαν· νηπίοις γὰρ ἤμελλε λαλεῖν, ἀλλ' οὐκ ἦν ὄνομα.

---

1. Ἔξ. 3,5.

Ἔξ. 3, 14. (Bs, f. 226· — N, 585· P, σ. 196· V, f. 159· Παρβλ. Προκόπιος, ἔνθ' ἀν.).

Ἐπειδὴ οὐχ εὑρέθη τις λέξις σημαίνουσα τὸ ἀκατονόμαστον, Εἰπέ, φησιν, «ὁ ὢν»[1]. Τὸ γὰρ «ὢν» πράγματός ἐστι σημαντικόν, οὐχὶ ὄνομα δηλωτικὸν Θεοῦ· ἀλλ' «ὁ ὢν», ὁ δι' ἑαυτὸν ὤν, ὁ μὴ παρ' ἄλλου ἔχων τὸ εἶναι.

Ἔξ. 3, 15. (Bs, f. 227v· — N, 586· P, σ. 196 καὶ V, f. 159).

Ἐπειδὴ οὐκ ἔχω ὄνομα, ἑρμήνευσον αὐτοῖς, ὡς ἐγχωρεῖ, τὴν φύσιν, εἰπὲ «ὁ ὢν»[2]. Ἀλλ' οὐ νοοῦσι, φησί, τί ἐστι «ὁ ὤν». Τοὺς πατέρας αὐτῶν ἔσχον δούλους ἀγαθούς, χαίρω ἐπὶ τῇ ἐκείνων δουλείᾳ, ὁμολογῶ ἐμαυτὸν Θεὸν ἐκείνων εἶναι. Εἰπὲ αὐτοῖς «ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν πατέρων ὑμῶν, τοῦτό μου ὄνομα»[3].

Ἔξ. 3, 18 (Bs, f. 228).

Τὸ «προσκέκληται»[4] ἐκληπτέον, ὅτι ἀπεκαλύφθη, ὅτι ὤφθη· ὁ δὲ Ἑβραῖός φησιν «ἐκάλεσεν ἡμᾶς».

Ἔξ. 4, 6-9. (Bs, ff. 229v-230· — P, σ. 200 καὶ V, f. 161v· N, 596).

Προβάλλεται τὰ σημεῖα τοῖς Ἰσραηλίταις ὡς ἀπίστοις. Ὁ γὰρ πιστεύων οὐ χρῄζει σημείων, ἀλλὰ διδασκαλίας παρὰ τοῦ πιστοῦ, ὁ δὲ ἔτι ἀπιστῶν διὰ σημείων πεισθήσεται.

[89] *Ἔξ. 4, 10 (Bs, f. 230).*

Προφασίζεται, τὴν γλῶτταν προβάλλεται ἀντὶ παραιτήσεως. Ἀποκρίνεται ὁ Θεός· Μή μοι προβάλλου τὰ ἐλλείποντα, ὅλην τὴν γλῶσσαν ἔκτισα, καί σε ὅλον.

Ἔξ. 4, 11-12 (N, 599· Bs, f. 230v· P, σ. 200 καὶ V, f. 162: ἀνωνύμου).

Οὐ τὸ πάθος, ἀλλὰ τὸν ἄνθρωπον, ἀντὶ τοῦ Τὰ ἐμὰ δημιουργήματα ἐμοὶ διορθοῦσθαι δυνατόν. Οὕτω καὶ ὁ ἐκ γενετῆς τυφλὸς οὐ καθ' ἁμαρτίαν πατέρων οὕτω γεγέννηται, ἀλλ' ἵνα δοξασθῇ ὁ Θεὸς διὰ τῆς ἰάσεως αὐτοῦ.

Ἔξ. 4, 13 (Bs, f. 231· — N, 600· P, σ. 201 καὶ V, f. 162v).

Ἤδει γὰρ ὁ προφήτης τὸν μέλλοντα πέμπεσθαι, Ἰησοῦν τὸν Χριστὸν σωτῆρα τὸν ἀληθινόν.

---

1. Ἔξ. 3,14. 2. ἔνθ' ἀν. 3. Ἔξ. 3,15. 4. Ἔξ. 3,18.

Ἐξ. 4, 19. (Bs, f. 232· Προκόπιος, 537 B· Monac., f. 177ᵛ).

Οὐκ ἄλλος ὁ τελευτήσας πρὶν φανῇ ὁ Θεὸς Μωϋσεῖ, καὶ ἄλλος ὁ μετὰ ταῦτα, ἀλλ' ἔστι περὶ τοῦ αὐτοῦ ἐπανάληψις. Ὅτι δὲ τοῦτό ἐστιν, ἐπάγει ὁ Θεὸς «Βάδιζε, τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχήν σου»[1].

Ἐξ. 4, 24. (Bs, f. 233· — N, 611· P, σ. 204).

Ἐκελεύσθης, φησίν, εἰσελθεῖν εἰς Αἴγυπτον ἵνα ἐκβάλῃς τὸν λαόν, καὶ εἰσφέρεις σου «τὴν γυναῖκα καὶ τοὺς υἱούς» ὡς ἀπιστῶν τῇ ἐπαγγελίᾳ;

Ἀπειληθεὶς οὖν φόνον οὐκέτι εἰσήγαγεν, ἀλλ' ἔπεμψε πρὸς τὸν πενθερόν· **[90]** μετὰ δὲ τὴν ἔξοδον τοῦ λαοῦ ἦλθεν πρὸς αὐτὸν ὁ πενθερὸς ἄγων καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας.

Ὅτι δὲ οὐ διὰ τὸ ἀπεριτμήτους εἶναι τοὺς υἱοὺς ἠγανακτήθη ὁ Μωϋσῆς, σημαίνει τὸ ἐν τῇ ἐρήμῳ πάντας τοὺς γεννηθέντας παῖδας ἀπεριτμήτους ἐᾶσαι. Μὴ οὖν μεγαλοφρονείτωσαν Ἰουδαῖοι ἐπὶ τῇ περιτομῇ.

Ἐξ. 4, 24ᵇ (Bs, f. 233).

Ὁ ἄγγελος οὐκ ἦλθεν ἵνα ἀνέλθῃ, ἀλλὰ προσεποιήσατο τὸ ἀναιρεῖν, ἵνα οἰκονομήσῃ ἃ θέλει. Ποῖα δὲ ἤθελεν; Φόβῳ φόβον ἀντιτάξαι, καὶ θαρραλεώτερον αὐτὸν κατὰ Φαραὼ ἐποίει δειλότερον ποιῶν.

Ἐξ. 4, 25· (Bs, f. 233ᵛ· — N, 610-611· P, σ. 204 καὶ V, ff. 165ᵛ-166· στ. 3-7 Πρβλ. Προκόπιος, 538, στ. 6-4 ἐν ὑποσημειώσει [λατινιστί]. Monac, f. 178).

Ἐνταῦθα ἐπιπηδᾷ ὁ Ἰουδαῖος καί φησι· «Περιέτρεμεν» γυνὴ τὸν υἱόν, καὶ οὐκ ἀνῃρέθη Μωϋσῆς· τοσοῦτον ἰσχύει ἡ περιτομή.

Εἰ ἡ περιτομὴ τοῦ ἑνὸς παιδὸς ἴσχυσε σῶσαι τὸν πατέρα, ὦ Ἰουδαῖε, ἡ τοῦ δευτέρου ἀκροβυστία πῶς οὐδὲν ἔβλαψεν; Εἰ ἡ περιτομὴ ἦν ἡ προστᾶσα τοῦ παιδός, ὁ Μωϋσῆς τοῦτο μαθὼν οὐκ ἂν ἐν τῇ ἐρήμῳ ὅλους τοὺς γεννηθέντας παῖδας, ἀγγέλου προηγουμένου, ἐτόλμησεν ἀφεῖναι ἀπεριτμήτους, πεῖραν λαβὼν ἐξ ὧν αὐτὸς ἔπαθεν. Ἀλλ' ὁ δὲ Μωϋσῆς ὑπεβάλετο περιτεμεῖν, ἀλλ' ἡ μήτηρ ἐστοχάσατο· καίτοι εἰ «ἀποκτεῖναι» ἠθέλησεν ὁ ἄγγελος, προέφθανεν πάντως ἡ χεὶρ τοῦ ἀγγέλου εἰς ἀναιρεσιν· ἀλλ' οὐκ ἤθελεν φονεῦσαι, ἀλλὰ τὴν γυναῖκα ἀποστρέψαι. Πῶς γὰρ τὸν λαὸν μέλλων ἐξαγαγεῖν ἐξ Αἰγύπτου, αὐτὸς τὴν γυναῖκα καὶ τοὺς παῖδας εἰσέφερεν. Ὅτι δὲ οὔτε ἡ γυνὴ μετ' αὐτοῦ εἰσῆλθεν, οὔτε οἱ παῖδες, πάλιν αὐτὸς μαρτυρεῖ ἀλλ' ἔπεμψε πρὸς τὸν πατέρα. Αὐτὸς οὖν ἔστιν ὁ συνιεὶς τὴν αἰτίαν

1. Ἐξ. 4,19.

παὶ παραφυλαξάμενος εἰσενεγκεῖν τὴν γυναῖκα. Μετὰ δὲ τὴν ἔξοδον τὴν γενομένην τῷ λαῷ ἐν τῇ ἐρήμῳ φησὶν Ἦλθεν πρὸς αὐτὸν ὁ πενθερὸς ἄγων καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας.

Ἔξ. 4, 25b-26. (Bs, f. 234· P, σ. 204 καὶ V, f. 166: ἀνωνύμου).

[91] Ὁ δὲ Ἀκύλας ἀντὶ τοῦ «ἔστη τὸ αἷμα τῆς περιτομῆς»[1], εἶπε «Νυμφίον αἵματος ἔχω»· ὁ δὲ Ἑβραῖος «ἐσφράγισε τὸ αἷμα τῆς περιτομῆς».

Ἔξ. 4, 29 (Bs. f. 234v).

Μωϋσῆς κατέρχεται εἰς Αἴγυπτον, καὶ κατέρχεται πρὸς Φαραὼ τὸν σκληρὸν καὶ πρὸς τὸν λαὸν τὸν ἄπιστον, ἀμφότερα σκληρά,— καὶ Φαραὼ μετὰ Αἰγυπτίων, καὶ λαὸς μετὰ ἀπιστίας, —ἀλλὰ Θεὸς φοβερώτερος.

Ἔξ. 5, 2. (Bs, f. 234v: ἀνωνύμου· — N, 616-617· P, σ. 204 καὶ V, f. 166v).

Ἀγρία ἡ φωνὴ προτρέπουσα τὸν σῴζοντα σῴζειν, διεγείρουσα τὴν δίκην, ἐκδικοῦσα τὰ αἵματα τῶν βρεφῶν καὶ τῶν νηπίων τὴν ἄδικον ἀπώλειαν.

Ἔξ. 6, 14-27 (Bs, f. 238r-v Τὸ κείμενον τοῦ Προκοπίου δημοσιευθὲν ἐν PG 86, 544 A 1-5 καὶ A 15-B 15 προέρχεται πιθανῶς ἐκ τοῦ ἀνωτέρω κώδικος. Τὸ κείμενον τοῦ Monac. f. 180v εἶναι ἐν πολλοῖς διάφορον).

Διὰ τί ἐνταῦθα γενεαλογήσας ἀπὸ τοῦ Ῥουβὴν, ἐλθὼν εἰς Λευῒ κατέπαυσεν; Δῆλον ὅτι διὰ τοῦτο ἄρχεται, ἵνα τὸν Λευῒ γενεαλογήσῃ καὶ εἴπῃ περὶ Μωϋσέως καὶ Ἀαρών· «οὗτοί εἰσιν οἱ προσδιαλεγόμενοι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου»[2], οὗτοι καὶ πρῶτοι ἄρχουσι πρὶν ἀναστῆναι κριτήν, ἢ βασιλέα, ἢ ἀρχιερέα, καὶ ἀπὸ τῆς αὐτῶν δεῖ γενεαλογεῖν. Ὅταν οὖν ὁ Θεὸς λέγῃ «Τετάρτη» οὖν «γενεᾷ ἀνελεύσονται ὧδε»[3], ἀπὸ τῆς Λευῒ φυλῆς, ὡς διὰ τούτων [92] ἀρχούσης,δεῖ γενεαλογῆσαι. Ὅταν δὲ λέγῃ ἐνταῦθα «Πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου»[4], ἀπὸ τοῦ Ἰακὼβ ἀρκτέον.

Ἐπεὶ μέγα ζήτημα κινεῖται, ὅπως ὁ Θεὸς μὲν λέγει «τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε»[5], τουτέστιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὁ δὲ Μωϋσῆς «πέμπτῃ γενεᾷ ἀνέβησαν ἐξ Αἰγύπτου»[6]. Ἡ γὰρ ἀπὸ τοῦ Λευῒ πέμπτη ἔπεσεν ἐν τῇ ἐρήμῳ, ἡ ἕκτη δηλονότι εἰσῆλθεν· ὁ γὰρ Ἀαρὼν ἀπὸ μὲν Ἰακὼβ πέμπτος, ἀπὸ δὲ Λευῒ τέταρτος. Φι-

---

1. Ἔξ. 4,25. 2. Ἔξ. 6,27. 3. Πρβλ. Γέν. 15,16. 4. Ἔξ. 13,18. 5. Γέν. 15,16. 6. Πρβλ. Ἔξ. 13,18.

νεὲς οὖν ὁ εἰσελθὼν ἔκτος ἐξ 'Ιακὼβ (ἔστι γὰρ 'Ιακώβ, Λευΐ, Καάθ, 'Αμβράμ, 'Ααρών, Φινεές). Κατὰ οὖν τὴν πέμπτην γενεὰν ἀπὸ τοῦ 'Ιακὼβ λέγει.

"Εξ. 7, 19-24 (Bs, ff. 241ᵛ-242· — N, 632· P, σ. 211 καὶ V, f. 171ᵛ).

Πρώτη πληγὴ αἵματος, δικαία ἡ κρίσις· αἵματος γὰρ ἐμπλησθεὶς τῶν βρεφῶν «εἰς αἷμα»[1] μεταβάλλεται ὁ ποταμός. 'Εβόα γὰρ τὸ αἷμα τῶν νηπίων, γέγονε τὸ θαῦμα, οὐχ ηὑρίσκετο ὕδωρ· ὅλον γὰρ ἦν αἷμα. Καλεῖ τοὺς φαρμακοὺς Αἰγύπτου, ἵνα ἐλαττώσῃ τὸ θαῦμα· εἴτε οὖν φαντασίας πεποιήκασιν, εἴτε συνεχώρησε τοῦτο ποιῆσαι, οὐ τολμῶ εἰπεῖν.

Κ α ὶ μ ε τ' ὀ λ ί γ α. Πάλιν ἡ ῥάβδος, ἧς χωρὶς οὐδὲν ἐγένετο· ποταμὸν ἔτυπτε, καὶ αἷμα μὲν παρέφερεν, ὕδωρ δὲ ἀνεκαλεῖτο. "Ακουε ταῦτα καὶ σκόπει τὰ μυστήρια, καὶ ὅτι διὰ ῥάβδου, καὶ ὅτι δι' ὕδατος. 'Επειδὴ δὲ οὐ μόνον «ἐν τῷ ποταμῷ»[2] αὐτοὺς ἠδίκησεν, ἀλλὰ καὶ ἐν τῇ γῇ (πλίνθους γὰρ ἔβαλλον), ἐκβάλλει καὶ ἐκ τῆς γῆς ὁ Θεὸς τιμωρίας κατ' αὐτῶν καὶ δι' ὑδάτων πολλάς· εἴτε δὲ εἰς ξύλινα σκεύη, εἴτε εἰς λίθινα εὑρέθη ὕδωρ ἐν Αἰγύπτῳ, γέγονεν αἷμα.

"Εξ. 8, 15. (Bs, f. 245ᵛ· στ. 3-6, Προκόπιος. P.G., 553 A — 556 A 3 [Pg]· Monac., f. 186 [M]).

Οἱ δὲ φαρμακοὶ καὶ μάγοι ἕως δευτέρου καὶ τρίτου σημείου προστιθέντες κακὰ κακοῖς, ἀνατρέψαι δὲ μὴ ἰσχύσαντες, ἠναγκάσθησαν ἐλθεῖν καὶ **[93]** ἀποκρίνασθαι πρὸς Φαραὼ «Δάκτυλός ἐστι Θεοῦ»[3], ὅτι ὅλως παρὰ Θεοῦ ἡ ἀφὴ αὕτη. Εἰ γὰρ μὴ ἤθελέ, φασίν, ὁ Θεός, οὐκ ἐφέροντο αἱ πληγαί, ἀλλ' ἅπαξ ἅπαντας ἂν ἀπώλεσεν. 'Επεὶ οὖν ἠρέμα ἐγίγνετο τὰ γιγνόμενα, δάκτυλον ἐκάλεσαν, ἀλλ' οὐ χεῖρα, ὅμως καὶ τῷ δακτύλῳ παρεχώρησαν.

"Εξ. 8, 16. (N, 641· P, σ. 213· V, f. 173ʳ·ᵛ· Bs, f. 245: Σευήρου 'Αντιοχείας).

Διὰ τῶν σμικροτάτων τούτων τὸ ὑπερέχον καὶ ἄμαχον τῆς οἰκείας ἰσχύος δεικνύει.

"Εξ. 14, 21. (N, 711· P, σ. 236 καὶ V, f. 191ᵛ).

Συνείχετο δὲ ὁ 'Ισραὴλ ἐκ τῶν δύο, ἐκ θαλάσσης προκειμένης καὶ ἐξ Αἰγυπτίων ἀντικειμένων. Καὶ Θεὸς μὲν ἐκέλευε, Μωσῆς δὲ ἐκελεύετο· ἡ ῥάβδος δὲ ἐπήρθη, καὶ ἡ θάλασσα ἐσχίζετο· εἱστήκει τὸ ὕδωρ ἐπηρτημένον μέν, κεχαλινωμένον δέ.

---

1. "Εξ. 7,20. 2. "Εξ. 7,21. 3. "Εξ. 8, 15.

Ἐξ. 14, 23. (N, 712· P, σ. 236 καὶ V, f. 191v).

Καὶ ὁ μὲν λαὸς ἠκολούθει τῷ προηγουμένῳ, Φαραὼ δὲ ἐνταῦθα σκληρύνεται καὶ μάχεται ὁμοῦ Θεῷ καὶ θαλάσσῃ, μετὰ δέκα πληγάς, μετὰ τὴν ἐκπομπήν, μετὰ τὸ ἐκδῦναι, μετὰ τὸ ὠθῆσαι τὸν λαόν. Οὐκ ἤρκει ἡ πίστις τῶν προηγησαμένων; οὐ φοβῇ μετὰ θαλάσσης; οὐ σχίζῃ μετὰ σχισθείσης; οὐ τρέμεις, ὅτι οὐδὲ τρέμει τὸ ὕδωρ, ἀλλ' ἕστηκεν ἐκκρεμὲς προστάγματι κεχαλινωμένον; Ἀλλ' ἤλαυνε τὸ αἷμα τῶν παίδων καὶ ὁ ἄδικος τῶν νηπίων θάνατος· ὅθεν καὶ Ἰσραὴλ ἅπας διεσώθη, Αἰγύπτιοι δὲ ὅσοι εἰσῆλθον πάντες ἀπώλοντο.

Ἐξ. 14, 27. (P, σ. 236 καὶ V, f. 192· N, 713).

Πάλιν ἡ ῥάβδος «ἐπὶ τὴν θάλασσαν»[1]· ἡ ἐπισφιγχθεῖσα παρὰ τὴν φύσιν κατηπείχθη εἰς φύσιν, θυμῷ καταστρέφουσα καὶ ἅρματα καὶ ἐπιβάτην. Συνέπεσεν ἱππεὺς τῷ ἵππῳ. Μετανοεῖ Φαραὼ ἀκαίρως.

[94] Οὕτω τὰ θαύματα ἐγίνετο διὰ τῆς ῥάβδου. Αἰγύπτιοι ἐτύπτοντο, Ἰσραὴλ ἐξεβάλλετο, Θεὸς ἐγινώσκετο. Θάλασσα ἐσχίζετο καὶ ἐρράπτετο, καὶ τοῖς μὲν ἦν ὁδός, τοῖς δὲ ὄλεθρος· καὶ τὸ πεπτωκὸς τῶν νηπίων ἔχει τὴν ἐκδίκησιν.

Ἐξ. 22, 27 (N, 805· P. σ. 273 καὶ V, f. 220).

«Θεούς», τοὺς κριτάς, καὶ τοῦτο δῆλον ἐκ τῶν ἐπαγομένων· φησὶ γὰρ «καὶ ἄρχοντας τοῦ λαοῦ σου»[2].

Ἐξ. 23, 19. (N, 817· P, σ. 276· V, f. 223· Προκόπιος, 630, στ. 1-3· Monac., f. 221).

Τοὺς γὰρ κατὰ Θεὸν νηπιάζοντας καὶ διὰ τοῦτο ἀτελεῖς τὴν διάνοιαν διὰ πυρὸς καὶ θλίψεως ἄγειν οὐ δυνατόν, ἀλλὰ καταλιμπάνειν ἄχρις ἂν ἔλθωσιν «εἰς μέτρον ἡλικίας»[3] καὶ εἰς ἀνδρείαν πνευματικήν.

Ἐξ. 23, 26. (P, σ. 278· V, f. 224· N, 821: Σευήρου· BUYTAERT, μεταξὺ τῶν ἀμφιβαλλομένων σ. 158).*

Οὐ λέγει ὅτι Τὸν ὡρισμένον ἀνθρώποις «ἀριθμὸν ἀναπληρώσω»[4] (οὐδὲ γὰρ ὥρισται), οὐδὲ τοῦτο λέγει ὅτι Ἐὰν μὴ ἁμάρτῃς «ἀναπληρώσω τὸν ἀριθμὸν τῶν ἡμερῶν σου»[5]. Οὐκοῦν καὶ ἁμαρτανόντων οὐκ ἐπληροῦντο· εἰ δὲ ἐν τῷ ὑπακούοντι ἦν πληρῶσαι, ἄρα οὐ καθολικὸν ὅρον τάσσει. Ἀλλὰ τοῦτο λέγει Οὐ πρὸς γήρως ἀποθανεῖσθε, ἀλλὰ τελειώσαντες τὴν ἡλικίαν· τοῦτο γάρ ἐστι «τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω»[6].

---

1. Ἐξ. 14,27. 2. Πρβλ. Ἐξ. 22,28. 3. Ἐφ. 4,13. 4. Ἐξ. 23,26. 5. ἔνθ' ἀν. 6. ἔνθ' ἀν.

ΛΕΥΙΤΙΚΟΝ 2, 14 (N, 968· P, σ. 327· V, f. 264v· P. G., XV, 537).

«Χίδρα»[1] ἐστίν, ὅταν ἀπὸ τῶν ἀκμασάντων ἀσταχύων λαβὼν διαθρύψῃ τις χερσίν, οἱονεὶ ἀλέσας. Τοῦτο γάρ ἐστιν «ἐρικτὰ»[2] προσοίσει τῷ Θεῷ· «ἐρικτὰ» καὶ τὰ ἐν μύλῳ πτισθέντα, καὶ τὸν φλοιὸν ἀποβαλόντα ὀσπριώδη λάχανα.

Λευιτ. 5, 1. (N, 979· P, σ.. 330 καὶ V, f. 267v).

[95] Διττῶς νοεῖται. Ἢ ὅτι ἐὰν γνῷ τινα ἐπιορκοῦντα, καὶ κληθεὶς ἐλέγξαι μὴ ἐξαγγείλῃ, ἥμαρτεν· ἢ ὅτι περὶ ὧν οἶδεν, ἐὰν ὁρκούμενος μὴ εἴπῃ, ἥμαρτεν, ὡς καὶ φυγὼν τὸ μαρτυρῆσαι τῇ ἀληθείᾳ καὶ συγχωρήσας ἐκείνῳ ἐπιορκῆσαι. Τὸ αὐτὸ ἀμφότερα σημαίνει.

Λευιτ. 5, 4. (N, 982 καὶ V, f. 268· P, σ. 330).

Ἐάν τις, φησίν, «ὀμόσῃ κακοποιῆσαί τινα ἢ καλοποιῆσαι»[3], εἶτα ἐπιλάθηται καὶ μὴ ποιήσῃ, ὑπομνησθεὶς δὲ ἐξετάσῃ τὰ παρ' ἑαυτῷ «καὶ γνῷ»[4] ὅτι ἥμαρτεν, ὁμολογήσῃ τῷ ἱερεῖ καὶ προσαγάγῃ τὸ δῶρον. Τί δέ, ἐὰν ὁμολογήσας «κακοποιῆσαι» καὶ λαθὼν τὸ πρᾶγμα παρῆλθεν, ἥμαρτεν; Οὐχ ὅτι μὴ ἐκακοποίησεν, ἀλλ' ὅτι ὤμοσεν· καὶ ἔστιν ἄρα καὶ λήθης τοιαύτης θυσία.

Λευιτ. 7, 6-7. (N, 989· — Sin. 4, Catal., σ. 18· P, σ. 331· V, f. 270).

Ἄλλο ἁμαρτίας δῶρον καὶ ἄλλο πλημμελείας· ἁμαρτίαν μὲν γὰρ τὴν ἐν γνώσει λέγει, πλημμέλειαν δὲ τὴν ἐν ἀγνοίᾳ. Κελεύει δὲ ἀπὸ τοῦ «τῆς ἁμαρτίας» δώρου καὶ τοῦ «τῆς πλημμελείας» τοὺς ἱερεῖς ἐσθίειν τοὺς ἄρρενας μόνους, ἃ καὶ «ἅγια ἁγίων» ἐκάλεσεν[5].

Λευιτ. 11, 2 κ. ἑ. Πρβλ. Δευτ. 12, 15. (N, 1013· P, σ. 337 καὶ V, f. 276· P.G., XV, 591· LXXXVI, 557 A· Πρβλ. Προκόπιος, 728, στ. 11-18).

Ὑπαγορεύει τὰ μὲν ἐσθίειν, τὰ δὲ μὴ ἐσθίειν· οὐχ ὅτι κοινόν τι, ἀλλὰ διὰ δύο αἰτίας. Μίαν μέν· ὅσα ἐν Αἰγύπτῳ προσεκύνουν ἐσθίεσθαι προστάττει, ἵνα διὰ τούτων καταφρονῶσιν αὐτῶν, καὶ ὅσα ἐν Αἰγύπτῳ ἤσθιον λαιμάργως ἀπαγορεύει, ὡς τὸν ὗν. Δι' ἑτέραν δὲ πρόφασιν τοιαύτην. Ἡ κοινὴ φύσις πολλάκις προλαβοῦσα ἐβδελύξατο τὰ μὲν διὰ τὸ μέγεθος, τὰ δὲ διὰ τὸ δυσειδές, τὰ δὲ διὰ τὸ νεκρῶν ἀπαγορεύσασθαι, τὰ δὲ κατὰ πρόληψιν μίσους. Ὅσα οὖν προέλαβεν ἡ συνήθεια, οὐκ ἀνέτρεψεν ὁ νόμος,— ἃ μέντοι προσεκύνουν ἐν

---

1. Λευιτ. 2,14, 2. ἔνθ' ἀν. 3. Πρβλ. Λευιτ. 5,4. 4. Λευιτ. 5,4. 5. Πρβλ. Λευιτ. 7,6-7.

Αἰγύπτῳ καὶ ἃ λίχνως ἤσθιον, καὶ πᾶν θνησιμαῖον,—ὅτι καὶ πρὸ νόμου ἡ συνήθεια.

[96] *Ὁ Συναϊτικὸς 4 (Catal., σ. 18) παραθέτει εἰς τὸ τέλος τοῦ Λευϊτικοῦ τὸ ἀκόλουθον ἀπόσπασμα τοῦ Εὐσεβίου.*

Διὰ τί Λευιτικὸν ἐκλήθη; Ἐπειδὴ εἰδικῶς τοῦτο τὸ βιβλίον πᾶσαν τῆς λευϊτικῆς λειτουργίας τὴν διατύπωσιν περιέχει. Καὶ πῶς ὁ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐκλέγονται ἐκ τῆς φυλῆς Λευῒ καὶ χρίονται εἰς ἱερεῖς. Πᾶσαν τὴν διαφορὰν τῶν θυσιῶν καὶ τῶν προσφορῶν, καὶ τὴν ποιότητα πᾶσαν τῆς ἐν τῷ ἱερῷ λατρείας καὶ λευιτικῆς καὶ ἱερατικῆς λειτουργίας διηγεῖται, καὶ τὸν νόμον ἑκάστης θυσίας περί τε τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου πλημμελήματος... φανερὸν μὲν γὰρ ἦν πᾶσι ταῦτα βδελυκτὰ εἶναι καὶ μισητά, ὅμως δὲ καὶ ἐμνήμονευσεν ἐν τῷ Δευτερονομίῳ περὶ αὐτῶν.

ΑΡΙΘΜΟΙ 3, 47. (Coisl. 1, f. 96v· Πρβλ. Προκόπιος, 801 Α.).

Ὁ πᾶς πρωτότοκος τύπον ἐπέχει τοῦ Ἀδάμ, ὅστις οὖν τῇ ἁμαρτίᾳ δελεασθεὶς τὰς ε' αἰσθήσεις (ὅρασιν, ἀκοήν, ὄσφρησιν, γεῦσιν, ἀφὴν κατεπόρνευ(σεν). Ταύτην τὴν εἰσφορὰν τῶν διδραχμῶν τὴν νομικὴν ἀπαιτεῖται ὁ Χριστὸς ὡς πρωτότοκος. Ἰστέον δὲ ὅτι τὸ δίδραχμον καὶ ὁ σίκλος ταὐτόν.

Ἀριθ. 4, 15. (P, σ. 381 καὶ V, f. 316v· N, 1182).

Ἵνα μὴ ἐπὶ ξύλου βασταζόμενα «τὰ ἅγια»[1] εὑρεθῇ ὄπισθεν τοῦ βαστάζοντος, ἤτοι τῶν ἐναγόντων βοῶν, διὰ τοῦτο, φησίν, ὤμοις ἔφερον αὐτὰ οἱ Κααθῖται.

Ἀριθ. 7, 3 (P, σ. 389· V, f. 323· N, 1203· P.G., XV, 729· Πρβλ. Προκόπιος [λατινιστί], 811).

«Ἁμάξας λαμπηνικὰς»[2] τὰς διατρόχους λέγει, ἅς τινες βηρώτια καλοῦσιν, ὅτι ἡμίονοι ἕλκουσιν. Ἀκύλας δὲ «σκεπαστὰς» ἑρμηνεύει.

Ἀριθ. 22, 8, 9, 19, 20. Τὰ ἀκολουθοῦντα πέντε ἀποσπάσματα δὲν ἔχουν τὴν αὐτὴν σειρὰν εἰς τοὺς διαφόρους κώδικας. Ἐν τῷ Νικηφόρῳ (1320-1323) ABECD· **[97]** *ἐν P (σ. 421, 422) CABDE· ἐν V (ff. 352v, 353r·v) ABDCE.*

Α (στ. 8). Ἐπερωτήσω γάρ, φησι, τὸν θεόν· οὐ τὸν ὄντα («μαντεῖα» γὰρ ἦν), ἀλλὰ τὸν ἐξ ἔθους αὐτῷ φαινόμενον δαίμονα.

Β (στ. 9). Ἐπιφαίνεται δὲ ὁ Θεὸς αὐτῷ, οὐχ ὡς δικαίῳ, οὐδ' ὡς ἀξίῳ, ἀλλὰ διὰ τὸ οἰκεῖον εἶναι· καὶ γὰρ οὗτος δημιούργημα Θεοῦ, εἰ καὶ ἀλλότριος διὰ τὴν προαίρεσιν.

---

1. Ἀριθ. 4,15. 2. Ἀριθ. 7,3

C (στ. 19). Σχηματισάμενος τὴν πεῦσιν διὰ τὴν γενομένην ὀπτασίαν, ἐφοβήθη ἀπελθεῖν.

D (στ. 20). Συγχωρεῖ δὲ αὐτῷ ἀπελθεῖν, ἵνα μὴ νομίσῃ ὁ Βαλὰκ ὅτι εἰ ἦλθε καὶ κατηράσατο, ἴσχυε· καὶ ὅτι ὃν μετεπέμψατο ὡς δυνάμενον βλάψαι τὸν λαὸν τοῦ Θεοῦ, αὐτὸς εὐλογεῖ τὸν Ἰσραήλ, μᾶλλον δὲ ὅτιε ὑλογημένος ἐστὶ παρὰ τοῦ Θεοῦ.

E (ἔνθ' ἀν.). Οὐχ ὅτι φοβούμενος ὁ Θεὸς μὴ ἡ κατάρα τούτου ἀνατρέψῃ αὐτοῦ τὴν εὐλογίαν, ἀλλ' ᾔδει ὁ Θεὸς ὅτι βάναυσος ἦν ὁ λαὸς καὶ ἀσθενή,ς καὶ ὅτι ἐὰν ἀκούσῃ ὅτι κατηράσατο αὐτὸς αὐτῷ, καταφρονήσει τῆς εὐλογίας τοῦ Θεοῦ. Τούτου δὲ γινομένου καὶ πιστευομένου τοῦ μάντεως μᾶλλον ἢ τοῦ Θεοῦ, ἀσέβεια ἐγίνετο. Καὶ συνέβαινε κυρωθῆναι τὴν κατάραν, οὐ διὰ τὴν ἰσχὺν αὐτῆς, ἀλλὰ διὰ τὴν ἀπιστίαν τῶν ἀπιστησάντων μὲν Θεῷ, φοβηθέντων δὲ ἄνθρωπον. Οὐ μόνον τοῦτο, ἀλλὰ καὶ οἱ μεταστειλάμενοι πιστεύαντες τῷ ἐλθόντι θάρσος ἐλάμβανον· ὁ δὲ λαὸς ἀπιστῶν τῷ Θεῷ, ὑπονοῶν τὴν κατάραν δειλότερος ἑαυτοῦ ἐγίνετο.

[98] *Ἀριθ. 22, 23-27. (P, σ. 423 καὶ V, f. 353v· N, 1325).*

Ἐτύπτετο ἡ ὄνος. Ἆρ' οὐκ ἠδύνατο ὁ ἄγγελος καὶ ὄπισθεν ἐλθεῖν ὅτε ἔπεσεν ἡ ὄνος; ἢ ὅτε «ἐξέκλινε»[1] φθάσαι αὐτῆς τὸν περίπατον; ἢ ἄνωθεν ἐρχόμενος ἀπὸ ὕψους χρήσασθαι τῷ ξίφει; Ἀλλ' οὐ θέλει φονεῦσαι, ἀλλὰ φοβῆσαι διὰ τὸ εὐμετάβολον τοῦ ἀνδρός, ἵνα ὁ φόβος τὸ εὐμετάστατον αὐτοῦ διακρατήσῃ. Ὕστερον βλέπει τὸν ἄγγελον καὶ τὸ ξίφος γυμνόν, ὡς δὲ λέγει, ὅτι σχῆμα ἦν τὸ θεωρούμενον ὡς πρᾶγμα· οὐδὲ γὰρ μάχαιρα, φησί, παρ' ἀγγέλοις, οὐδὲ σίδηρος ἐν οὐρανῷ, ἀλλ' εἰς φόβον ὁ τῆς ῥομφαίας σχηματισμός, καὶ ταύτης ἐσπασμένης.

Ἀριθ. 22, 30. (P, σ. 423 καὶ V, ff. 353v-354· N, 1326· P. G., LXXXVI, 560 C, ἐν Β' Πέτρ. 2, 16 ὑποζύγιον ἄφωνον).

Εἶτα σὺ μὲν ἀπαιτεῖς με φυλάξαι σοι ὑπακοήν, αὐτὸς δὲ παρακοῦσαι τοῦ Θεοῦ οὐ φοβῇ; Καὶ σὺ μὲν ἀγανακτεῖς ὡς ὑπερορώμενος παρ' ἐμοῦ, αὐτὸς δὲ ἰδὼν τὴν κέλευσιν τοῦ Θεοῦ οὐκ εὐλαβήθης; Διόπερ ὁ ἀπόστολός φησιν ἐν τῇ καθολικῇ «ὑποζύγιον ἄφωνον, ἀνθρώπου φωνῇ φθεγξάμενον ἤλεγξε τοῦ προφήτου τὴν ἀφροσύνην»[2].

Ἀριθ. 24, 14b. (Coislin 1, f. 116· N, 1344· P, σ. 428· V, f. 359).

Ἐνταῦθα ἐπικεκαλυμμένως λέγει περὶ τοῦ Βαλαάμ. Ἐπειδὴ γὰρ εἶδεν τὸν Θεὸν ὑπερασπίζοντα τοῦ Ἰσραὴλ ἔλεγεν ὠργισμένῳ τῷ Βαλάκ· Ἀήττητος ὁ Ἰσραὴλ ἔχει Θεὸν ὑπερασπιστήν. Πῶς οὖν ἡττηθήσεται, ἐὰν μὴ εἰς τὸν ὑπερασπίζοντα Θεὸν ἁμαρτήσῃ; Κόσμη-

---

1. Ἀριθ. 22,23. 2. Πρβλ. Β' Πέτρ. 2,16.

σον Μωαβίτιδας γυναῖκας καὶ πρόστησον ὡς πόρνας καὶ ὅταν παραγίνωνται οἱ υἱοὶ Ἰσραὴλ μιγῆναι ταῖς γυναιξίν, ἐροῦσιν αἱ Μωαβίτιδες· Ἐὰν μὴ τῷ θεῷ ἡμῶν προσκυνήσητε, τῷ Βεελφεγώρ; Καὶ οὕτω, φησίν, ἀποστάντες Θεοῦ καὶ μὴ ἔχοντες τὴν ἐκεῖθεν βοήθειαν, ἡττηθήσονται. Καὶ ἐποίησεν οὕτως ὁ Βαλάκ.

[99] *ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 4, 19. (P, σ. 447: Σευήρου Ἐμέσης· V, f. 380v· N, 1441).*

Οὐκ «ἔδωκε» δὲ λέγει, ἀλλ' οὐκ ἐκώλυσεν, ἀλλὰ συνεχώρησεν (οὐ γὰρ ὁ μακροθυμίᾳ μὴ κωλύων αἴτιος)· καὶ ἐπειδὴ τὸν Ἰσραὴλ ἐξελέξατο, ἔσχεν χώραν τοῦ εἰπεῖν «ἀπένειμεν»[1]. Καὶ ἄλλως, φησί, τὴν συγχώρησιν τοῦ Θεοῦ σημαίνει διὰ τὴν αὐτεξουσιότητα, κατὰ τὸ εἰρημένον «Ἔδωκεν αὐτοῖς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ μὴ ἀκούειν»[2]. Οὕτως νοητέον καὶ τὸ κάτω εἰρημένον καὶ τὸ «Οὐκ ἔδωκεν ὑμῖν ὁ Θεὸς εἰδέναι καὶ ὀφθαλμοὺς βλέπειν καὶ ὦτα ἀκούειν ἕως ἡμέρας ταύτης[3], καίτοι γε προειπὼν «Ὑμεῖς ἑωράκατε ὅσα ἐποίησε Κύριος ἐν γῇ Αἰγύπτῳ Φαραὼ καὶ πᾶσι τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ»[4]. Διὸ καὶ θαυμάζειν χρὴ τὸ ἐν τῷ Ἰὼβ σαφῶς εἰρημένον «Ἀσεβεῖς δὲ οὐ σῴζει παρὰ τὸ μὴ βούλεσθαι αὐτούς, καὶ ὅτι νουθετούμενοι ἀνήκοοι ἐγένοντο»[5]. Ἐπεὶ προσέταξε τοὺς προσηλύτους ἀπὸ τῶν ἐθνῶν δέχεσθαι, εἰ τὸ «ἀπένειμε»[6] κατὰ κληροδοσίαν Θεοῦ, νοήσομεν ἀσεβῶς «ὃς θέλει πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν»[7].

Δευτ. 7, 20 (P, σ. 464· V, f. 387r-v). Τὸ πρῶτον μέρος τοῦ ἀποσπάσματος (μέχρι τῆς λέξεως ἐ π ι γ ρ ά ψ ω σ ι ν) παρατίθεται ἐν συσχετισμῷ πρὸς τὸ χωρίον Ἔξ. 23, 28 ἐν N, 823 ὡς καὶ ἐν V, f. 225. Πρβλ. Προκόπιος, 632 [λατινιστί]· Monac., f. 222. Ἐν συνεχείᾳ ὑπὸ τὸ λῆμμα ἄ λ λ ο ς ὁ V παραθέτει τὸ δεύτερον μέρος.

Οὐ πάντως «σφηκίας»[8] οὕτω λέγει· ἀλλ' ἐπειδὴ πλῆθος τῶν ἀλλοφύλων, ὃ ἔδει καταστραφῆναι, πολὺ ἦν, καὶ ἐδεδοίκεισαν, λέγει ἐν τῷ μηδενὶ αὐτοὺς ἐλαύνειν, καὶ ὡσεὶ διὰ σφηκῶν. Καὶ ἵνα μὴ νικήσαντες οἱ Ἰσραηλῖται τῇ τοῦ Θεοῦ βοηθείᾳ τῷ ἑαυτῶν βραχίονι τὸ κατόρθωμα ἐπιγράψωσιν, εἶδος μυιῶν αἱ σφηκίαι ἀλληγορικώτερον τοὺς ὀλοθρευτάς φησιν ἀγγέλους τοὺς πολεμοῦντας ἐν τῷ Ἰσραήλ.

[100] *Δευτ. 12, 5 (N, 1481· P, σ. 470 καὶ V, f. 393v· Σευήρου· Πρβλ. Προκόπιος, 907 B 6-9).*

Κατὰ βραχὺ χειραγωγεῖ αὐτοὺς πρὸς εὐσέβειαν. Θύειν γὰρ ὄντας

1. Δευτ. 4,19. 2. Ρωμ. 11,8. 3. Πρβλ. Δευτ. 29,3. 4. Πρβλ. Δευτ. 29,1. 5. Πρβλ. Ἰὼβ 26,12. 6. Δευτ. 4,19. 7. Α' Τιμ. 2,4. 8. Δευτ. 7,20.

συνειθισμένους ἐξ Αἰγυπτίων ἐπιτρέπει μὲν θύειν, ἀλλ' ἐν τόπῳ ἑνί, ἵνα ὕστερον, ἀφαιρουμένου τοῦ τόπου, παύσωνται καὶ τοῦ προσάγειν θυσίας. Οὐδὲ γὰρ βούλεται ὁ Θεὸς τοὺς σῳζομένους βιάζεσθαι, ἀλλὰ πειθοῖ προσέρχεσθαι αὐτοὺς βούλεται.

Δευτ. 12, 8 (N, 1481· V, f. 394· P, σ. 471: Σευήρου.· Πρβλ. Προκόπιος, 908, B 10-15).

Ἔδειξεν ὡς οὐδὲ αὐτοῦ περιόντος φυλακὴ ἀκριβὴς ὑπῆρχε τοῦ νόμου, ἀλλ' ἐν πολλοῖς αὐτὸν παρέβαινον, καὶ ὅμως συνεγινώσκοντο· οὐ γὰρ ἀπῃτοῦντο ἐν τῇ ἐρήμῳ κατὰ ἀκρίβειαν φυλάττειν τὸν νόμον.

Δευτ. 12, 15ᵃ. (N, 1482 καὶ V, f. 394ᵛ· P, σ. 471: Σευήρου· Προκόπιος, 908 C 2-3).

Ὅσα δηλονότι μή εἰσιν ἀφορίσματα ἢ θυσιάσματα.

Δευτ. 12, 15ᵇ (N, 1484· P, σ. 471· V, f. 394ᵛ· Πρβλ. Προκόπιος, 907 C).

Εὐσέβιος ὁ Ἐμέσης φησί. Τινὲς τὴν «δορκάδα» καὶ τὴν «ἔλαφον» τῶν λοιπῶν εἶναι καθαρώτερα ὑπειλήφασι, τὸ δ' ἐναντίον λέγει. Οἱ γὰρ καθαρώτερον ζῶντες τότε ταῦτα οὐκ ἤσθιον· πρόβατον ἢ βοῦν προσέφερον ἔμπροσθεν τοῦ θυσιαστηρίου, ἵνα ἁγιασθῇ, καὶ οὕτως ἤσθιον· δορκάδα δὲ ἢ ἔλαφον οὐκ ἠξίουν προσενεγκεῖν. Διό φησιν «ὡς δορκάδα ἢ ἔλαφον» φάγεσθε «αὐτό»[1]. ταῦτα γὰρ οὐ προσφέρεται.

Δευτ. 14, 2-4 (P, σ. 474 καὶ V, f. 397ᵛ· N, 1494· Πρβλ. ἐν Λευιτ. 11, 2 κ.ἑ.· ἔνθ' ἀν. σ. 95).

Ὑπαγορεύει τὰ μὲν ἐσθίειν... ἀλλὰ διὰ δύο προφάσεις... ἵνα διὰ τούτου καταφρονῶσιν αὐτῶν καὶ μὴ θεοὺς νομίζωσιν ἐν οἷς ἐστιν ὁ βοῦς, καὶ τὸ πρόβατον καὶ ὅσα τοιαῦτα. Ὅσα δὲ ἐν Αἰγύπτῳ ἤσθιον ἀτάκτως καὶ λαιμάργως **[101]** ἀπαγορεύει, οἷον τὸ ὕειον, ὃ καὶ ᾔτησαν ἐν τῇ ἐρήμῳ... ἐβδελύξατο τὸ μέν... τὸ δὲ διὰ τὸ νεκρῶν ἀπαγορεύεσθαι, τὸ δὲ κατὰ πρόληψιν — ὁ νόμος. Ἐκεῖνα δὲ μόνον ἠνάγκασεν, ὧν τὰ μὲν ἐν Αἰγύπτῳ προσεκύνουν, τὰ δὲ λαιμάργως ἤσθιον· πᾶν δὲ νεκριμαῖον ἀπαγορεύει ἐσθίειν, ὅτι καὶ πρὸ νόμου ἡ συνήθεια.

Δευτ. 15, 1 (P, σ. 475 καὶ σ. 476· V, f. 398). Πρόκειται περὶ τοῦ ἰδίου ἀποσπάσματος τοῦ παρατιθεμένου ἐν Ἔξ. 23, 19 (ἔνθ' ἀν. σ. 184).

---

1. Δευτ. 12,15.

Δευτ. 21, 12-13. (P, σ. 487· V, f. 408· N, 1537).

Διὰ τοῦτο κελεύει αὐτὴν ὁ νόμος ξυρᾶσθαι κεφαλὴν καὶ ὀφρύας, καὶ πενθῆσαι λ' ἡμέρας τοὺς ἑαυτῆς, ἵνα ἡ μὲν ξύρησις ἀηδεστάτην αὐτὴν ἀποδείξῃ, παύσῃ δὲ καὶ τὸν πόθον, ὁ δὲ τοῦ πένθους χρόνος παύσῃ τὸ φίλτρον, ἡ δὲ ἐγκειμένη ζημία ἡ πρὸ τοῦ χρόνου ταπεινώσῃ αὐτήν.

Δευτ. 27, 12-13. (P, σ. 502 καὶ V, f. 418· N, 1587· Πρβλ. Προκόπιος 942).

Ὅσαι φυλαί, ἀφ' οὗ ἐξῆλθον ἐξ Αἰγύπτου, ηὐδοκίμησαν παρὰ Θεῷ, ἐπὶ τὸ εὐλογεῖν τάττονται· ὅσαι δὲ ἔπταισαν, ἐπὶ τὸ καταρᾶσθαι.

Δευτ. 29, 28 (P, σ. 509· V, f. 424r.v· N, 1608).

«Τὰ κρυπτὰ»[1] ἐστιν ὅσα μὴ τοῖς ἀνθρώποις ἐφανέρωσε. Μετὰ ταῦτα προτρέπεται πάλιν αὐτοὺς καὶ δίδωσιν ἀγαθῶν ἐπαγγελίας, εἰς ἀπόγνωσιν τοὺς ἁμαρτάνοντας μὴ συγχωρῶν καταπίπτειν.

Δευτ. 33, 8-9. (Πρβλ. ἔνθ' ἀν. ἐν Γεν. 48, 22: σ. 80-81 (P, σ. 524· V, ff. 434v-435· N, 1659).

Ἀνακαλεῖται Μωϋσῆς τὴν κατάραν ἀπὸ τοῦ Λευΐ, ὑπομιμνήσκων ὅταν ἐν Ῥαφιδεὶμ ἐλοιδορήθη ὑπὸ τοῦ λαοῦ «ἐπὶ τῆς ὕδατος ἀντιλογίας»[2], καὶ ἐπὶ τῆς μοσχοποιΐας, ὅτε ἕκαστος αὐτῶν λαβὼν μάχαιραν οὐκ ἐφείσατο οὔτε ἀδελφῶν οὔτε υἱῶν, ὡς ἐπισημαίνεται εὐλογῶν αὐτούς. Ἕνεκεν τούτου μετ[182]έστρεψε τὴν κατάραν τῆς διασπορᾶς εἰς εὐλογίαν· διεσπάρησαν γὰρ ἐν πάσαις ταῖς φυλαῖς. Μεταβαλλομένης δὲ τοῦ Λευΐ τῆς κατάρας, ἀνταντιρρήτως καὶ τοῦ Συμεὼν κοινωνεῖ· κοινῇ γὰρ καὶ τοὺς Σικιμίτας ἀπέσφραξαν καὶ κοινῇ τὴν κατάραν ἔλαβον. Ἔδει οὖν καὶ τῆς εὐλογίας κοινωνῆσαι· διὸ καὶ Μωϋσῆς οὐ λέγει περὶ τοῦ Συμεὼν οὐδέν.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 6, 26. (P, σ. 540· N, II, 41 καὶ V, f. 447v).

Τοῦτο λέγει ὅτι Ὁ κτίζων τὴν Ἱεριχὼ θεμελιῶν αὐτὴν θανεῖται, θάψει τὰ τέκνα αὐτοῦ καὶ τὸν ἔσχατον ἐφιστῶν τὰς πύλας,—ἵνα ἀρχόμενος μὲν θεμελίου ἄρξηται θάπτειν ἀπὸ τοῦ πρωτοτόκου, συμπληρῶν δὲ τὸ ἔργον λήξῃ εἰς τὸν ἔσχατον υἱόν.

Ἰησ. N. 8, 18 ἐν τῷ γαίσῳ[3] (P, σ. 542· N, 50· V, f. 450).

Εὐσέβιος δὲ ὁ Ἐμέσης δόρυ αὐτὸ λέγει, ἐν ᾧ «τὸν βασιλέα τῆς Γαΐ ἐκρέμασεν ἐπὶ ξύλου διδύμου»[4].

---

1. Δευτ. 29,28. 2. Δευτ. 33,8. Πρβλ. Ἀριθ. 20,13. 3. Ἰησ. N. 8,18. 4. Ἰησ. N. 8,29.

ΚΡΙΤΑΙ 6, 15 (P, σ. 576· V, 447ᵛ· N, 164).

Ἀφ' οὗ γὰρ ὁ γαμβρὸς Μωϋσῇ συνεβούλευσε, χιλιάρχους καὶ ἑκατοντάρχους ἐποίησε[1]. Χιλίαρχος οὖν καὶ αὐτὸς τοῦ Μαωζνοῦ τῆς ἀντιλήψεως.

Α' ΒΑΣΙΛΕΙΩΝ 15, 33. (Coisl. 8, f. 5ᵛ).

Οὕτως Σαμουήλ, ὁ ἱερέων προκληθείς, τὸ τῆς εὐχῆς γέννημα, ὁ τῆς στείρας καρπός, ὁ ἐκ κοιλίας ναζιραῖος, μικροῦ αἷμα ἔπιεν. Τοῦ γὰρ Σαοὺλ κακῶς ἐλεήσαντος τὸν κατακεκριμένον ἀποφάσει Θεοῦ, ὁ ἱερεύς, ὡς ἔπρεπε, τὰ νόμιμα τοῦ Θεοῦ ἐκδικεῖν ἐμέλησεν, ἰδίαις χερσὶ δ' οὐκ ὠμότητι, ἀλλ' εὐσεβείᾳ.

[103] *Γ' ΒΑΣΙΛΕΙΩΝ 22, 15 κ.ἑ. (Coisl. 8, f. 115).*

Οὐ διὰ τοῦ Βαλαὰμ μόνον λαλεῖ ὁ Θεός, ἀλλὰ καὶ διὰ Μιχαίου τοῦ Σηλωνίτου παράγει «πνεῦμα ψευδὲς ἐν στόματι τῶν ψευδοπροφητῶν»[2]. Ἀλλ' οὐκέτι «ψευδὲς» ὅ τι Μιχαίας αὐτῷ ἐφανέρωσεν παριστῶν ὅτι Θεὸς ὀργιζόμενος ἀνελεῖ τὸν Ἀχαάβ. Ὅ τι δὲ Νικήσεις λέγει, οὐχ ἵνα ψεύσηται, ἀλλ' ἵνα ἀπατήσῃ, καὶ ἵνα καὶ ἡ ἀλήθεια καὶ ἡ ὀρθότης ἀποβῇ τῶν ἔργων· ἀλήθεια δὲ δι' ἔργων ἦν τὸ Ἀχαὰβ δοῦναι δίκην. Ἆρ' οὖν ὅταν λέγῃ Καὶ τὴν Νινευὴ ἀπολῶ, ἢ τόδε τὸ ἔθνος, καὶ μὴ ποιήσῃ, ψεύδεται, ἵνα τὴν σῴζουσαν ἐμβάλλῃ μετάνοιαν· οὕτω καὶ τῷ Ἀχαὰβ λέγει Νικᾷς ἵνα τὸν ἀπαλλάττοντα αὐτὸν ἁμαρτιῶν θάνατον ἐπαγάγῃ. Ἄλλως τε καὶ αὐτὸ τὸ ψεῦδος οὐ κατέκρυψεν, ἀλλ' ἀποκαλύπτει αὐτὸ τῷ Μιχαίᾳ, ὅτι ἐστι «ψεῦδος ἐν στόματι τῶν ψευδοπροφητῶν»[3] εἰρημένον, δεικνὺς ὅτι ὤργισται τῷ Ἀχαάβ. Εἰπὼν οὖν καὶ ἀποκαλύψας ἔλυσε τὸ ψεῦδος.

Δ' ΒΑΣΙΛΕΙΩΝ 2, 11. (Coisl. 8, f. 119).

Οὗτος Ἠλίας ὁ μέγας, ἱερεὺς ὢν καὶ προφήτης, ἀνηρπάγη θανάτου μὴ γευσάμενος, καὶ πρὸ τούτων ζηλωτής. Ἱερεὺς μὲν γὰρ ἐκ διαδοχῆς, ζηλωτὴς δὲ ἐκ προαιρέσεως καὶ προφήτης, διὰ τὸν ζῆλον καὶ πολλοὺς φόνους ἐργασάμενος, μᾶλλον δὲ πολλὰς εὐσεβείας, οὐδὲ τὸν κοινὸν ἀπέθανεν θάνατον, τοῦ νόμου κελεύοντος ἐν ὁμοίῳ θανάτῳ τὸν ἀναιροῦντα ἀποθανεῖν.

Δ' ΒΑΣ. 6, 13-17. (Coisl. 8, f. 127ᵛ).

«Δεῦτε», φησίν, «ἴδετε ποῦ οὗτος, καὶ ἀποστείλας λήμψομαι αὐτόν»[4]. Δέον τὸν ἀνόητον ἐκπλαγῆναι, καὶ συνιέναι τὰς ἐπιβουλὰς καὶ μὴ μάταια πονεῖν (οὐ γὰρ λήσεται), καθοπλίζει τὴν μανίαν κατ' αὐτοῦ τοῦ προφήτου, καὶ πέμπει ὁπλίτας καὶ στρατηγὸν ἐπὶ τὴν κώ-

---

1. Πρβλ. Ἔξ. 18,25. 2. Πρβλ. Γ' Βασ. 22,22.23. 3. ἔνθ' ἀν. 4. Δ' Βασ. 6, 13.

μην, ἣν ᾤκει ὁ προφήτης, ἵνα λαβόντες αὐτὸν τὸν προφήτην ἐνέγκωσιν. Εἶτα ὁ περὶ τῶν ἄλλων μηνύων, ὦ ἀνόητε, τὴν κατ' αὐτοῦ ἐπιβουλὴν οὐ προόψεται; ἀλλ' ἡ κακία τυφλὴ λέγεται, καὶ ἐστίν.

τ ο ῦ α ὐ τ ο ῦ. Εἶδεν ὁ ὑπηρέτης τοῦ προφήτου καὶ ἐταράχθη ὡς ἄνθρωπος, ἀλλ' οὐχ ὁ προφήτης. Ἀλλ' ἀκούσας ὁ προφήτης ὑπὸ τοῦ νεανίου, ὅτι δέδοικε τὸ πλῆθος καὶ θορυβεῖται διὰ τοὺς παραγενομένους, φησίν «Κύριε, διάνοιξον»[1] αὐτοῦ τὰ ὄμματα καὶ ὄψεται.

II. ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ *

[46] *Ρωμ. 1,1 (W, f. 10ᵛ· Vf. 1ʳᵛ).***

Διαποροῦσι δέ τινες μάτην, πότερον τῷ ἡγουμένῳ προσθετέον τὸ κ λ η τ ὸ ς πρόσρημα ἵνα εἴη δ ο ῦ λ ο ς κ λ η τ ό ς, ἢ τῷ ἑπομένῳ ὡς ἀ π ό σ τ ο λ ο ς κ λ η τ ό ς[2], κατ' οὐδέτερον ἀπᾳδούσης τῆς ἐννοίας, ἅτε δὴ κλητῶν ὄντων ἁπάντων καὶ κοινῶς τῶν εἰς τὴν πίστιν καὶ τὴν χάριν ταύτην κεκλημένων καὶ τῶν κατ' ἐκλογὴν εἰς τὴν ἀποστολικὴν τάξιν ἀνηγμένων· καθ' ἕτερον τοίνυν κ λ η τ ὸ ς καὶ ὡς δ ο ῦ λ ο ς καὶ ὡς ἀ π ό σ τ ο λ ο ς.

Ρωμ. 1,21 (V, f. 11ʳ).

Δοκεῖ μὲν οὖν ἁπλούστερον τὸν πρὸς Ἕλληνας ἐνίστασθαι λόγον, ὡς καθ' ἓν μόνον εἶδος ἀσεβείας τὴν εἰδωλολατρίαν ποιούμενος τὸν ἔλεγχον· οὐ μὴν καὶ τοῖς ἀκριβέστερον θεωροῦσιν ἃ λέγει τοῦτο φαίνεται ποιῶν, ἀλλὰ πολὺ μᾶλλον πλατύνων τὴν κατ' αὐτῶν ἐπιτίμησιν ὡς οὐδὲν ἐλλειπόντων ἀσεβείας εἶδος.

Ρωμ. 3,4 (V, f. 24ʳ).

Τάχα δ' ἂν τις ἁπλούστερον καὶ τοῖς προκειμένοις οἰκειότερον ἑρμηνεύσειε τὸν λόγον, μὴ κατ' ἀπόφασιν ἀλλὰ καθ' ὑπόθεσιν ἐκδεξάμενος τὸ ῥηθὲν προσθήκῃ μιᾶς συλλαβῆς, ὅτι κἂν πάντες ἄνθρωποι πρὸ τῆς ἀληθείας ἀγαπῶσι τὸ ψεῦδος, οὐδὲν ἧττον ὁ θεὸς ἀ λ η θ ὴ ς[3] διαμένει καὶ δίκαιος, ὑπισχνούμενός τε οἷα θεῷ προσῆκεν, καὶ πᾶν τὸ λεχθὲν ἐπιτελῶν, ἡνίκα προσῆκεν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Karl Staab. «Pauluskommentare aus der Griechischen Kirche». Münster i. W. 1933 σ. 46-52.

** Περὶ τῶν ἐνδείξεων τῶν κωδίκων ἰδὲ ἐν σελ. 137.

1. Δ' Βασ. 6,17. 2. Πρβλ. Ρωμ. 1, 1. 3. Ρωμ. 3, 4.

Γαλ. 1,1 (P, f. 2v· Π, f 125r).

Πατέρα νῦν καλεῖ τὸν θεόν[1], ἐπειδὴ βούλεται τὴν ἐκκλησίαν εἰς υἱοθεσίαν ἐληλυθυῖαν ἐλευθέραν εἶναι τῆς τοῦ νόμου δουλείας.

[47] *Γαλ. 1,1-2 (P, f. 3v· Π, f. 125r).*

Εἰ γὰρ ἤρκει ὁ νόμος καὶ τὰ νόμιμα εἰς σωτηρίαν, οὐκ ἦν χρεία τοῦ σταυροῦ καὶ τοῦ ἐλθεῖν τὸν Χριστὸν ἐπὶ τὸν σταυρόν.

Οὐκ εἶπεν ⟨καὶ οἱ σὺν ἐμοὶ ἀδελφοί⟩, ἀλλὰ πάντες[2], τῷ πάντες παριστῶν ὡς ἓν ἦν τὸ πλῆθος.

Γαλ. 1,4 (P, f. 5v· Π, f. 125r).

Τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν[3] εἰπὼν ἔδειξεν ὅτι τὸ κακὸν οὐκ ἀγέννητον ἀλλὰ πρόσκαιρον, καὶ ἐν ἀνθρώποις πρὸς οὓς ἔγραφεν, εἰ περὶ ἀνθρώπων τῶν πεισάντων αὐτοὺς ἀκαίρως κεχρῆσθαι τῷ νόμῳ.

Π, f. 125v

Τὸ δὲ ἐξέληται[4] εἴρηκεν, ἵνα παραστήσῃ ὅτι οὐκ ἦν ἄλλως τινὶ εὐχερὲς οὔτε νόμῳ οὔτε προφήταις. τὸ γὰρ ἐξέληται μικροῦ βίαν σημαίνει, ἀλλ' οὐ βίαν, δύναμιν δὲ τοῦ ῥυσαμένου· οὐ γὰρ εἶπεν τοῦ ἁρπάσαντος ἀλλὰ τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς[5]. αὕτη ἡ λέξις τὸ δυσκατόρθωτον παντὶ ἄλλῳ παρέστησε. κέκληται δὲ πατὴρ ἡμῶν[6] ὁ θεός, ἵνα τῆς υἱοθεσίας φανερουμένης ἐκβληθῇ διὰ νόμου ἀνάγκη.

Γαλ. 1,10 (Π, f. 126r· P, f. 7v· ἀνωνύμου).

Πρὸς ἐκείνην ἀπομάχεται τὴν ὑπόνοιαν τὴν φάσκουσαν ὅτι παρ' ὑμῖν ἄλλα εἶπεν, ἐν δὲ Ἰουδαίᾳ ἄλλως ἔζη, καί φησιν· πῶς δύναμαι ἄλλος εἶναι ἔξωθεν, ἄλλος δὲ ἔσωθεν θεοῦ ὄντος ἐφόρου; τί δὲ προβαλλόμενος ἀξιώματα ἀνθρώπινα οἷς ἐγὼ οὔτε μάχομαι οὔτε διαφωνῶ.

Γαλ. 1,11-14 (P, f 9v-10r· Π, f. 126r. Τὸ τρίτον ἀπόσπασμα ἐσφαλμένως σημειοῦται διὰ τοῦ Χρ.).

Ἐν ἀρχῇ μὴ καλέσας εὐαγγέλιον αὐτοῦ, ἐνταῦθα ἐπιφέρει τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ[7], ἐπειδὴ ἀμφίβολον ἐγίνετο ποῖόν ἐστι τὸ τοῦ καλέσαντος εὐαγγέλιον, οὐχὶ τοῖς πράγμασιν ἀλλὰ ταῖς συκοφαντίαις ὅτι οὐκ ἔστι κατ'

---

1. Πρβλ. Γαλ. 1, 1. 2. Γαλ. 1, 2. 3. Πρβλ. Γαλ. 1, 4. 4. ἔνθ' ἀν. 5. ἔνθ' ἀν. 6. Πρβλ. Γαλ. 1, 3. 7. Γαλ. 1, 11.

ἄνθρωπον[1], ὥς φασιν, ὅτι παρὰ Πέτρου παρέλαβον. πῶς οὐκ ἔστιν κατ' ἄνθρωπον; οὐδὲ γὰρ ἐγὼ παρέλαβον αὐτὸ οὐδὲ ἐδιδάχθην[2]. χρήσιμον τὸ παρέλαβον καὶ καλὸν τὸ ἐδιδάχθην· ταῦτα γὰρ τοῖς ἀνθρώποις συνῆπτον. ἡ γὰρ χάρις ἀθρόως λαμπρύνει, οἱ δὲ ἄνθρωποι ἠρέμα παραδιδόασι καὶ διδάσκουσιν. ἀναγκαία δὲ καὶ ἡ τῶν ἀδελφῶν προσηγορία· ἐπειδὴ γὰρ ἐπιβουλεύειν ὑπωπτεύετο ἄλλα μὲν εἰπών, ἄλλα δὲ ἔχων, διὰ τῆς προσηγορίας τῶν ἀδελφῶν ἐξωθεῖται τὴν ὑπόνοιαν.

[48] Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ[3] καὶ οὐκ εἶπεν ἐν τῷ νόμῳ. τίς οὖν ἡ ἀναστροφή; ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ θεοῦ[4]. ἐπειδὴ γὰρ πρὸς τὰ νόμιμα μέλλει λέγειν, ἐδόκει δὲ ὁ νόμος εἶναι θεοῦ, περὶ Χριστοῦ δὲ ἄλλα ὑπενοεῖτο, οὐκ εἶπε καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Χριστοῦ ἀλλὰ τὴν ἐκκλησίαν τοῦ θεοῦ.

Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων[5]. πάλιν Ἰουδαϊσμῷ· οὐ γὰρ βούλεται ὑπομνῆσαι τοῦ νόμου, ἵνα μὴ σκληρὸν ᾖ τὸ λεγόμενον. ὑπὲρ πολλοὺς συνηλικιώτας· πολλοὺς καὶ οὐ πάντας διὰ τὸ σύμμετρον, συνηλικιώτας δὲ διὰ τὸ μὴ κατὰ τῶν πρεσβυτέρων δοκεῖν ἐπαίρεσθαι. ἐν τῷ γένει μου δέ, ἵνα παραστήσῃ ὅτι ἐκεῖθεν μὲν αὐτῷ ἡ ῥίζα, ἐντεῦθεν δὲ ὁ καρπός. περισσοτέρως ζηλωτὴς ὑπάρχων, ἵνα διὰ τῆς ὑπερβολῆς ὅσον ἀντέκειτο τῇ ἐκκλησίᾳ παραστήσῃ. πατρικῶν δὲ παραδόσεων εἶπε καὶ οὐ νομίμων· τὰ γὰρ παρὰ Φαρισαίων προστεθέντα λέγει, καὶ ἐν τούτοις ἑαυτὸν ζηλωτὴν ὑπάρχειν.

Γαλ. 2,2 (P, f. 13ᵛ· Π, f. 128ʳ).

Καλῶς τὸ ἔδραμον[6], προείληπτο γὰρ τὸ κήρυγμα· τρέχω δέ, ἐπειδὴ ἐνειστήκει.

Γαλ. 2,9 (P, f. 15ᵛ· Π, f. 129ʳ ἀνωνύμου).

Καὶ αἱ δεξιαὶ[7] τὴν ὁμόνοιαν δηλοῦσιν. προτέτακται δέ, φησίν, Ἰάκωβος διὰ τὸ τοῦ τόπου κύριον εἶναι. διὰ τί δὲ ποτὲ μὲν Κηφᾶς, ποτὲ δὲ Πέτρος; οἱ ἐλθόντες εἰς τὴν Γαλατίαν καὶ ταράξαντες Ἰουδαῖοι ἦσαν· Πέτρος οὖν ὁ κατ' ἐκείνους Κηφᾶς ὀνομαζόμενος, ἵνα [οὖν] δι' οὗ ἤκουσαν, διὰ τούτου καὶ καλέσῃ, εἴρηται.

---

1. Γαλ. 1, 11. 2. Πρβλ. Γαλ. 1, 12. 3. Γαλ. 1, 13. 4. ἐνθ' ἀν. 5. Γαλ. 1, 14. 6. Γαλ. 2, 2. 7. Πρβλ. Γαλ. 2, 9.

Γαλ. 2,18 (P, f. 19r· Π, f. 130v).

Ἡ ἐκκλησία νόμον οὐ τηροῦσα, νόμον οὐ παραβαίνει, ἀλλὰ νόμον ὑπερβαίνει. ὁ λέγων ὅτι πεπλήρωται ὁ νόμος καὶ πέπαυται, κἂν μὴ τηρῇ νόμον, οὐ παρανομεῖ· ὁ δὲ ποτὲ μὲν ἐσθίων τὰ ἀπηγορευμένα ὑπὸ τοῦ νόμου, πάλιν δὲ μὴ ἐσθίων, τῷ μὴ ἐσθίειν μηνύει ὅτι ἰσχύει ὁ νόμος καὶ μένει εἰς ὃν ἀνατρέχει. οὐκοῦν ἐπειδὴ μένει ὁ νόμος, αὐτὸς δὲ παρὰ τὰ νόμιμα ἔφαγες, καλῶς ἀκούεις ταῦτα.

[50] *Γαλ. 2,20 (P, f. 20v· Π, f. 130v).*

Ζῇ ἐν ἐμοὶ ὁ Χριστός[1], ὁ μὴ ὑποκείμενος νόμῳ, ὑπὲρ νόμον ὢν ὡς υἱός· ἐγὼ δὲ διὰ τὸν ζῶντα ἐν ἐμοί, ὥσπερ οἱ δεχόμενοι τὰς αὐγὰς τὰς ἡλιακὰς φωτεινοὶ καὶ διειδεῖς, υἱός.

Γαλ. 2,21 (P, f. 21r· Π, f. 130v).

Οὐ λέγω ὅτι καὶ μετὰ τὸ πάθος τοῦ Χριστοῦ χρεία νομίμων· τοῦτο γάρ ἐστιν εἰπεῖν ὅτι ἡ χάρις οὐδὲν ἰσχύει, ὅτι οὐδὲν συμβάλλεται τὸ πάθος.

Γαλ. 3,17 (P, f. 26r· Π, f. 133r).

Μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη[2] γέγονεν ὁ νόμος. οὐχὶ τῆς ἐξόδου τῆς ἀπ' Αἰγύπτου ἀλλὰ τῆς κατ' ἀρχῆς ταύτης τῆς ἐπαγγελίας· ὥστε οἱ δοκοῦντες φιλονικεῖν τῇ ἐκκλησίᾳ περὶ πρωτείων ἑκατοντάσι καὶ δεκάσιν ἐτῶν εὑρίσκονται ὕστεροι μετὰ τὴν πίστιν.

Γαλ. 3,19 (P, f. 27r· Π, f. 133r ἀνωνύμου).

Τοῦτο λέγει, ὅτι ἡ διαταγὴ δι' ἀγγέλων, ἐν χειρὶ μεσίτου[3], τοῦτ' ἔστι μεσιτευσάντων τῶν ἀγγέλων πρὸς τὸ δοθῆναι τὸν νόμον, ἵνα ἀκούσωμεν· τὴν μὲν ἐπαγγελίαν αὐτὸς δι' ἑαυτοῦ, τὸν δὲ νόμον οὐ δι' ἑαυτοῦ, ἀλλὰ διέταξε δι' ἀγγέλων μεσιτευόντων.

Γαλ. 3,23 (P, f. 28r· Π, f. 133v).

Τὸ προηγεῖσθαι νῦν λέγω, οὐχὶ ἐπιλαθόμενος τῆς ἐπαγγελίας πρωτευούσης ἀλλ' ὅτι καὶ γάλα χρήσιμον ἐν καιρῷ καὶ οὐ χρήσιμον εἰς τὰ ἑξῆς. τὸ οὖν πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα[4] τοῦ νόμου παρεντεθέντος μεταξὺ τῆς ἐπαγγελίας καὶ αὐτῆς τῆς παρουσίας τῆς πίστεως.

Γαλ. 4,4-11 (P, f. 31rv· Π, f. 134v).

Ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ[5].

---

1. Γαλ. 2, 20. 2. Γαλ. 3, 17. 3. Γαλ. 3, 19. 4. Γαλ. 3, 23. 5. Γαλ. 4, 4.

τὸ γνήσιον τηρῶν μετ' ἄρθρου εἶπεν τὸν υἱὸν αὐτοῦ, τὸν ὄντα υἱόν. γενόμενον ἐκ γυναικός[1]. ἐπειδὴ γὰρ γυνὴ προεξένησεν ἁμαρτίαν, ἐκ [51] γυναικὸς ὁ σῴζων. ἐπειδὴ δὲ ὁ νόμος οὐκ ἐδόθη δυνάμενος καὶ ζωοποιῆσαι[2], γέγονε καὶ ὑπὸ νόμον ὁ ἐλθὼν ἰάσασθαι. στοιχεῖα δέ φησι τὰ νόμιμα. εἰ δὲ ζητεῖς ἑρμηνείαν παρ' αὐτοῦ· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν[3], τὴν ἀποκειμένην ἤδη ταῖς ἐπαγγελίαις, κατεχομένην δὲ ἐν τῷ μεταξὺ εἰσαχθέντος τοῦ νόμου καὶ τῶν χρόνων μὴ ἀποπληρωθέντων. πληρωθέντος δὲ τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ[4] ᾧ ἀπέκειτο ταῦτα. εἰ οὖν καλεῖς· ὁ πατήρ, δηλονότι γέγονας υἱός, καὶ μαρτυρεῖ σοι τὸ πνεῦμα. εἰ δὲ υἱός, καὶ κληρονόμος[5] σὺ διὰ Χριστοῦ, τοῦτ' ἔστιν ἐκ χαρίσματος, οὐκ ἐκ φύσεως.

Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεόν, ὦ Γαλάται, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς[6], τοῖς εἰδώλοις. πῶς πάλιν ἐπεστρέψατε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα[7]; πῶς δυνατόν ἐστι τὸν Ἕλληνα ὄντα, τὸν Γαλάτην, ἐπιστρέψαι ἐπὶ τὰ στοιχεῖα τοῦ νόμου, ἐξ ὧν οὐδὲ ἐξῆλθον; πρῶτον μάθωμεν τίνα λέγει πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε[8]. ἐάν τις προσχῇ ἄνωθεν τῷ λέγοντι· ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς[9] δηλονότι περὶ Ἑλληνισμοῦ ἀκούει· μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ, πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ[10]; πάλιν νομίζει τις ὅτι εἰς εἰδωλολατρίαν ἐγκαλεῖται· τὸ γὰρ πάλιν ἐπιστρέψαι ἀναδραμεῖν ἐστιν ἐπ' ἐκεῖνα ἀφ' ὧν τις ἐξῆλθεν. οὐκοῦν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα[11] κατὰ ταύτην τὴν ἀκολουθίαν Ἑλληνισμοῦ νομίζεται. ἴδωμεν τί λέγει τὰ ἑξῆς· οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε[12]. ἡρμήνευσε τί ἐστι τὸ ἐπιστρέφετε, τῷ οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε[13].

Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς· φοβοῦμαι ὑμᾶς μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς[14]. εἰ ἀπὸ Ἑλληνισμοῦ ἤρξαντο, πῶς ἔρχονται ἐπὶ Ἰουδαϊσμόν; ἀλλὰ τὰ δύο ταῦτα γέγονεν εἰς τοὺς Γαλάτας. καὶ πρὸς τὰ δύο ταῦτα μεταχειρίζεται τὰ φάρμακα. ἔστω, φησίν, ἦτε ἀγνοοῦντες θεόν· νῦν δὲ γνόντες αὐτόν,

1. Γαλ. 4, 4. 2. Πρβλ. Γαλ. 3, 21. 3. Γαλ. 4, 5. 4. Γαλ. 4, 4. 5. Γαλ. 4, 7. 6. Γαλ. 4, 8. 7. Γαλ. 4, 9. 8. Πρβλ. Γαλ. 4, 9. 9. Γαλ. 4, 8. 10. Πρβλ. Γαλ. 4, 9. 11. Γαλ. 4, 9. 12. Πρβλ. Γαλ. 4, 9. 13. ἔνθ' ἀν. 14. Γαλ. 4, 10-11.

μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ, πῶς πάλιν ἐπιστρέφετε[1] ἐπὶ νόμον, ὃν οὔτε ἔσχον ὅσοι ἔσχον; καὶ συνίστατο λοιπὸν ὁ νόμος οὕτως καθὼς λέγει καὶ περὶ Ἑλληνισμοῦ αὐτῶν τοῦ ποτέ, καὶ περὶ ἀναδρομῆς τῶν ἰουδαϊζόντων ἐπὶ τὸν νόμον.

Γαλ. 4,12 (P, f. 32r· Π, f. 135r ἀπὸ «ὁ ἀλγῶν» (Z. 1) ὡς σχόλιον ἀνωνύμου).

Καὶ μὴν οὔτε σὺ ἦσθα Ἕλλην οὔτε οὗτοι Ἰουδαῖοι· ἀλλ' ἐπειδὴ ἰουδάϊζον, καὶ αὐτὸς ἀπὸ Ἰουδαϊσμοῦ μετῆλθε, λέγει· ἀδελφοί, **[52]** δέομαι ὑμῶν[2]. ὁ ἀλγῶν δέεται, καὶ ὁ πονῶν παρακαλεῖ. ἀδελφοὺς δὲ καλεῖ, τῇ οἰκειότητι τῆς προσηγορίας ἐκβάλλων τὴν ὑπόνοιαν τὴν κατὰ τὴν ἐπιβουλήν· εἰ γὰρ ἄλλα μὲν ἐφρόνει, ἄλλα δὲ παρ' αὐτοῖς ἔλεγεν, ἐπίβουλος ἦν καὶ ἐχθρός.

Γαλ. 4,14 (P, f. 32v· Π, f. 135v).

Καὶ τὸν πειρασμὸν ὑμῶν τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε[3]. καί φησιν· ἐγὼ ταῦτα ὑπέμενον, καὶ ὑμεῖς ἐπειράζεσθε δοκιμαζόμενοι, εἴ γε προσίεσθέ με καὶ τὸν δι' ἐμοῦ κηρυττόμενον λόγον ἐν τούτοις με θεωροῦντες τοῖς κινδύνοις. τὰ οὖν ἐμὰ πάθη καὶ οἱ διωγμοί, ὦ Γαλάται, ὑμέτερος ἦν πειρασμός.

Γαλ. 4,20 P, f. 33v· Π, f. 136r ἀνωνύμου)·

Ἐπειδὴ ἐτύγχανε δεδεμένος καὶ κατεχόμενος, φησί τὸ ἤθελον ἐλθεῖν πρὸς ὑμᾶς καὶ ἀλλάξαι τὴν φωνήν μου[4], αὐτὰ ταῦτα νῦν ὑμῖν κηρύττειν ἃ οἱ ταράττοντες λέγουσί με κηρύττειν ἀλλαχοῦ, ὅτι δεῖ περιτέμνεσθαι καὶ τὰ νόμιμα τηρεῖν. ἆρα οὐκ ἂν αὐτοὶ ὑμεῖς οἱ τότε μὲν παρ' ἐμοῦ ἐκεῖνα δεξάμενοι, νῦν δὲ τὰ ἐναντία ἀκούοντες σκηνὴν καὶ παίγνιον ἐνομίσατε τὰ κατ' ἐμέ; θαυμάζω γάρ, εἰ ἐκεῖνα ἀκούσαντες παρ' ἐμοῦ, ὑποπτεύετέ με ἄλλα ἔχειν ἐν τῇ διανοίᾳ, ἄλλα δὲ τοῖς οὕτω με τιμήσασι κεκηρυχέναι.

Γαλ. 5,16 (Π, f. 139r· P, f. 40r ἀνωνύμου).

Οὐ νόμῳ τῷ ἀπειλοῦντι δούλους, πνεύματι δὲ τῷ ἄγοντι τέκνα Θεοῦ.

Γαλ. 6,12-13 (P, f. 44v· Π, f. 142r).

Τοῦ νόμου ἔχοντος τὴν ἀπόφασιν ὅτι ἐπικατάρατος ὁ μὴ ἐμμένων πᾶσιν[5], ὁ οὖν μὴ τηρῶν πάντα, οὐ τετήρηκεν. ἀλλὰ **[53]** θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα τῇ

---

1. Πρβλ. Γαλ. 4, 9. 2. Γαλ. 4, 12. 3. Γαλ. 4, 14. 4. Πρβλ. Γαλ. 4, 20. 5. Πρβλ. Δευτ. 27, 26. Γαλ. 3, 10.

ὑμετέρᾳ σαρκὶ καυχήσωνται[1], τοῦτ' ἔστιν ὅτι τὰ ἔθνη ἡμῖν ἀκολουθεῖ, καὶ μὴ ἀναγκασθῶσιν εἰπεῖν ὅτι τοῖς ἔθνεσιν συνεθέμεθα. ἐκεῖνοι μὲν τοῦτο θέλουσιν εὐπροσωπῆσαι σαρκὶ[2] καὶ καυχᾶσθαι. ἐγὼ δὲ τῇ ἐμῇ χειρὶ[3] γράφω.

Γαλ. 6,15-16 (P, f. 45v· Π, f. 142r (Τὸ πρῶτον ἀπόσπασμα ἐσφαλμένως ὑπογράφεται «Θεοδ.». Τὸ δεύτερον εἶναι ἀνώνυμον).

Οὐ περιτέμνεται ὁ Χριστιανός, οὐδ' ἔστιν ἐν τῇ ἀκροβυστίᾳ τῇ Ἑλληνικῇ· ἔχει γὰρ ἰδίαν περιτομήν. μετὰ Ἰουδαίων οὐ περιτέμνεται, ἐπειδὴ ἔχει καλλίονα, μετὰ Ἑλλήνων δὲ οὐκ ἔστιν ἐν ἀκροβυστίᾳ, ὅτι ἔχει περιτομήν. ὁ οὖν οὔτε μετὰ Ἑλλήνων οὔτε μετὰ Ἰουδαίων καινὴ κτίσις[4].

Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσι[5], τῷ τῆς καινῆς κτίσεως, ὅσοι οὐδὲ ἰουδαΐζουσιν οὐδὲ ἑλληνίζουσιν ἀλλὰ χριστιανίζουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος[6]· ἔλεος εἰς συγχώρησιν ἁμαρτημάτων, εἰρήνη εἰς συνάφειαν τὴν πρὸς θεόν. καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ[7]. ἀνάλαβε πάντα ἐκεῖνα τὰ τοιαῦτα· ὁ πᾶς νόμος ἐν ὑμῖν, ὅτι πληροῦτε τὸν νόμον τοῦ Χριστοῦ. καὶ τὶς Ἰσραὴλ τοῦ θεοῦ, ὡς τοῦ ποτε Ἰσραὴλ κληθέντος μηκέτι ὄντος τοῦ Θεοῦ.

1. Γαλ. 6, 13. 2. Γαλ. 6, 12. 3. Γαλ. 6, 11. 4. Πρβλ. Γαλ. 6, 15. 5. Γαλ. 6, 16. 6. ἔνθ' ἀν. 7. ἔνθ' ἀν.

ΕΥΣΕΒΙΟΥ ΕΜΕΣΗΣ

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

I. ΕΙΣ ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ *

[157*] *Γέν. 1,26.*

Ψυχὴ μὲν οὖν λογική, καὶ ἀθάνατος, καὶ νοῦς ἀπαθὴς ἐν ἀνθρώπου φύσει εὖ μοι δοκεῖ λέγεσθαι εἰκόνα καὶ ὁμοίωσιν [1] ἀποσώζειν Θεοῦ, καθ' ὅσον ἄϋλος καὶ ἀσώματος νοερά τε καὶ λογικὴ τὴν οὐσίαν συνέστηκεν, ἀρετῆς οὖσα καὶ σοφίας δεκτική.

Γέν. 3,22.

Ἐλεγκτικῶς τὴν νόησιν τοῦ Ἀδὰμ πεισθέντος τῇ πλάνῃ τοῦ ὄφεως μεμφόμενος λέγει· τινὲς δὲ κατὰ διασυρμὸν ἔφασαν, ἄλλοι κατ' εἰρωνείαν· ἔστι δὲ ταῦτα τοῖς τῆς ἀποφάσεως λόγοις ἀκόλουθα πρὶν ῥηθῆναι τὰ περὶ τῆς γυναικὸς τοῦ ὀνόματος [2] καὶ τῶν δερματίνων χιτώνων [3]· ἐπειδὴ γὰρ μεγάλα φαντασθεὶς ἐξ ἀνοίας ἠπάτηται, καλῶς μετὰ τὴν ἀπόφασιν τούτοις αὐτὸν ἐπιστύφει τοῖς ῥήμασιν. Πάνυ γε, φησίν, ἐκβέβηκέ σοι τὰ τῆς ὑπονοίας· διὰ τοῦτο καὶ τὸ Ἐξ ἡμῶν [4] πρὸς τὴν ὑπόνοιαν εἴρηται. Ἐπειδήπερ ἔφησεν ὁ διάβολος· ὡς θεοὶ [5]· ἀμφότερα πλήττον καὶ ὅπερ ἐνόμισε γενέσθαι, καὶ τὸ πολλοὺς εἶναι Θεούς, τό τε ψεῦδος ἐκείνου δηλῶν, καὶ τούτου τὴν ἄνοιαν· ἅμα δὲ παρίστησι καὶ τὴν εἰς τοὐναντίον μεταβολὴν ἐκ θείας ἐλπισθείσης φύσεως γεγονότος θνητοῦ· ἐν δὲ τῷ Ἑβραϊκῷ, φασί, διὰ τῶν γράφεσθαι γραμμάτων, τὸ Θεὸς καὶ θεοί· τινὲς οὖν ὡς Θεὸς ἀνέγνωσαν.

Γέν. 17,14.

Οὐκ ἐπειδὴ τὸ ἔργον τῆς περιτομῆς ἀναγκαῖον, ἀλλ' ὅτι ἡ διαθήκη ἀθετεῖται τοῦ σημείου, δι' οὗ γνωρίζεται μὴ πληρουμένου.

[158*] *Ἡσ. 1,9.*

Δι' ὧν παρίστησι τοὺς ἀπὸ Ἰουδαίων εἰς τὸν Χριστὸν πεπιστευκότας, ἐν οἷς ὑπῆρχον οἱ Ἀπόστολοι καὶ οἱ πρῶτοι κήρυκες τοῦ Εὐαγγελίου, οἱ τὰ λογικὰ καὶ ἐπουράνια σπέρματα εἰς πάντα κατασπείραντες ἔθνη.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ E. M. Buytaert. «L' héritage littéraire d' Eusèbe d' Emèse». Louvain 1949 σ. 157*-158*.

1. Πρβλ. Γέν. 1, 26. 2. Πρβλ. Γέν. 3, 20. 3. Πρβλ. Γέν. 3, 21. 4. Γέν. 3, 22. 5. Γέν. 3, 5.

II. ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΤΟΥ ΠΑΥΛΟΥ *

[46] *Ρώμ. 3,2. (V, f. 23ʳ Εὐσεβίου καὶ Σευηριανοῦ).*

Τὸ μὲν πρῶτον[1] οὐχ ἵνα, φησί, δεύτερόν τι εἴπῃ καὶ τρίτον, ἀλλ' ὅτι τοῦτο πρῶτον πάντων ἐστὶ καλῶν περιεκτικόν· τοῦ γὰρ πιστεῦσαι τοῖς τοῦ θεοῦ λόγοις τί κρεῖττον ἂν εἴη;

[52] *Α' Κορ. 4, 4-5. (V, f. 243ᵛ—244ʳ· B, f. 60ᵛ· C, f. 98ᵛ, εἰς πάντα τὰ χειρόγραφα ἀναγράφεται «Εὐσεβίου» χωρὶς ἀκριβέστερον προσδιορισμόν. Ἴσως Εὐσεβίου Καισαρείας. Περὶ ὑπομνήματος τούτου εἰς τὴν Α' Κορ. ποιεῖται λόγον ὁ Ἱερώνυμος εἰς Ἐπ. 48,3).*

Παραινεῖ μὴ σπουδαῖον ἡγεῖσθαι τὸ ἑαυτοὺς ἐκδικεῖν μηδὲ τὸ κρίνειν τοὺς ἡμαρτηκέναι δοκοῦντας μηδὲ ταράσσεσθαι τοῖς ἐπὶ τοῦ παρόντος τὰς τῶν θνητῶν ὄψεις διαλανθανόντων, ἐπείπερ αὐτὸς ὁ κύριος ἐπιστὰς τῶν μὲν ἀσεβῶν φωτίσει τὰ κρυπτὰ τοῦ σκότους[2], τῶν δὲ κοσμίων καὶ θεοσεβῶν δι' ἐπιείκειαν καὶ ἰδιοπραγμοσύνην καὶ λανθανόντων τοὺς πολλοὺς φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, οἷς καὶ τὸν ἔπαινον γενήσεσθαί φησιν ἀπὸ τοῦ θεοῦ[3].

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Karl Staab. Pauluskommentare aus der Griechischen Kirche. Münster I. W. 1933, σ. 46-52.

1. Ρωμ. 3, 2. 2. Α' Κορ. 4, 5. 3. Πρβλ. Α' Κορ. 4, 5.

ΝΟΘΑ

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΕΥΣΕΒΙΟΥ
ΛΟΓΟΣ ΠΕΡΙ ΤΗΣ ΠΑΡΟΥΣΙΑΣ ΙΩΑΝΝΟΥ ΕΝ ΤΩ ΑΔΗ ΚΑΙ ΤΩΝ ΕΚΕΙΣΕ ΕΓΚΕΚΛΕΙΣΜΕΝΩΝ *

[509] Δέσποτα, εὐλόγησον.

Ἀναγκαῖον ἡμῖν ἐστι πάλιν σήμερον **[512]** ἐρευνῆσαι καὶ γνῶναι, ποταπὸς ὁ εὐαγγελισμὸς τοῦ Προδρόμου ἐν τῷ ᾅδῃ, καὶ τί ἐν τῷ ᾅδῃ ἐπηρώτησαν αὐτόν.

Ἀποστείλαντος αὐτοῦ τοὺς μαθητὰς πρὸς τὸν Κύριον μαθεῖν τὴν ἀκρίβειαν τό, **Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν**[1]; καὶ ἐλθόντων αὐτῶν καὶ κομισάντων τὴν ἀπόκρισιν, ἰδοὺ Ἡρώδης πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην[2] ἐν τῷ δεσμωτηρίῳ. Καὶ πληρώσας τὸν δρόμον ὁ Πρόδρομος[3], παρεγένετο πρὸς τοὺς κατακλείστους ἐν τῷ ᾅδῃ. Καὶ θεασάμενοι αὐτοῦ τὴν αὐγὴν τοῦ λύχνου ἐγνώρισαν αὐτόν· καὶ ἤρξαντο περὶ τοῦ Ἡλίου τῆς δικαιοσύνης ἐρωτᾷν αὐτόν, εἰ δ' ἂν εἶδε τὸν λύχνον τοῦ κόσμου Ἰωάννην, καὶ παραμυθία αὐτοῖς γέγονεν. Ἔγνωσαν γάρ, ὅτι καὶ ἡ τοῦ Ἡλίου τῆς δικαιοσύνης παρουσία ἐγγύς ἐστι. Ὥσπερ γὰρ τῆς νυκτὸς **[513]** πληρωθείσης καὶ τῆς ἡμέρας αὐγῆς ἀρχομένης, προτρέχει ἑωσφόρος ἀστὴρ μηνύων τὴν τοῦ ἡλίου παρουσίαν· οὕτω καὶ Ἰωάννης ὡς πρόεδρος ἔδραμεν εἰς τὸν ᾅδην λύχνος ὑπάρχων· καὶ ἐμήνυσε τοῖς ἐκεῖσε, ὅτι ἔρχεται ὁ Ἥλιος τῆς δικαιοσύνης καὶ ἐξάξει ὑμᾶς αὐτοὺς ἐκεῖθεν. Τότε ἀκούσαντες οἱ ἐν τῷ ᾅδῃ προέδραμον τῷ Ἰωάννῃ λέγοντες· Παραγίνεται ὁ Κύριος ἐνταῦθα· πολὺς γὰρ ἀπελπισμὸς κατέχει ἡμᾶς. Εἰ ἄρα ἔρχεται λοιπὸν καὶ ἀπαλλάττει ἡμᾶς τῆς θλίψεως ταύτης, ἐπληρώθησαν τὰ προφητευθέντα εἰς αὐτόν.

Ἀποκριθεὶς ὁ Ἰωάννης ἐπηρώτα τοὺς προφήτας λέγων· Παρακαλῶ ὑμᾶς, ἀπαγγείλατε, τί ἕκαστος ὑμῶν προεφήτευσε περὶ τοῦ Κυρίου, ἵνα καὶ οἱ ἐν τῷ ᾅδῃ ἀκούσαντες εὔθυμοι γίνωνται.

Καὶ ἀποκριθεὶς ὁ προφήτης Δαβὶδ εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἐκ τῶν οὐρανῶν ἔρχεται, καὶ εἶπον· **Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡς ἡ σταγὼν ἡ στάζουσα ἐπὶ τῆς γῆς**[4], ἐπειδὴ ὑετὸς καταβαίνων ἐπὶ ἐρίῳ οὐκ ἀποτελεῖ ψόφον.

Καὶ ἀποκριθεὶς Ἡσαΐας εἶπεν· Ἐγὼ ἔγνων, ὅτι μέλλει ἐκ Παρθένου γεννᾶσθαι, καὶ εἶπον· **Ἰδού, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ**[5].

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne P.G. 86, 509A-525A.

1. Ματθ. 11, 3. 2. Πρβλ. Ματθ. 14, 10. 3. Πρβλ. Πράξ. 13, 25. 4. Πρβλ. Ψαλμ. 71, 6. 5. Ματθ. 1, 23. Πρβλ. Ἡσ. 7, 14.

Ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλει ἐν Βηθλεὲμ γεννᾶσθαι, καὶ εἶπον· Καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ[1].

Καὶ ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι εἰς Αἴγυπτον κατέρχεται, καὶ εἶπον ὡς ἐκ προσώπου τοῦ Πατρὸς αὐτοῦ· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου[2].

Ἄλλος προφήτης εἶπεν· Ἐγὼ ἔγνων ὅτι, ἀντὶ τῶν δώδεκα πατριαρχῶν μαθηταὶ μέλλουσι διακονεῖν αὐτόν, καὶ εἶπον· Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου[3].

[516] Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ καὶ τὰ θαύματα ἃ ἔμελλε ποιεῖν, ἔγνων, καὶ εἶπον· Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων[4]. Καὶ πάλιν, ὅτι τὰ Σάββατα αὐτῶν ἔμελλε καταλύειν, ἔγνων, καὶ εἶπον· Τὰς Νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα ἐμίσησεν ἡ ψυχή μου[5].

Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι τριάκοντα ἀργύρια μέλλει λαμβάνειν Ἰούδας, καὶ προδιδόναι αὐτόν, καὶ εἶπον· Ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρια [ἀργυροῦς][6].

Καὶ ἀποκριθεὶς Ἱερεμίας εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἐπὶ ξύλου μέλλουσι σταυροῦν [σταυρῶσαι] αὐτόν, καὶ εἶπον ὡς ἐκ προσώπου τῶν Ἰουδαίων· Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· καὶ ἐκτρίψωμεν τὴν ζωὴν αὐτοῦ[7].

Ἀποκριθεὶς ἄλλος εἶπε· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν ἐπὶ πέτραν ὑψοῦν αὐτὸν καὶ εἶπον· Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με[8].

Καὶ ἀποκριθεὶς ἄλλος τῶν προφητῶν εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν αὐτὸν μετὰ ληστῶν σταυροῦν, καὶ εἶπον· Καὶ μετὰ ἀνόμων ἐλογίσθην[9].

Καὶ ἀποκριθεὶς ἄλλος εἶπεν· Ἐγὼ ἔγνων ὅτι μέλλουσιν αὐτὸν χολὴν καὶ ὄξος ποτίζειν καὶ εἶπον· Καὶ ἔδωκαν εἰς τό βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος[10]. Καὶ πάλιν, ὅτι εἰς μνημεῖον μέλλουσι τιθέναι αὐτὸν ἔγνων, καὶ εἶπον· Ἔθεντό με ἐν λάκκῳ

---

1. Ματθ. 2, 6. Πρβλ. Μιχ. 5, 1. 3. Β' Βασ. 5, 2. 2. Ματθ. 2, 15. Πρβλ. Ὠσ. 11, 1. 3. Πρβλ. Ψαλμ. 44, 17. 4. Ἡσ. 35, 5-6. 5. Πρβλ. Ἡσ. 1, 14. 6. Ζαχ. 11, 12. 7. Πρβλ. Ἱερ. 11, 19. 8. Ψαλμ. 60, 3. 9. Πρβλ. Ἡσ. 53, 12. 10. Ψαλμ. 68, 22.

κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου[1].

Καὶ ἄλλος ἀποκριθείς· Ἐγὼ ἔγνων ὅτι τὰς πύλας ᾅδου συνθλάσει καὶ συντρίψει, καὶ εἶπον· Πύλας χαλκᾶς συντρίψει, καὶ μοχλοὺς σιδηροῦς συνθλάσει[2].

Καὶ ἄλλος ἀποκριθεὶς εἶπεν· Ἐγὼ ἔγνων ὅτι ἀναστήσει τοὺς νεκροὺς τοὺς ἐν ᾅδῃ, καὶ εἶπον· Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις[3].

[517] Ταῦτα αὐτῶν λεγόντων περὶ ἑκάστης οἰκονομίας ἧς ἔμελλε ποιεῖν ὁ Κύριος, καὶ ἀγαλλιωμένων αὐτῶν ἐπὶ τῇ προτροπῇ, εἶπεν ὁ Ἅδης πρὸς τὸν Διάβολον· Περὶ τίνος λέγουσιν οὗτοι οἱ μεγαλόφρονες; Τίνος ἕνεκεν φλυαροῦσι; Τίς δέ ἐστι οὗτος ὁ παραγενόμενος, ὅτι οὕτως αὐτοὺς ἐχαροποίησεν;

Ὁ δὲ Διάβολος ἀποκριθεὶς εἶπεν πρὸς τὸν Ἅδην· Ὅλως μὴ θροηθῇς μηδὲ δειλιάσῃς ἀπὸ τῶν ῥημάτων αὐτῶν· οὗτος οὖν ὁ παραγενόμενος Ἰωάννης ἐστὶν ὁ Βαπτιστής, καὶ μεγαλοθύμων ἐστί. Καὶ γὰρ ὅτε ἦν ἐπὶ τῆς γῆς, μεγάλα αὐτοὺς εὐηργέτησε καὶ ἐμαρτύρησε περὶ ἐκείνου τοῦ ἀνθρώπου, περὶ οὗ νῦν εὐηγγελίσατο αὐτοῖς, πολὺ μέγαν αὐτοῖς διηγόρευσεν, καὶ μικρά τινα καὶ ἐμὲ ἐλύπησε. Καὶ ἔλεγε τῷ κόσμῳ, ὅτι Οὗτός ἐστι ὁ μέλλων λυτρῶσαι τὸν Ἰσραήλ[4]. Καὶ εἰσῆλθον ἐγὼ εἰς τὴν Ἡρωδιάδα, γυναῖκα καλὴν καὶ ὑπουργόν μου καὶ συγκληρονόμον τῶν ἔργων μου, καὶ δι' ἐκείνης παρώξυνα βασιλέα· καὶ τοῦτον ἐν ἀρίστῳ ἀπέτεμον, καὶ τὴν κεφαλὴν αὐτοῦ δέδωκα τῷ κορασίῳ ἐπὶ πίνακι, καὶ ὡς μήλῳ προσέπαιξε. Καὶ περὶ οὗ εἶπε τῇ οἰκουμένῃ λυτροῦσθαι, οὐδὲ τοῦτον ἠδυνήθη λυτρώσασθαι, ἀλλ' ἀκούσας περὶ τοῦ θανάτου Ἰωάννου, καὶ φοβηθεὶς μὴ καὶ τοῦτον ἀνέλῃ ὁ Ἡρώδης, ἔφυγεν εἰς τὴν Γαλιλαίαν. Τότε ἔγνων ὅτι ἄνθρωπός ἐστι, λοιπὸν καὶ φοβεῖται τὸν θάνατον, καὶ οὐκέτι ἐφρόντισα περὶ τούτου· ἵνα δέ σοι τὴν ἀλήθειαν εἴπω, μεγάλως ἐλυπήθην ἐν τῇ ἀρχῇ καὶ ἐφοβήθην, ὅτι μὴ καὶ ἡμᾶς αἰχμαλώτους ποιήσῃ.

Ἀποκριθεὶς δὲ ὁ Ἅδης εἶπε τῷ Διαβόλῳ· Βλέπε, ἀδελφέ, μήπως θέλοντες ἄγαν κερδῆσαι ἀπάν[520]των ζημιωθῶμεν. Οὐδεὶς γὰρ ἡμῶν τῶν δύο φίλος τυγχάνει, ἀλλὰ πάντες ἐχθροὶ ἡμῶν γεγόνασι, καὶ ἐὰν ἀποτύχωμεν, ἀπαραμύθητον ἡμῶν τὸ πένθος γενήσεται, ἀνεκδιήγητος ἡ λύπη. Τί γὰρ νομίζεις τοὺς προφήτας τούτους ἡδέως τὰ σώματα αὐτῶν ἔσω τῶν πυλῶν τυγχάνει; Καὶ τοιαῦτα φθέγγονται· ἐὰν ἐξέλθωσιν ἐντεῦθεν, πῶς ἔχουσιν ἡμῶν καταγελᾶν! καὶ λέγω περὶ τούτων τῶν μὴ προσδοκώντων κόλασιν· ἐὰν ἐξέλθῃ τὸ πλῆθος τῶν καταδίκων καὶ ἁμαρτωλῶν, καὶ οὗτοι καταγελάσαι ἡμῶν ἔχουσι τῆς ἀδρανείας, καὶ ὁ κόσμος ὅλος ὡς ἀδρανείας ἡμᾶς διαγράψει.

1. Ψαλμ. 87, 7. 2. Πρβλ. Ἡσ. 45, 2. 3. Ἡσ. 26, 19. 4. Πρβλ. Λουκ. 24, 21.

Βλέπε οὖν ἀκριβῶς, ἵνα μὴ χλευασθῶμεν· οὗτοι γὰρ μεγάλως εὐφραίνονται ἀκούοντες τὰ περὶ ἐκείνου.

Ὁ δὲ Διάβολος ,ἀκούσας ταῦτα, λέγει πρὸς τὸν Ἅδην· Εἶπόν σοι, ὅτι Μὴ φοβηθῇς ἀπὸ τῶν ρημάτων αὐτῶν.Ἐγὼ γὰρ οἶδα τίς ἐστι, καὶ οὐ φοβοῦμαι αὐτόν· ἄνθρωπός ἐστιν Ἰησοῦς, τρώγων καὶ πίνων καὶ κοιμώμενος· καὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία, ὁ δὲ πατὴρ αὐτοῦ Ἰωσὴφ ἐπιστάμενος τεκτονικὴν ἐπιστήμην. Ὑπάρχουσι δὲ ἐκ τῆς πόλεως Ναζαρέτ, καὶ ὅτε ἐγεννήθη, ἐζήτει αὐτὸν ὁ Ἡρώδης ἀποκτεῖναι· καὶ λαβόντες αὐτὸν οἱ γονεῖς ἔφυγον εἰς Αἴγυπτον. Ἀλλ' εἰ καὶ τότε ἐξέφυγε τὰς χεῖράς μου, νῦν ἐμπεσεῖται, κἀγὼ αὐτὸν φέρω εἰς τὰς χεῖράς σου [εἰσελεύσομαι γὰρ εἰς τὰς χεῖράς σου]· εἰσελεύσομαι γὰρ εἰς τοὺς Ἰουδαίους,καὶ ἐπεγερῶ τὸ ἔθνος αὐτῶν, καὶ παραδώσουσιν αὐτὸν εἰς κριτήριον, καὶ σταυρώσουσιν αὐτόν, καὶ ἀροῦσιν αὐτοῦ τὸ μνημόσυνον ἐκ τῆς γῆς· καὶ ἄξω αὐτὸν εἰς τὰς χεῖράς σου· καὶ τότε πενθήσουσιν αὐτοί· Πλὴν ἀσφάλισαι τὰς θύρας ἐν πολλῇ ἀσφαλείᾳ καὶ μὴ δειλιάσῃς ἀπὸ τῶν ῥημάτων· ἐκφοβεῖν γάρ σε θέλουσιν.

[521] Καὶ εἰπὼν ταῦτα ὁ διάβολος ἐπορεύθη πρὸς τοὺς Ἰουδαίους. Καὶ ἤρξατο ἐνέδραν κατασκευάζειν κατὰ τοῦ Κυρίου, βουλόμενος αὐτὸν θανατῶσαι. Προείρηκε γὰρ καὶ τοῦτο ὁ Προφήτης· Ἐ γ κ ά θ η τ α ι ἐ ν έ δ ρ ᾳ μ ε τ ὰ π λ ο υ σ ί ω ν ἐ ν ἀ π ο κ ρ ύ φ ο ι ς τ ο ῦ ἀ π ο κ τ ε ῖ ν α ι ἀ θ ῷ ο ν[1]. Ἤρξαντο οὖν συμβούλιον ποιεῖν μετὰ τῶν Ἰουδαίων κατὰ τοῦ Κυρίου· καθὼς εἴρηκεν ἐν τῷ Εὐαγγελίῳ, ὅτι Σ υ ν α χ θ έ ν τ ε ς ο ἱ Ἰ ο υ δ α ῖ ο ι [οἱ Φαρισαῖοι] σ υ μ β ο ύ λ ι ο ν ἔ λ α β ο ν κ α τ ὰ τ ο ῦ Κ υ ρ ί ο υ, ὅ π ω ς α ὐ τ ὸ ν ἀ π ο λ έ σ ω σ ι ν[2]. Καὶ βλέπε τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν. Οὐκ εἶπεν, ὅτι Οἱ Ἰουδαῖοι συμβούλιον ἐποίησαν, ἀλλὰ Σ υ μ β ο ύ λ ι ο ν ἔ λ α β ο ν· καὶ οὐκ ἔγνωσαν οἱ ἄφρονες οἱ Ἰουδαῖοι, ὅτι οὐ δύνανται ἀπολέσαι τὸν ἐλθόντα σῶσαι τοὺς ἀπολλυμένους, καθὼς εἶπεν ὁ προφήτης. Ἐ τ ύ φ λ ω σ ε ν α ὐ τ ῶ ν ὀ φ θ α λ μ ο ὺ ς τ ο ῦ μ ὴ β λ έ π ε ι ν· κ α ὶ τ ὰ ς κ α ρ δ ί α ς α ὐ τ ῶ ν ἐ κ ά μ μ υ σ α ν, ἔ β υ σ α ν τ ὰ ὦ τ α α ὐ τ ῶ ν ὡ σ ε ὶ ἀ σ π ί δ α ς, κ α ὶ τ ο ῖ ς ὠ σ ὶ ν α ὐ τ ῶ ν β α ρ έ ω ς ἤ κ ο υ σ α ν[3].

Ἀλλ' εἰ καὶ ἐκεῖνοι τὴν ἴασιν παρῃτήσαντο, ἡμεῖς τὰ ἔθνη τὴν ἐκείνην ἴασιν ἐδεξάμεθα οἱ προσκυνήσαντες τὸν σταυρόν, καθὼς εἶπεν Ἡσαΐας, ὅτι Τ ῷ μ ώ λ ω π ι α ὐ τ ο ῦ ἡ μ ε ῖ ς π ά ν τ ε ς ἰ ά θ η μ ε ν, κ α ὶ ἀ ν ε β λ έ ψ α μ ε ν[4]· ἐκεῖνοι ἔβυσαν τὰ ὦτα αὐτῶν, ἵνα μὴ Γραφῆς ἀκούσωσιν, ἡμεῖς ὑπηκούσαμεν τῆς φωνῆς τοῦ Κυρίου λέγοντος· Δ ε ῦ τ ε π ρ ό ς μ ε π ά ν τ ε ς ο ἱ κ ο-

---

1. Ψαλμ. 9, 29. 2. Πρβλ. Ματθ. 12, 14. 3. Πρβλ. Ἰω. 12, 40. Ἡσ. 6, 10. 4. Πρβλ. Ἡσ. 53, 5.

πιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς[1]. Μηδεὶς παραιτήσηται προσελθεῖν τῇ μετανοίᾳ, μηδεὶς φοβηθῇ, εἴτε μάγος, εἴτε τελώνης, εἴτε βλάσφημος· Οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον[2].

Ταῦτα τοῦ Κυρίου λέγοντος, καὶ προπεμπομένου εἰς σωτηρίαν τοὺς ἀπολλυμένους, καὶ θεραπεύοντος πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ[3], ὁ **[524]** διάβολος εἰσελθὼν εἰς τὴν καρδίαν τῶν Ἰουδαίων ὥπλισεν αὐτούς, μανικοὺς ποιῶν αὐτούς. Σκότος γὰρ αὐτοῖς περιετίθη ὅτι ἔβλεπον καὶ ἐν Σαββάτῳ εὐεργεσίαν γινομένην καὶ οὐκ ἐπίστευον, ἀλλ' ἐμαίνοντο, διεπρίοντο, καὶ ἔλεγον· Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ φυλάττει[4]· καὶ οὐκ ἔγνωσαν, ὅτι Κύριός ἐστι καὶ τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου.

Ὢ ποῖον κακόν ἐστιν ἡ παρακοή! καὶ εἰς τίνα βάραθρον ἀπωλείας κατάγει τὸν ἄνθρωπον! Μίσησον τὴν παρακοὴν τὴν μισοῦσάν σε καὶ ἀπολέσαι σε ζητοῦσαν· ἀγάπησον οὖν τὴν ὑπακοὴν τὴν ἀγαπῶσάν σε καὶ σῶσαι βουλομένην· ὑπακοὴ γὰρ ζωή, παρακοὴ θάνατος. Μάθε δὲ καὶ ἐκ σεαυτοῦ, ὅτι παρήκουσας τὸν προσκαλούμενόν σε εἰς σωτηρίαν, ἐκυριεύου ὑπὸ τοῦ Σατανᾶ, καὶ οὐδὲν ἄλλο ὑπῆρχες, εἰ μὴ τάφος κεκονιαμένος καὶ νεκρὸς ἔμψυχος. Ὁ γὰρ τοῦ Θεοῦ παρακούων καὶ τῷ Σατανᾷ ὑπακούων, οὗτος ζῶν καὶ περιπατῶν τέθνηκε. Τοιοῦτος ἦσθα καὶ σύ, ὅτε παρήκουσας, ὅτε δὲ ὑπήκουσάς μου τῆς φωνῆς καὶ προσῆλθες τῇ μετανοίᾳ, ἀπέστη ὁ διάβολος ἀπὸ σοῦ, φοβεῖται νῦν καὶ τὴν σκιάν σου. Πολλῶν ἀγαθῶν πρόξενός ἐστιν ἡ ὑπακοή· πᾶσαν χάριν κέκτηται, πᾶσαν εὐφροσύνην.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Διὰ γὰρ τούτου ἡ θεία Γραφὴ λέγει· Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ[5]. Κτῆσαι οὖν ὑπακοήν, ὦ τέκνον, μνήσθητι, ὅτι διὰ τῆς ὑπακοῆς, τοῦ ἀποστολικοῦ θρόνου μέλλεις καταξιοῦσθαι, καὶ **[525]** τῷ χορῷ τῶν ἀποστόλων συγκαταριθμεῖσθαι· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΠΡΟΔΟΣΙΑΝ *

Δεῦρο λοιπόν, υἱέ μου ἀγαπητέ, καὶ περὶ τῆς προδοσίας τοῦ Ἰούδα ἀνιστορήσω σοι τὸν λόγον.

[528] Παρέμενεν ὁ διάβολος τοῖς Ἰουδαίοις, οὐκ ἀναχωρῶν, ἀλλ' ἐπιτίθεται αὐτοῖς ὥστε σταυρῶσαι τὸν Κύριον· καὶ οὐκ ᾔδει ὁ ἄθλιος, ὅτι, ἐὰν σταυρωθῇ, πάντως ἀπολέσαι αὐτὸν ἔχει· οὐκ ᾔδει, ὅτι ὁ τοῦ

---

1. Ματθ. 11, 28. 2. Ἰω. 12, 47. 3. Πρβλ. Ματθ. 4, 23. 4. Πρβλ. Ἰω. 9, 16. 5. Ἐφεσ. 6, 1.

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne, P.G. 86, 525 B-536 B.

Κυρίου θάνατος τοῦ κόσμου ἀνάστασις γίνεται· οὐκ ᾔδει, ὅτι ὁ σταυρός, εἰς ὅν αὐτὸν νομίζει σταυρῶσαι, τοῦ κόσμου φυλακτήριον ἵσταται.

Ἐπειδὴ οὐκ ἐτόλμων οἱ Ἰουδαῖοι κρατῆσαι αὐτόν, εὐθέως εὑρὼν εἴσοδον ἀπληστίας εἰς τὸν Ἰούδαν, ἤρξατο δι' ἐκείνου κατασκευάζειν τὴν προδοσίαν, ἤρξατο τοῦτον ἐπιθυμητὴν τοῦ ἀργυρίου ποιεῖν.

Ὅτε δὲ παρῆλθεν εἰς Βηθανίαν ὁ Κύριος, καὶ εἰσῆλθε εἰς τὴν οἰκίαν τινὸς Φαρισαίου καὶ ἀνέκειτο· καὶ γυνὴ ἔχουσα ἀλάβαστρον μύρου πολυτίμου εἰσελθοῦσα κατέχεεν ἐπὶ τοὺς πόδας τοῦ Δεσπότου[1]· ἰδὼν δὲ Ἰούδας, ὁ μέλλων αὐτὸν παραδιδόναι, λέγει. Εἰς τί ἡ ἀπώλεια τοῦ μύρου τούτου; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι τριακοσίων δηναρίων πτωχοῖς[2].

Οὐ πάντως, Ἰούδα, περὶ τῶν πτωχῶν σοι ἔμελεν· ἀλλὰ δικαίως λυπεῖ σε ἐπὶ τριακοσίοις δηναρίοις· ἐπειδὴ ἔμελλες τὸν Ποιητὴν τοῦ μύρου καὶ Δεσπότην τριάκοντα ἀργυρίων συμφωνῆσαι.

Καὶ τότε οὖν εὗρεν εἰς αὐτὸν εἴσοδον ὁ Σατανᾶς διὰ τῆς ἀπληστίας [πλεονεξίας]· καὶ παρεσκεύασεν αὐτὸν εἰς τὴν προδοσίαν· ὅθεν πορευθεὶς πρὸς τοὺς Ἰουδαίους λέγει αὐτοῖς· Τί θέλετέ μοι δοῦναι, **[529]** κἀγὼ ὑμῖν παραδώσω αὐτόν[3]; Τίς μὴ δακρύσῃ ἐπὶ τῇ ὑπερβολῇ τοῦ ῥήματος; Τρέμουσί μου τὰ ἄρθρα τῶν μελῶν· ἐξέστη μου ἡ διάνοια ἐπὶ τῷ ῥήματι τούτῳ· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν[4]; Τί θέλεις λαβεῖν, εἰπέ μοι; Ἐκεῖνοι γὰρ οὐδὲν ἀντάξιον ἔχουσι τοῦ Δεσπότου· ἑνὸς ἀνθρώπου τὸ ἄξιον ὁ κόσμος οὐκ ἔστιν, κατὰ τὴν Γραφήν· τοῦ Δεσπότου τοῦ ποιήσαντος τὸν κόσμον τί ἀντάξιον ἔχουσι δοῦναι; Δεῦρο ἐρωτήσω σε, ὦ Ἰούδα, εἰπέ μοι διατί παραδίδως αὐτόν; μὴ ὑστέρησέ σε τῶν ἄλλων μαθητῶν; μή τι περισσότερον ἐκείνοις παρέσχε; μὴ τῆς χάριτος τῆς ἐκείνων καὶ σὲ συνόμιλον οὐκ ἐποίησεν, ὅτι παραδίδως αὐτόν; οὐ παρῆς καὶ σύ, ὅτε εἶπεν· Τί ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ[5]; Ἧς οὐδὲν ἀνώτερον ἢ τιμιώτερον· ἀλλά ἐστιν κρείττων πάντων, εἰ τὸν κόσμον ὅλον κερδήσει· οὔτε μίαν ἔχει ὠφέλειαν ἐπὶ τῇ ἀπωλείᾳ τῆς ψυχῆς αὐτοῦ. Σὺ τριάκοντα ἀργύρια προείλου λαβεῖν, ταλαίπωρε, καὶ τὴν ψυχήν σου ζημιωθῆναι; Οὐκ οὖν ἅμα τοῖς πᾶσι παρήγγειλε λέγων· Μὴ κτήσησθε δύο χιτῶνας, μηδὲ πήρας, μηδὲ ῥάβδον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν[6]; Καὶ οἱ μὲν ἄλλοι πάντες οὐ παρῆλθον τὰ τοῦ Δεσπότου ῥήματα· σὺ δὲ παρῆλθες, ὦ ταλαίπωρε, καὶ ἀργυρίου ἐπιθυμητὴς γέγονας.

---

1. Πρβλ. Μάρκ. 14, 3. Λουκ. 7, 36-38. 2. Πρβλ. Μάρκ. 14, 4-5. 3. Ματθ. 26, 15. 4. ἔνθ' ἀν. 5. Ματθ. 16, 26. 6. Πρβλ. Ματθ. 10, 9-10.

Εἶτα εἰπέ μοι· Τί ἐκεῖνος περισσότερον ἐπηγγείλατο; οὐχὶ ἅμα πᾶσιν εἶπεν, ὅτι Καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ[1]; Οὐκ εἶπε τοῖς πᾶσιν, ὅτι Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ[2]; Πατῆσαι ἐπάνω ὄφεων καὶ σκορπίων ἐξουσίαν ἔδωκεν ὑμῖν· μὴ γὰρ ἐξουσίαν θεῖναι ὑπ' αὐτοῦ· οὐκ ἐστέρησεν οὔτε μιᾶς χάριτος αὐτοῦ· καὶ σὺ πρὸς τὴν προδοσίαν ὡπλίσθης; καὶ ἐπὶ τοσοῦτον οὐκ ἐχώρισέ σε τῆς κοινω[532]νίας τοῦ ἄρτου καὶ τοῦ ποτηρίου· καὶ ὅτε περιεζώσατο λέντιον, καὶ ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, ὁμοίως καὶ τοὺς σοὺς πόδας οὐκ ἔνιψεν; οὐδενός σε τῶν ἄλλων ἐστέρησε· διὰ τί παραδίδως αὐτόν; Εἰπέ μοι· οὐκ εἰπέ σοι ῥῆμα πονηρόν, καὶ τοιαῦτα ἐσκέψω; Ἐπὶ τῆς τραπέζης ὑπῆρχες, καὶ ἡ χείρ σου τῷ ἄρτῳ αὐτοῦ ἐκοινώνησε· καὶ ἡ ψυχή σου τὴν τιμὴν αὐτοῦ συνεφώνει! ὦ Ἰούδα! τί πεποίηκας τοῦτο, καὶ ἐχθρὸς τοῦ Κυρίου ἦσθα; καὶ τοῦ διαβόλου φίλος ἐγεγόνεις καὶ παρεδίδους αὐτόν! Οὐκ ἦν σοι καλὸν τὸ πραττόμενον· σὲ δὲ ἴσον αὐτῷ ἠγάπα καὶ ὁμοδίαιτόν σε εἶχε συγκάθεδρον. Τοιοῦτόν τι κακὸν ἐπεχείρησας ποιῆσαι; Διὰ τοῦτο καὶ Δαβὶδ προανεφώνησεν ὡς ἐκ προσώπου λέγων, ὅτι Εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ[3]· καί, Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνε πτερνισμόν[4]. Οὐαί σοι, Ἰούδα, ὅτι φίλος ὑπάρχων τοῦ Κυρίου καὶ ἀργυρίου ἐραστὴς γέγονας ἀλογίστως, ταλαίπωρε! καὶ τούτου προδότης προήμελλες γενέσθαι· καὶ οὐκ ᾔδεις, ὧν ἐπεθύμησας ἀργυρίων, κληρονόμος γενέσθαι πολλῶν σου.

Ἐπειδὴ οὖν κακὸς θάνατος ὁ ἐκ τοῦ σχοινίου πάρεστί σοι· καὶ οὐδὲ τὸ ἥμισυ τῶν ἐτῶν σου συγχωρεῖ σοι ζῆν. Ἄνδρες γὰρ αἱμάτων καὶ δολιότητος [533] οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν[5]. Καὶ οὐκ ἔγνως, ὅτι δι' ἐκεῖνα τὰ ἀργύρια τὰ βραχέα, ἀνομία τῶν πατέρων σου οὐκ ἐξαλειφθήσεται· καὶ ἡ ἁμαρτία τῆς μητρός σου οὐκ ἐξαλειφθήσεται[6]. Δι' ἐκεῖνα τὰ ἀργύρια, ἃ συνεφώνησας λαβεῖν, τὴν ἐπισκοπήν σου λάβοι ἕτερος[7], καὶ ἐν τοῖς σκηνώμασί σου οὐκ ἔσται ὁ κατοικῶν[8]. Δι' ἐκεῖνα τὰ ἀργύρια ἐνεδύσω κατάραν ὡς ἱμάτιον. Δι' ἐκεῖνα τὰ ἀργύρια πολλῶν ἀγαθῶν ξένος ἐγένου, καὶ πολλῶν κακῶν κληρονόμος· παραδείσου αἰχμάλωτος, καὶ γεέννης κληρονόμος. Δι' ἐκεῖνα τὰ ἀργύ-

---

1. Ματθ. 19,28. 2. Λουκ. 10, 19. 3. Ψαλμ. 54, 13. 4. Ψαλμ. 40, 10. 5. Ψαλμ. 54, 24. 6. Πρβλ. Ψαλμ. 108, 14. 7. Πρβλ. Ψαλμ. 108,8. 8. Πρβλ. Ψαλμ. 68, 26.

ρια μυρίων μυριάδων καὶ χιλίων χιλιάδων στρατιῶν γγέλων γέγονας ἐχθρός· καὶ ἑνὸς μόνου, τοῦ διαβόλου, φίλος γέγονας. Δι' ἐκεῖνα τὰ ἀργύρια τὰ τριάκοντα τοῦ ἁγίου χοροῦ τῶν ἀποστόλων ἐχωρίσθης· καὶ τοῖς δαίμοσι συγκατηριθμήθης· καὶ τοῦ θρόνου τοῦ Δεσποτικοῦ ἀπέστης, καὶ τῷ Ταρτάρῳ παρέστης· τὴν δόξαν ἀπεδύσω, καὶ τῷ σχοινίῳ τῆς ἀγχόνης περιεβάλου. Δι' ἐκεῖνα τὰ ἀργύρια τὸ φῶς τῆς ζωῆς ἀπηρνήσω, καὶ τὸ αἰώνιον σκότος ἐπόθησας. Ὦ Ἰούδα! τί πεποίηκας τοῦτο; Ἀργύριον ἔλαβες, καὶ τὸν Κύριον παρέδωκας. Ὦ Ἰούδα! τριάκοντα ἀργυρίων ἐπώλεις τὸν οὐρανοῦ καὶ γῆς Ποιητήν; Τί ποιεῖς Ἰούδα; πῶς αὐτὸν πωλεῖς; Εἶτα πωλεῖς κἂν γνῶθι, πῶς πωλεῖς. Εἰ ἔσχες δοῦλον τεχνίτην, πῶς οὖν αὐτὸν ἐπώλεις; Οὐκ ἐπώλεις διὰ τὴν τέχνην αὐτοῦ πλεῖον τριάκοντα χρυσίων; Καὶ τὸν ποιήσαντα τὴν ἰδίαν τέχνην ὅλον τὸν κόσμον ἐν ἓξ ἡμέραις, τριάκοντα ἀργυρίων πωλεῖς, ταλαίπωρε! πᾶσαν τὴν δημιουργίαν, ἣν ὁρᾷς, αὐτὸς ἐποίησεν ἐν ἓξ ἡμέραις.

Μετὰ δὲ τὸ ἐξελθεῖν ἐκεῖνον καὶ χωρισθῆναι τοῦ **[536]** χοροῦ τοῦ ἀποστολικοῦ, καὶ τῆς δόξης τῆς Δεσποτικῆς τῆς ἐπουρανίου, ἤρξατο ὁ Ἰησοῦς λυπεῖσθαι καὶ ἀδημονεῖν καὶ λέγειν· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου[1]· τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὸν θάνατον ἐφοβεῖτο, ἀλλὰ περὶ τῆς ἀπωλείας τοῦ Ἰούδα ἐλυπεῖτο· περὶ τῆς ἐκείνου ψυχῆς τοῦ ἀθλίου ἐλυπεῖτο καὶ ἠδημόνει, ὅτι ἀπόλλυται. Ὁ δὲ ἄθλιος διάβολος ἐνόμισεν, ὅτι τὸν θάνατον φοβούμενος λυπεῖται· καὶ ἔσπευδε στῆσαι τὸν σταυρόν. Ὦ σπλάγχνα Δεσπότου! ὑπὲρ τοῦ προδότου ἐλυπεῖτο· θάνατον γὰρ οὐκ ἐφοβεῖτο ὁ ἀθάνατος· ὅτι οὐχ ὁ Χριστὸς ἐγένετο αἴτιος τῆς ἀπωλείας αὐτοῦ, ἀλλὰ ἰδία ἄπληστος γνώμη.

Ἔδει δὲ ἡμᾶς καὶ περὶ τῆς συμβουλίας τοῦ διαβόλου τῆς πρὸς τὸν ᾅδην εἰπεῖν· ἀλλὰ διὰ τὸ τῆς ἡμέρας ὀλίγον παραλιμπάνομεν σήμερον, καὶ εἰ ὁ Θεὸς ἀξιώσει ἡμᾶς, αὔριον ἀκούσωμεν καὶ περὶ ἐκείνης τῆς ὑποθέσεως· τῷ δὲ Χριστῷ δόξα καὶ τιμὴ καὶ κράτος νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΚ ΣΕΙΡΩΝ ΤΗΣ ΚΑΙΝΗΣ ΔΙΑΘΗΚΗΣ *

[549] *Εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου κεφ. 20,1-2.*

Εἰ ὁ Ματθαῖός φησιν, Ὀψὲ Σαββάτων[2]· ὁ δὲ Ἰωάννης πρωΐ, σκοτίας ἔτι οὔσης[3], μή σε ταραττέτω· τὸν γὰρ αὐτόν φασιν ἀμφότεροι καιρὸν πλατικωτέροις διαφόροις ῥήμασι. Τὸ ὀψὲ γὰρ ὁ Ματθαῖός φησιν, ἀντὶ τοῦ βράδιον, καὶ ὀψὲ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne P.G. 86, 549A—553C.

1. Ματθ. 26, 38. 2. Ματθ. 28, 1. 3. Ἰω. 20, 1.

τῆς νυκτός· ὁ δὲ Ἰωάννης ἔμπαλιν τὸ ὀψισμένον καὶ ταχὺ τῆς αὐτῆς νυκτὸς ὠνόμασε πρωΐ, ὃ δὴ διερμηνεύων, ἐπήγαγε τὸ σκοτίας ἔτι οὔσης, ἵνα μή τις τὸν ὄρθρον αὐτὸν λέγειν ὑπολάβοι, ὡς καὶ ὁ Ματθαῖος τὸ Ὀψὲ Σαββάτων, ἵνα μὴ τὴν ἑσπερινὴν ὥραν νομίσῃ τις λέγεσθαι, προσέθηκε· Τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων[1]. Ἐκεῖ καὶ ἀκριβῶς οὐ τοῦ Σαββάτου εἶπε τὸ ὀψέ, ἵνα μή τις τὴν ἑσπέραν ὑπολάβοι λέγεσθαι τὴν μετὰ ἡλίου δυσμάς· ἀλλὰ Σαββάτων, φησίν, ὀψέ. Ἔθος δὲ τὴν ὅλην ἑβδομάδα Σαββάτων καλεῖν, καὶ πάσας τὰς ἡμέρας οὕτως ὀνομάζειν. Λέγεται γοῦν παρὰ μὲν τοῖς εὐαγγελισταῖς τῇ μιᾷ τῶν Σαββάτων, καὶ τρίτῃ τὰ ἑξῆς. Οὕτως οὖν ὁ Ματθαῖος τὸν καιρὸν τὸν ἐπιφαύσκοντα εἰς τὴν ἕω τῆς Κυριακῆς ἡμέρας Σαββάτων ὀψέ, ὠνόμασεν, οὐκ εἶπεν· Ἑσπέραν τοῦ Σαββάτου, οὐδὲ ὀψὲ Σαββάτου· ἐπεὶ ἐχρῆν ἡμᾶς τῇ ἡμέρᾳ τοῦ Σαββάτου μετὰ ἡλίου δυσμὰς ἑσπέρας γινομένης ἑορτάζειν, καὶ οὐκέτι τὴν Κυριακὴν ἡμέραν ἀγαλλιᾶν, ἀλλὰ τὴν ἑσπέραν τοῦ Σαββάτου, εἴπερ τοῦτ' ἐδήλου ὁ εὐαγγελιστής. Νῦν δὲ οὐ τοῦτο εἶπεν, ἀλλὰ νυκτὸς ἐπιλαβούσης, ἢ αὐτῷ μεσονυκτίῳ, ἢ περὶ ἀλεκτόρων βοάς, ἢ ἀμφὶ τὸν ὄρθρον, ὥστε καὶ ἐξ αὐτοῦ τοῦ πράγματος, καὶ ἐκ τῆς κεκρατηκυίας ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ συνηθείας, τὸν δι' αὐτοῦ ὀψὲ Σαββάτων δηλούμενον καιρόν, μὴ τὴν ἑσπερινὴν ὥραν εἶναι, ἀλλὰ ταύτην, ἣν αὐτὸς ὁ Ματθαῖος παρέστησεν, εἰπών· Τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων[2]. Οὐδὲ γὰρ λόγον εἶχε κατὰ τὴν ἑσπέραν τοῦ Σαββάτου. Τοιούτων θαυμαστῶν ἀμφὶ τὸ μνημεῖον τοῦ Σωτῆρος ἐπιτελουμένων, μὴ οὐχὶ πάντας τοὺς τὴν πόλιν οἰκοῦντας μαθεῖν τὰ γινόμενα; Εἰ γὰρ σεισμὸς ἐγένετο μέγας[3] ἐν ἑσπερινῇ ὥρᾳ, πάντων ἐγρηγορότων ἔτι, πῶς ἂν ᾔσθοντο οἱ πάντες; πῶς δὲ οὐκ ἂν συνδρομὴ γέγονεν ἐπὶ τὸ μνῆμα, ἀγ[552]γέλου αὐτόθι ὀφθέντος, καὶ τὸν λίθον ἀποκυλίσαντος τῆς θύρας τοῦ μνημείου; Οἱ δὲ φρουροὶ τοῦ τόπου, καὶ τὸ τάγμα τὸ στρατιωτικόν, Ἰουδαίων τε οἱ σὺν τῇ κουστωδίᾳ φυλάττοντες τὸν τάφον, πῶς οὐ παραχρῆμα τοῖς ἀρχιερεῦσι καὶ τοῖς ἄρχουσι τῶν Ἰουδαίων ἀπήγγειλαν τὰ πεπραγμένα; Ἀκόλουθον γὰρ ἦν, ἀνατραπέντος τοῦ λίθου παραδόξως, παραχρῆμα σπεῦσαι τοὺς φρουρούς, καὶ τὰ πραχθέντα δηλῶσαι, τῆς ὥρας αὐτοῖς ἐπιτρεπούσης. Οἱ δὲ καὶ διδάσκοντες διαφημίσαι εἰς πάντας, ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων[4]· ὃ δὴ χώραν οὐκ εἶχε πλάττεσθαι αὐτούς, εἰ τῇ ἑσπέρᾳ ἐγήγερτο. Ἀλλὰ γὰρ ἡγοῦμαι διὰ τούτων ἀποδείκνυσθαι τὸ παρὰ Ματθαίῳ λεγόμενον Ὀψὲ Σαββάτων, μὴ τὴν ὀψινὴν ὥραν τοῦ Σαββάτου σημαίνειν, μηδὲ τὸν ἑσπερινόν, ἀλλ' ὡς αὐτὸς ὁ Ματθαῖος ἐπήγαγε, τὴν ἐπιφαύσκουσαν ὥραν εἰς μίαν Σαββάτων, ἥτις ἦν πρωΐας, ἔτι σκοτίας οὔσης, κατὰ τὸν Ἰωάννην.

---

1. Ματθ. 28, 1. 2. ἔνθ' ἀν. 3. Ματθ. 28, 2. 4. Ματθ. 28, 13.

Εἰς Ἰωάνν. 20,3-7.

Ἴσως ἐροῦσί τινες· Πῶς τῆς κουστωδίας φυλαττούσης δρομαῖοι ἤρχοντο Πέτρος τε καὶ Ἰωάννης, καὶ εἰσῄεσαν εἰς τὸ μνημεῖον; Ἐροῦμεν, ὅτι τοῦ σεισμοῦ γενομένης τῆς ἀναστάσεως, ἀνεχώρησαν οἱ στρατιῶται ἀπαγγεῖλαι τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα, καὶ οὕτω τῆς στρατιωτικῆς φρουρᾶς ἐλευθερωθέντες, τοῦ μνήματος ἠδυνήθησαν ἀπαντῆσαι καὶ εἰσελθεῖν, ἀκούσαντες παρὰ Μαρίας τῆς Μαγδαληνῆς, ὡς οὐδείς ἐστιν ἐκεῖ τῶν ἐναντίων, σχολάζειν δὲ τὸν τόπον τοῖς ἐπὶ τὴν θέαν ἀφικνουμένοις τῆς σωτηρίου ἀναστάσεως. Αὕτη γὰρ ἦν μάλιστα ἡ αἰτία τῆς ἐπιφανείας τοῦ ἀγγέλου· οὐ γὰρ δὴ τῆς ἀναστάσεως χάριν ἀπεκίνει τὸν λίθον, ἀλλ' ἵνα τοὺς μὲν ἀπελάσῃ, τὰς δὲ ἐρχομένας ἐπὶ τὴν θέαν δεξιωσάμενος, τὴν ἀνάστασιν αὐτοῖς καταγγείλῃ· καὶ τούτου μάρτυς Ματθαῖος λέγων· Ἀπὸ δὲ τοῦ αὐτοῦ φόβου ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγενήθησαν ὡς νεκροί[1]. Φθάνει μὲν γὰρ καὶ τὸν ἄγγελον ἀναστὰς ὁ Σωτήρ, οὐδὲ ἀναμένει τὴν ἀποκίνησιν τοῦ λίθου, ἀλλὰ καὶ τούτου πρὸς τῇ θύρᾳ κειμένου, καὶ τοῖς τῶν ἀρχιερέων σημάντροις κατεσφραγισμένου, τῶν τε φρουρῶν κυκλούντων τὸν τάφον, ἀφανὴς ἐξῄει τοῦ μνήματος, τὴν ἐκ νεκρῶν ἀνάστασιν πεποιημένος θεϊκῇ δυνάμει, καθ' ἣν ὥραν οὐδεὶς ἔγνω, καὶ καθ' ὃν ἐπεσημήνατο τῶν εὐαγγελιστῶν καιρόν, καὶ ἐγήγερται τοῦ λίθου μεμενηκότος ἐπὶ σχήματος. Ἀγαθῶν δὲ ἄγγελος ἀνθρώποις παρῆν ἄγγελος· οὐδὲν μὲν τῇ ἀναστάσει διὰ τῆς αὐτοῦ παρουσίας συμβαλλόμενος, τὰ πολλὰ δὲ τῇ τῶν ἀνθρώπων διακονούμενος σωτηρίᾳ, διὸ καὶ ἐξήστραπτε τὴν μορφήν, καὶ σημεῖον παρεῖχεν ἀγαθῶν λευχείμονα δεικνὺς ἑαυτόν, καὶ πρῶτος τῆς σωτηρίου ἑορτῆς ἀπαρχόμενος.

[553] *Εἰς Ἰωάνν. 20,19-20.*

Πῶς κατὰ τὸν Λουκᾶν καὶ Ἰωάννην τοσαυτάκις ὀφθέντος τοῦ Ἰησοῦ τοῖς μαθηταῖς, ἐν αὐτῇ τῇ Ἱερουσαλήμ, κατὰ τὸν Μάρκον καὶ τὸν Ματθαῖον κελεύονται οἱ αὐτοὶ διὰ τῶν γυναικῶν εἰς τὴν Γαλιλαίαν ἀπελθεῖν, ὡς ἐκεῖ αὐτὸν ὀψόμενοι, ἀλλ' οὐ μέλλοντες αὐτὸν θεωρεῖν ἐν τῇ Ἱερουσαλήμ; Εἰ μὲν τοὺς ἕνδεκα μόνον μαθητὰς τοῦ Σωτῆρος ἡ τῶν Εὐαγγελίων ἠπίστατο γραφή, καὶ οὕτως εἶπεν ἄν τις μηδὲν τὸν λόγον λυπεῖν, εἰ τέως μὲν ἀπιστοῦντας ταῖς τῶν γυναικῶν ἐπαγγελίαις τοὺς αὐτοῦ μαθητὰς θεραπεύων, ἅπαξ καὶ δεύτερον αὐτοῖς λαθραίως κρυπταζομένοις ἐν Ἱερουσαλὴμ ἐφάνη. Ἔν γε μὲν τῇ Γαλιλαίᾳ οὐ κεκρυμμένως, οὐδ' ἅπαξ, οὐδὲ δεύτερον, ἀλλ' οὐδὲ κεκλεισμένοις διὰ τὸν φόβον τῶν Ἰουδαίων, σὺν πολλῇ τῇ παῤῥησίᾳ τὴν θεοφάνειαν αὐτοῦ, καὶ τῆς θεότητος τὴν ἔνδειξιν ἐποιεῖτο, παριστῶν αὐτοῖς ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμη-

1. Ματθ. 28, 4.

ρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενός τε καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ, συναλιζόμενος, ὥς φησιν ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι[1]. Καὶ αὕτη μὲν πρώτη λύσις. Ἐπεὶ δὲ τῶν μαθητῶν οἱ μὲν ἔγκριτοι καὶ πρῶτοι τὸν τῶν δώδεκα συνεπλήρουν χορόν, δεύτερον δὲ παρὰ τούτοις ἐτύγχανε τάγμα τὸ τῶν ἑβδομήκοντα, περὶ ὧν φησιν Λουκᾶς ἐν τῷ Εὐαγγελίῳ. Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέροις ἑβδομήκοντα[2]· καὶ ἕτεροι δὲ πλείους γνώριμοι τοῦ Σωτῆρος, καὶ αὐτοὶ τοῦ τῶν μαθητῶν ὀνόματος ἠξιωμένοι, οἷς οὐχ οἷόν τε ἦν ὁμοῦ πᾶσι κατ' αὐτὸ συνηθροισμένοις ἐν τῇ Ἱερουσαλὴμ ὀφθῆναι αὐτὸν μετὰ τὴν ἀνάστασιν, εἰκότως δύο μὲν τῶν εὐαγγελιστῶν, ὅ τε Λουκᾶς καὶ ὁ Ἰωάννης μόνοις τοῖς ἕνδεκα ὦφθαι αὐτὸν ἀναγράφουσιν ἐν τῇ Ἱερουσαλὴμ, δύο δὲ ἐν τῇ Γαλιλαίᾳ οὐ τοῖς ἕνδεκα, ἀλλ' ἁπλῶς τοῖς μαθηταῖς ἅπασι. Πλείους τοίνυν αἱ ὀπτασίαι καὶ διάφοροι γεγένηνται τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν. Καὶ οἱ μὲν τάσδε, οἱ δὲ τάσδε ἀναγράφουσι· καὶ οἱ μὲν τάσδε εἰρηκέναι αὐτόν φησιν, οἱ δὲ τάσδε καὶ πεπραχέναι. Ἔστι δὲ ὅτε καὶ περὶ τοῦ κεφαλαίου λέγοντες ἀναπληροῖ τὰ ὑπὸ τοῦ προτέρου ἐλλειφθέντα ὁ δεύτερος.

ΠΑΡΑΡΤΗΜΑ ΕΡΜΗΝΕΥΤΙΚΩΝ ΑΠΟΣΠΑΣΜΑΤΩΝ*

[556] *Εἰς τὴν Γένεσιν 5,5.*

Ὅτι ὁ Ἑβραῖος καὶ ὁ Σύρος καὶ ὁ Σύμμαχος παρὰ ρ' ἔτη ἀεὶ γενεαλογεῖ, καὶ ὑποδείγματος ἕνεκεν, ἐπ' αὐτοῦ τοῦ Ἀδὰμ γέγραπται σλ' γεννᾶν τὸν Σήθ· ὁ Ἑβραῖος ρλ'. προστίθησι δὲ αὐτὰ εἰς ὑπόλοιπον ζωῆς τοῦ Ἀδάμ.

[557] *Εἰς τὰς Πράξεις 7,20.21.31.*

Εὐσεβίου τῆς Ἐμίσσης.

Ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς[3]. Ἐγέννησαν οἱ γονεῖς· εἶδον ὅτι καλὸς ἐφείδοντο, φοβούμενοι δὲ τὸ πρόσταγμα ἔκρυψαν. Κρύψαντες δὲ ἐκινήθησαν καὶ ὥρμησαν ῥίψαι διὰ τὸν φόβον, σοφίζονται δὲ τὸ πρᾶγμα διὰ τὰ σπλάγχνα καὶ κιβωτὸν ποιησάμενοι πρὸς μίμησιν τῆς γενομένης ἐπὶ Νῶε, καὶ τὸν Θεὸν τοῦ Νῶε, ἐπικαλεσάμενοι ῥίπτουσι τὸν παῖδα ἐν τῷ ποταμῷ διὰ τῆς κιβωτοῦ, ἵνα καὶ δοκῶσι πείθεσθαι τῷ προστάγματι, καὶ ἀσφαλίσωνται τὸν παῖδα. Καὶ οἱ μὲν ῥίπτουσιν, ὁ δὲ παρακελεύεται ἀγνοούσῃ τῇ θυγατρὶ

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne P.G. 86, 556B-561B. Τὰ παραλειπόμενα ἀποσπάσματα ἔχουν παρατεθῇ μεταξὺ τῶν γνησίων ἔργων τοῦ Εὐσεβίου Ἐμέσης ἐκ τῆς ἐκδόσεως τοῦ R. Devreesse.

1. Πρβλ. Πράξ. 1, 3-4. 2. Πρβλ. Λουκ. 10, 1. 3. Πράξ. 7, 20.

Φαραὼ ἐξελθεῖν ἐπὶ τὸν ποταμόν, ἐξῆλθεν ἀγνοοῦσα, εὗρεν, ὃν οὐκ ἐζήτει.

Καὶ μετ' ὀλίγα· Καὶ ἐσώθη Μωϋσῆς διὰ συμβόλων τῆς κοινῆς σωτηρίας τῆς Ἐκκλησίας. Ἡ γὰρ κιβωτὸς ἀπὸ ξύλου ἦν, καὶ ξύλον ἀπὸ ὕδατος, καὶ σωτηρία τῷ ἀπαγορευθέντι, καὶ ἡ ἀναλαβοῦσα οὐκ Ἰουδαία, ἀλλ' ἐξ ἐθνῶν καὶ Αἰγυπτία.

Καὶ πάλιν. Ἐγένετο δὲ πάντα, ἵνα μηδὲν τῶν κατὰ Μωϋσέα νομισθῇ ἀνθρώπινον. Τίνος γὰρ ἦν εἰπεῖν, ὅτι αὐτῶν ἦν Μωϋσῆς; οἱ γονεῖς; ἀλλ' ἔῤῥιψαν. Οἱ Αἰγύπτιοι; ἀλλ' οὐκ ἐγέννησαν· ἡ μήτηρ, ὅτι ἔθρεψεν; ἀλλ' ἄλλη ἔδωκε μισθούς. Οὐκοῦν ἐπειδὴ οὐχ εὑρίσκεται ἀνθρώπων, ἄνθρωπος Θεοῦ. Οὗτος γεννηθεὶς καὶ σωθεὶς παιδεύεται τὰ Αἰγυπτίων. Σοφὸς γὰρ ἦν ὁ παιδεύων.

Καὶ γὰρ ἐν τοῖς πολέμοις πέμπονται οἱ κατασκοποῦντες, ἵνα πρῶτον γνωσθῇ τῶν ἀντικειμένων τὰ ἐνθυμήματα, καὶ οὕτω καταρχὴ γένηται τῆς μάχης. Ἐπεὶ οὖν ἤμελλε κατ' Αἰγυπτίους καθοπλίζεσθαι Μωϋσῆς, εὐσεβῶς ὑπεβλήθη τοῖς Αἰγυπτίοις, ἵνα τὰ Αἰγυπτίων κατασκοπήσῃ καὶ Θεὸν ἀνθρώπων προτιμήσῃ.

Τοῦ αὐτοῦ. Ὤφθη αὐτοῖς μαχομένοις[1]. Εὗρε δὲ ὃ οὐκ ἐζήτει· ἀλλ' ἀδελφὸν πρὸς ἀδελφόν· **[560]** παρήει μέσος οὐκ ἔτι τὸν ζῆλον κινῶν ἀλλὰ νουθεσίαν προσεβάλλετο. Μὴ ἀδίκει, φησίν, ἀδελφός ἐστιν, ὃν ἀδικεῖς. Προσεβάλλετο τὴν προσηγορίαν, ἵνα δυσωπήσῃ τὴν πλεονεξίαν.

Τοῦ αὐτοῦ. Ἀνεῖλε Μωϋσῆς, οὐ θυμῷ εἴξας, οὐδὲ ὀργῇ νικηθείς, ζήλῳ δέ· πᾶν δέ, ὃ ἂν γένηται εἰς λόγον Θεοῦ εὐσέβεια. Κἂν φόνος ᾖ διὰ Θεόν, οὐκ ἔστι φόνος. Ὁ γοῦν Φινεὲς δύο ἐν μιᾷ χειρὶ φονεύσας, ἤκουσεν· Ἀνέστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις[2]. Διάφορος γὰρ ἡ προαίρεσις φονέως, καὶ εὐσεβοῦντος, καὶ τὸ πρᾶγμα τὸ γενόμενον διὰ τοῦ Φινεὲς ἱερωσύνη μᾶλλον, ἢ φόνος. Τοσοῦτον γὰρ ἴσχυσεν ὁ διπλοῦς οὗτος φόνος τοῦ θανάτου ἐπινεμομένου τὸν Ἰσραὴλ δι' ἀσέβειαν, ὅπερ ἴσχυσε τὸ θυμιατήριον τοῦ πατρὸς Ἀαρών· τοσοῦτον ἴσχυσε, φόνος, μᾶλλον δὲ ἡ εὐσέβεια.

Καὶ μετ' ὀλίγα. Ἃ δὲ ἐποίει αἴνιγμα ἦν ἀγνοουμένων πραγμάτων. Τὸ γὰρ γινόμενον τοῦτο σημεῖον ἦν, ὅτι μέλλει ὁ Θεὸς διὰ Μωϋσέως Αἰγυπτίους ἀποκτενεῖν, τοὺς δὲ λεγομένους Ἰσραηλίτας σῴζειν.

Τοῦ αὐτοῦ. Προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι[3]. Ἐκ βασιλείων ἐξελθὼν ποιμὴν ἐν ἐρήμῳ ἐγένετο, καὶ οὐκ ἤχθετο. Εἴ τις γὰρ θέλει σῶσαι τὴν ἀγάπην καὶ τὸ φίλτρον τὸ περὶ Θεόν, εἴτε ἐν πενίᾳ σῴζεται, εἴτε ἐν πόλεσι διαφυλάττεται, εἴτε ἐν δεσμωτηρίῳ οὐκ ἀγανακτεῖ. Ἔχεις τούτου ἐν τῇ Γραφῇ τὰ παραδείγματα.

---

1. Πράξ. 7, 26. 2. Πρβλ. Ψαλμ. 105, 30. 3. Πράξ. 7, 31.

Εἰς Β' Ἐπιστ. Πέτρου 2,16.

Ὑποζύγιον ἄφωνον. Εἶτα σὺ μὲν ἀπαιτεῖς με φυλάξαι σοι ὑπακοήν, αὐτὸς δὲ παρακοῦσαι τοῦ Θεοῦ οὐ φοβῇ. Καὶ σὺ μὲν ἀγανακτεῖς ὡς ὑπερορώμενος παρ' ἐμοῦ· αὐτὸς δὲ παρελθὼν τὴν κέλευσιν τοῦ Θεοῦ οὐκ εὐλαβήθης, διόπερ ὁ Ἀπόστολός φησιν ἐν τῇ Καθολικῇ ὑποζύγιον ἄφωνον[1].

[561] *Εἰς Πράξεις Ἀποστόλων.*

Κεφ. ΣΤ'. «Ἔφυγε δὲ Μωσῆς ἐν τῷ λόγῳ τούτῳ»[2].

Μηδεὶς ἡμῶν ἔστω φίλος τῶν τοῦ Θεοῦ ἐχθρῶν· ὅσον γάρ τις ἀγαπᾷ τὸν Θεόν, τοσοῦτον μισεῖ τοὺς ἀντικειμένους Θεῷ.

Κεφ. Θ'. «Ἠγέρθη δὲ Σαῦλος ἀπὸ τῆς γῆς· ἀνεῳγμένων δὲ τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε»[3].

Παρεδόθη τῇ τυφλότητι ὥσπερ στρατιώτῃ φυλάττεσθαι, μήπως ἐκ πολλῆς τῆς προλήψεως ἄρξηται λέγειν, ὅτι φαντασία τις γέγονε· καὶ τάχα παρήκουσα τὴν φωνήν· καὶ πῶς ἄνωθεν ἔκραξεν, ὃν κάτω ἐγὼ ᾔδειν; Ἵν' οὖν μὴ τὰ τοιαῦτα μερίζηται ἡ διάνοια, παρεδόθη τῇ τυφλότητι.

1. Β' Πέτρ. 2, 16. 2. Πράξ. 7, 29. 3. Πράξ. 9, 8.

ΝΕΜΕΣΙΟΣ ΕΜΕΣΗΣ

1. Ὁ Νεμέσιος φέρεται ὡς ἐπίσκοπος Ἐμέσης. Ἀλλ' οὐδὲν περὶ τοῦ βίου αὐτοῦ γνωρίζομεν· οὔτε ποῦ καὶ πότε ἐγεννήθη, ἀλλ' οὔτε ποῦ καὶ πότε ἀπέθανε. Γνωστὸς κατέστη καὶ κατὰ τὸν Μεσαίωνα διάσημος, ἐκ τοῦ λίαν ἐνδιαφέροντος ἔργου: «Περὶ φύσεως ἀνθρώπου» (ἐκδοθέντος τὸ πρῶτον ὑπὸ τοῦ Ellebodius τῷ 1565 καὶ ὑπὸ τοῦ Matthaei 1802 καὶ ἀνατυπωθέντος ἐν Migne, PG 40, 504-816), ὅπερ ἐν τοῖς πλείστοις χφφ. ἀπὸ τοῦ Ζ' αἰ. καὶ ὕστερον φέρει ἐν ἐπικεφαλίδι τοῦ τίτλου καὶ τὸ ὄνομα «Νεμέσιος, Ἐμεσηνῶν ἐπίσκοπος». Πρῶτος ὁ Μάξιμος ὁ Ὁμολογητὴς (Ζ' αἰ.) ἀναφέρει ὀνομαστὶ τοῦτον καὶ μάλιστα ὡς ἐπίσκοπον Ἐμέσης, ἐν Συρίᾳ. Ἀλλὰ περὶ τοῦ βίου αὐτοῦ, ὡς εἴπομεν, οὐδὲν εἶναι γνωστόν, οὐδ' αὐτὸς ὁ χρόνος τῆς ἀκμῆς του. Τὸ ἀνωτέρω ἔργον δὲν παρέχει ἀσφαλῆ ἐσωτερικὰ τεκμήρια διὰ νὰ συμπεράνωμεν περὶ τοῦ συγγραφέως. Ἐλλείπουσιν ἐπίσης ἕτεραι μαρτυρίαι. Μεταγενέστεροι συγγραφεῖς, χρησιμοποιήσαντες τὸ ἔργον, οὐδὲν γνωρίζουσιν οὔτε περὶ τοῦ ὀνόματος τοῦ συντάξαντος τὸ ἔργον οὔτε ὅτι πρόκειται περὶ τοῦ ἐπισκόπου Ἐμέσης. Μάταιαι ἀπέβησαν καὶ αἱ προσπάθειαι νεωτέρων ἐρευνητῶν νὰ ταυτίσουν τὸν ἡμέτερον Νεμέσιον πρός τινα τῶν φερομένων ὡς ὁμωνύμων αὐτῷ (Bender, Untersuch. zu Nem. σ. 3 ἑ.). Καὶ ὁ χρόνος τῆς συντάξεως τοῦ ἔργου μόνον ἐμμέσως συνάγεται ἐκ πληροφοριῶν ἀξιοπίστων μαρτύρων ἢ καὶ πολεμίων τῶν ἰδεῶν τοῦ συγγραφέως τοῦ ἔργου. Ἡ τοποθέτησις αὐτοῦ τούτου τοῦ συντάκτου τοῦ ἔργου ἔναντι δογματικῶν τινων κατευθύνσεων ὡρισμένων θεολόγων καὶ ἑτέρων συγγραφέων παρέχουν ἐνδείξεις τοῦ χρόνου τῆς συντάξεως, ὡς ἔγγιστα, τοῦ ἔργου (Bender, σ. 13-30). Τρὶς κατονομάζει ὁ συντάκτης τοῦ ἔργου τὸν Ἀπολλινάριον, τὸν πρὸ τοῦ 362 ἐπίσκοπον Λαοδικείας γενόμενον καὶ πρὸ τοῦ 392 θανόντα. Τὸ ἔργον ἑπομένως ἀνήκει εἰς τὰς τελευταίας δεκαετηρίδας τοῦ Δ' αἰ. (Dräseke, Apoll, v. Laodicea, 1892, σ. 193 ἑ.). Ἡ τοποθέτησις τοῦ Νεμεσίου ἔναντι τῶν χριστολογικῶν ἐρίδων παρέσχεν ἀφορμὴν τοῖς νεωτέροις ἐρευνηταῖς ἐγγυτέρου καθορισμοῦ τοῦ χρόνου τῆς συντάξεως αὐτοῦ (ἰδίᾳ τὰ κεφ. 2-3). Ὁ Ν. ἄλλοτε μὲν στρέφεται κατὰ τοῦ Εὐνομίου († 393) καὶ τῶν ὀπαδῶν αὐτοῦ, ἄλλοτε πάλιν ὁμιλεῖ μετ' ἐφεκτικότητος περί τινων «ἐνδόξων» ἀνδρῶν (Θεοδώρου Μοψουεστίας ἴσως, γράψαντος πρὸ τοῦ 392, 15 βιβλία «Περὶ σαρκώσεως») (Migne PG 40, 608A: «Οὐκ εὐδοκία τοίνυν ὁ τρόπος τῆς ἑνώσεως, ὥς τισι τῶν ἐνδόξων ἀνδρῶν δοκεῖ,

ἀλλ' ἡ φύσις αἰτία»). Ἐκ τῆς ὅλης ἐκθέσεως τοῦ κεφ. γ' τοῦ Ν. φαίνεται ἡ ἀντίθεσις τούτου πρὸς τὴν Ἀντιοχειανὴν ἄποψιν, καθ' ἣν ἡ ἕνωσις τοῦ «Λόγου» μετὰ τοῦ υἱοῦ τῆς παρθένου εἶναι ἠθικὴ καὶ οὐχὶ ὑποστατική. Μεταξὺ λοιπὸν τῶν «ἐνδόξων» θεολόγων, τῶν ἐκπροσωπούντων τὴν Ἀντιοχειανὴν θεωρίαν, τὴν πρώτην θέσιν δέον νὰ καταλάβῃ ὁ Θεόδωρος Μοψουεστίας († 428), κατά τινα τῶν νεωτέρων ἐρευνητῶν. Σημειωτέον ὅτι ὁ Ν. πολλάκις κατονομάζει τὸν Φίλωνα ὡς Ἑβραῖον. Ἀντιθέτως δὲν δύναταί τις μετ' ἀσφαλείας νὰ δεχθῇ ὑπαινιγμοὺς τοῦ Ν. κατὰ μεταγενεστέρων αἱρετικῶν, οἷοι ὁ Νεστόριος, ὁ Εὐτυχὴς καὶ ὁ Πελάγιος. Ἀναπόδεικτος ἐπομένως παρέμεινεν ἡ προσπάθεια ἐνίων ἐρευνητῶν τοποθετήσεως τοῦ ἔργου εἰς τὸν Ε' αἰ. (Bender σ. 22 ἑ.). Ἐξ ὅλων τῶν ἀναζητήσεων, ἡ ἐπικρατεστέρα γνώμη εἶναι σήμερον ὅτι τὸ ἐπ' ὀνόματι τοῦ Ν. ἔργον «Περὶ φύσεως ἀνθρώπου» συνετάγη περὶ τὰ τέλη τοῦ Δ' ἢ τὰς ἀρχὰς τοῦ Ε' αἰ. (Πρβ. καὶ Bardenhewer, IV, 279).

2. Αἱ Θεολογικαὶ ἀντιλήψεις τοῦ σ. καὶ ἡ δογματικὴ πολεμικὴ ἢ ἀντιρρητικὴ τούτου ἔκθεσις πᾶν ἄλλο ἢ τὸ κύριον χαρακτηριστικὸν γνώρισμα τοῦ ἔργου δύνανται νὰ θεωρηθοῦν. Διότι ὡς ὅλον τὸ ἔργον θεωρούμενον ἀνήκει μᾶλλον εἰς τὴν Ἱστορίαν τῆς Φιλοσοφίας ἢ εἰς τὴν Ἱστορίαν τῆς Θεολογίας. Τὸ ἔργον ἐπομένως δύναται νὰ χαρακτηρισθῇ ὡς τὸ πρῶτον ἐγχειρίδιον Ἀνθρωπολογίας, ἐν εὐρυτέρᾳ ἐννοίᾳ τοῦ ὅρου. Ἡ καθόλου ὕλη τοῦ ἔργου λαμβάνεται ἐκ τῆς Ἑλληνικῆς Φιλοσοφίας, ἣν ὁ Ν. ἄνευ οἱασδήποτε προκαταλήψεως ὑπερβαλλόντως ἐκτιμᾷ. Ὁ σ. ἐμφανίζεται σαφῶς ἐκλεκτικός, ἀλλ' ἰσχυρῶς φέρεται προσκλίνων πρὸς τὸν Πλατωνισμὸν καὶ τὸν Νέον Πλατωνισμόν. Ὁ Ν. πιστεύει εἰς τὴν «προΰπαρξιν» τῆς Ψυχῆς, σαφῶς ὁμιλῶν περὶ ταύτης (Ὠριγενιστικὴ θεωρία), ἐνῷ ἐμφανίζεται οἱονεὶ ἐπιζητῶν ν' ἀποκρύψῃ τὴν πράγματι ἰσχυρὰν αὐτοῦ ἐξάρτησιν ἀπὸ τοῦ Ἀριστοτέλους. Γράφει οὗτος κυρίως διὰ τοὺς ὁμοδόξους αὐτῷ Χριστιανούς, δι' οὓς ἡ Ἁγία Γραφὴ ὡς ὁ ἀποφασιστικὸς κανὼν ἰσχύει. Δὲν ἀποτολμᾷ νὰ θέσῃ ὑπὸ τὴν κρίσιν καὶ τὴν ἀντιληπτικὴν ἱκανότητα τῶν ἀναγνωστῶν του ἰδιαιτέρας καὶ ὑψιπέτιδας ἀπαιτήσεις. Ὅθεν καὶ παραιτεῖται ἀπὸ «τὰ λίαν λεπτὰ καὶ περισκελῆ καὶ τοῖς πολλοῖς δυσκατανόητα τῶν ζητουμένων» (40, 536 Α). Ἔστιν ὅτε παραπέμπει εἰς εἰδικὰ ἔργα καὶ συνιστᾷ τοῖς ἀναγνώσταις τὴν σπουδὴν τῶν ἔργων τούτων: «Εἰ δέ τις ἀκριβῶς ἐκλέγειν ταῦτα βούλοιτο, τὴν «Περὶ ζῴων» ἱστορίαν Ἀριστοτέλους ἀναγινωσκέτω. Οὐ γὰρ προκειμένης γραφῆς ἀκριβοῦν ἐστι ταῦτα· ἀλλ' οἷον ὑπογραφάς τινας καὶ τύπους ἐκτίθεσθαι» (40, 612BC). Ἀπευθύνεται δὲ οὐ μόνον πρὸς χριστιανούς, ἀλλ' ἀδιακρίτως εἰς πάντας τοὺς ἀνθρώπους. Ἀναπτύσσων τὸ περὶ «προνοίας» κεφάλαιον, λέγει ὅτι διὰ τοὺς χριστιανοὺς ἡ θεία πρόνοια ἀπε-

δείχθη ἐμφανέστατα διὰ τῆς σαρκώσεως τοῦ θείου Λόγου (40, 781A). Ἀλλὰ προσθέτει: «Ἐπειδὴ δὲ οὐ πρὸς τούτους μόνους ὁ λόγος, ἀλλὰ καὶ πρὸς Ἕλληνας, φέρε καὶ δι' ἄλλων, οἷς ἐκεῖνοι πιστεύουσιν, ἀποδείξωμεν πρόνοιαν οὖσαν» (αὐτόθι). Τὸ ἔργον τοῦ Ν. εἶναι ἄριστον παράδειγμα συγκρητιστικοῦ πνεύματος τῆς ἐποχῆς, ἐμφανίζον ἐναργῶς τὰς ἰδεολογικὰς ἐν ἀμοιβαιότητι ἐπιδράσεις χριστιανικῶν καὶ Ἑλληνικῶν ἰδεῶν κατὰ τὴν περὶ ἧς πρόκειται ἐποχήν.

3. Εἰς πολλὰ χφφ. τὸ ἔργον φέρει καὶ τὸν ὑπότιτλον «λόγος κεφαλαιώδης». Ὑποδηλοῖ δ' ὁ τίτλος οὗτος ὅτι ὁ σ. προὐτίθετο ἐν συντομίᾳ νὰ ἐκθέσῃ τὰ περὶ τῆς ἀνθρωπίνης φύσεως, ἱσταμένης μεταξὺ ὁρατοῦ καὶ ἀοράτου κόσμου καὶ ἀποτελούσης οἱονεὶ σύνδεσμον ἀμφοτέρων. Τὸ ἔργον σύγκειται ἐκ 44 κεφ. καὶ διαλαμβάνει ἐν μὲν τῇ εἰσαγωγῇ (κ. 1) περὶ ψυχῆς καὶ σώματος. «Πότερον προσελθὼν ὁ νοῦς τῇ ψυχῇ, ὡς ἄλλος ἄλλῃ νοερὰν αὐτὴν ἐποίησεν, ἢ τὸ νοερὸν ἀφ' ἑαυτῆς ἡ ψυχὴ καὶ φύσει κέκτηται» (40, 504 ἑ.). Εἶτα (κ. 2) ὁμιλεῖ εἰδικώτερον περὶ Ψυχῆς καὶ (κ. 3) περὶ ἑνώσεως Ψυχῆς καὶ Σώματος. Εἰδικὸς λόγος γίνεται περὶ Σώματος (κ. 4) καὶ περὶ στοιχείων γενικῶς (κ. 5). Ἐξετάζει μετὰ ταῦτα ὁ σ. τὰς ψυχο-σωματικὰς ἰδιότητας τοῦ ἀνθρώπου (κ. 6: περὶ τοῦ φανταστικοῦ), τὰ περὶ τῶν αἰσθήσεων (κ. 7-11: περὶ ὄψεως, ἁφῆς, γεύσεως, ἀκοῆς, ὀσφρήσεως)· ἐκτίθησι τὰ περὶ νοήσεως (κ. 12) καὶ μνήμης (ἐκ. 13), ὁμιλεῖ περὶ ἐνδιαθέτου καὶ προφορικοῦ λόγου (κ. 14), ἐπανέρχεται εἰς ἑτέραν διαίρεσιν τῆς Ψυχῆς (κ. 15), κάμνει λόγον περὶ τοῦ ἀλόγου μέρους τῆς Ψυχῆς, ὃ καὶ παθητικὸν ὀνομάζει (κ. 16), ὁμιλεῖ περὶ τοῦ ἐπιθυμητικοῦ (κ. 17), περὶ ἡδονῶν (κ. 18), περὶ λύπης (κ. 19), περὶ φόβου (κ. 20), περὶ θυμοῦ (κ. 21), καὶ εἶτα ἐπανέρχεται εἰς τὴν περὶ τοῦ Σώματος τοῦ ἀνθρώπου ἔκθεσιν καὶ τῶν ἐνεργειῶν αὐτοῦ. Ὁμιλεῖ περὶ τοῦ ἀλόγου τοῦ μὴ κατηκόου λόγῳ (κ. 22), περὶ τοῦ θρεπτικοῦ (κ. 23), περὶ σφυγμῶν (κ. 24), περὶ τοῦ γεννητικοῦ ἢ σπερματικοῦ (κ. 25), καὶ ἐκτίθησι τὴν διαφορὰν τοῦ ἀνθρωπίνου σώματος ἀπὸ τοῦ ζῴου (κ. 26: ἄλλη διαίρεσις τῶν διοικουσῶν τὸ ζῷον δυνάμεων). Ἐπανέρχεται εἰς τὰς ψυχοσωματικὰς ἰδιότητας διὰ νὰ ἐκθέσῃ τὰ περὶ τῆς καθ' ὁρμὴν ἢ κατὰ προαίρεσιν κινήσεως, ἥτις ἐστὶ τοῦ ὀρεκτικοῦ (κ. 27). Εἶτα ἐκθέτει τὰ περὶ ἀναπνοῆς (κ. 28), περὶ ἑκουσίου καὶ ἀκουσίου (κ. 29), εἰδικώτερον περὶ ἀκουσίου (κ. 30), περὶ τοῦ δι' ἄγνοιαν ἀκουσίου (κ. 31), καὶ πάλιν περὶ ἑκουσίου (κ. 32). Ὁμιλεῖ περὶ προαιρέσεως (κ. 33), περὶ τίνων βουλευόμεθα (κ. 34), περὶ εἱμαρμένης (κ. 35), περὶ τῆς διὰ τῶν ἄστρων εἱμαρμένης (κ. 36), περὶ τῶν λεγόντων αἵρεσιν τῶν πρακτέων ἐφ' ἡμῖν εἶναι (κ. 37) τὴν δὲ τῶν αἱρεθέντων ἀπόβασιν ἐπὶ τῇ εἱμαρμένῃ καὶ τέλος ἐπὶ τοῦ αὐτοῦ θέματος παρεμβάλλει τὴν περὶ εἱμαρμένης γνώμην τοῦ Πλάτωνος (κ. 38: περὶ τοῦ πῶς λέγει Πλάτων τὴν εἱμαρμένην). Ἐπανέρχεται εἰς τὸ θέμα τοῦ αὐτεξουσίου (κ. 39: περὶ

τοῦ αὐτεξουσίου, ὅ ἐστι τὸ ἐφ' ἡμῖν, κ. 40: περὶ τοῦ, ὅτι ἔστιν ἐφ' ἡμῖν τινα· κ. 41: Διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν). Ἐν τέλει ὁμιλεῖ περὶ θείας Προνοίας (κ. 42 περὶ προνοίας· κ. 43: Τί ἐστι πρόνοια καὶ τὸ τελευταῖον κ. 44: Περὶ τοῦ τίνων ἐστὶ πρόνοια).

4. Τὸ πολυμερὲς τοῦ ἔργου, τὸ πλούσιον φιλοσοφικὸν καὶ φυσιολογικὸν ὑλικόν, ἡ μνεία ὀνομάτων καὶ ἡ ἀναφορὰ εἰς πλείστους συγγραφεῖς τόσον τῆς πρὸ χριστιανικῆς, ὅσον καὶ τῆς χριστιανικῆς ἐποχῆς, ἀπὸ τοῦ Θαλοῦ καὶ τοῦ Ἡρακλείτου μέχρι τοῦ Πλωτίνου καὶ τοῦ Πορφυρίου, δὲν πρέπει νὰ παρασύρῃ εἰς ὑπερβολικὰς ὑπὲρ τοῦ συντάκτου τοῦ ἔργου τούτου κρίσεις. Κατὰ βάσιν πρόκειται περὶ ἀντιγραφέως καὶ συμπιλητοῦ ἀκόμη καὶ εἰς τὰ θεολογικὰ καὶ δογματικὰ θέματα. Ἀξίζει δὲ τὸν κόπον νὰ ἐξιχνιάσῃ τις τὰς πηγάς, ὅθεν ὁ ἄριστος οὗτος συμπιλητὴς ἤντλησε καὶ ἐκαρπώθη. Τοῦτο δὲν σημαίνει ὅτι τὸ ἔργον δὲν προάγει τὰς γνώσεις ἡμῶν περὶ τῆς καθόλου ἐξελίξεως τῶν ἰδεῶν καὶ θεωριῶν τῶν ἀρχαιοτέρων συγγραφέων καὶ τῆς ἐπιδράσεως τούτων ἐπὶ τῆς χριστιανικῆς κοσμοθεωρίας. Ὁ Καθηγητὴς W. Jäger διὰ τοῦ περὶ Νεμεσίου Ἐμέσης ἔργου του (1914) διήνοιξε πλατείας λεωφόρους εἰς βαθυτέραν κατανόησιν τοῦ Νέου Πλατωνισμοῦ, ἐφ' ὅσον οὗτος θεωρεῖ τὸ ἔργον ὡς τὴν σπουδαιοτάτην πηγὴν γνώσεως αὐτοῦ. Ὁ Ποσειδώνιος, ὁ Γαληνὸς καὶ ὁ Ὠριγένης, ὡς ἀπέδειξαν οἱ Jäger καὶ Gronau (Poseidonios u. d. Jüd-christliche Genesisexegese, 1914) γίνονται γνωστότεροι διὰ τοῦ ἔργου τούτου, διότι ἀποκαλύπτονται ὁλόκληρα ἀποσπάσματα ἐξ ἀπολεσθέντων ἔργων τούτων. Ἐπίσης καὶ τοῦ ἔργου τοῦ Πορφυρίου «Σύμμικτα ζητήματα» ὁλόκληρα ἀποσπάσματα παρελήφθησαν ὑπὸ τοῦ Ν. Καὶ οἱ μεγάλοι φιλόσοφοι Πλάτων καὶ Ἀριστοτέλης συνεισήνεγκον οὐκ ὀλίγα εἰς τὸν συνθέτην τοῦ ἔργου, εἰ καὶ πολλάκις τῇ μεσιτείᾳ τοῦ Γαληνοῦ. Δυσχερείας συνήντησαν οἱ ἐρευνηταὶ πρὸς ἐξακρίβωσιν τῶν πηγῶν, ὅθεν ἤντλησεν ὁ συντάκτης τοῦ ἔργου, προκειμένου περὶ τῶν κεφ. «περὶ ἀναπνοῆς» καὶ «περὶ εἱμαρμένης», περὶ ἧς διαλαμβάνει ὁ Ἀριστοτέλης ἐν τοῖς Ἠθικοῖς Νικομαχείοις αὐτοῦ. Ἔκδηλος ἐπίσης εἶναι ἡ ἐπὶ τοῦ ἔργου ἐπίδρασις τῆς Ἀντιοχειανῆς σκέψεως, ἐν τῇ ὑπὸ τοῦ σ. ἐκθέσει τῶν θεολογικῶν-δογματικῶν καὶ τῶν χριστιανικῶν καθόλου ἰδεῶν.

5. Τὸ ἔργον τοῦ Ν. παραδιδόμενον ἐν τοῖς χφφ. οὐχὶ σπανίως καὶ ὑπὸ τὸ ὄνομα Γρηγορίου τοῦ Νύσσης, κατέστη προσφιλὲς κατὰ τὸν Μεσαίωνα καὶ εὗρεν οὐχὶ μικρὰν τὴν ἀπήχησιν (Bender σ. 5 ἑ.). Ὑπὸ τοῦ ἥκιστα γνωστοῦ μοναχοῦ Μελετίου (Η' αἰ.;) ἀντεγράφησαν πλεῖστα ἐκτενῆ ἀποσπάσματα, ἐπ' ὀνόματι τοῦ ἄλλως ἀγνώστου τούτου συμπιλητοῦ παραδοθέντα, ἄνευ οὐδεμιᾶς ἀξίας (ἔνθ' ἀν. σ. 82 ἑ.). Περὶ συριακῶν καὶ ἀρμενικῶν μεταφράσεων ὅρα Bardenhewer, IV, 279. Ὁ Zanolli, Rev. de l' orient

chrét. XX, 331 ἐφιστᾷ τὴν προσοχὴν ἐπὶ γεωργιανῆς τινος μεταφράσεως. Τὸ ἔργον ἐνωρὶς μετεφράσθη εἰς τὴν λατινικὴν ὑπὸ τοῦ Alfano (ΙΑ' αἰ.) καὶ ὑπὸ τοῦ Burgundio (ΙΒ' αἰ.), κατέστη δὲ γνωστὸν εἰς τοὺς Δυτικοὺς Θεολόγους τῶν Μέσων χρόνων ἐπ' ὀνόματι τοῦ Γρηγορίου Νύσσης καὶ ἐχρησιμοποιήθη εὐρύτατα τόσον ὑπὸ τοῦ Ἀλβέρτου Μάγνου, ὅσον καὶ ὑπὸ τοῦ Θωμᾶ τοῦ Ἀκινάτου. Κατὰ τὴν Ἀναγέννησιν συνετάχθησαν νέαι μεταφράσεις (Cono, 1512. Valla, 1538), ἡ δὲ πρώτη ἔκδοσις τοῦ ἑλληνικοῦ κειμένου ἐγένετο ὑπὸ τοῦ Ellebodius τῷ 1565. Ἐν ἔτει 1802 ἐπεμελήθη νέας ἐκδόσεως τοῦ ἑλληνικοῦ κειμένου, μάλιστα μετὰ σχολίων, ὁ Matthaei, ἥτις καὶ ἀνετυπώθη παρὰ Migne, PG 40, 504-816. Νεωτέρας ἐκδόσεις τοῦ ἔργου ἀνεκοίνωσαν ὁ Fr. Lammert καὶ ὁ Ἀμερικανὸς Einarson, μὴ εἰσέτι δημοσιευθείσας.

Εἰς τὸν Νεμέσιον ἀπεδόθη κακῶς τὸ εἰς τὸν Δημήτριον Κυδώνην ἀνῆκον ἔργον De contemnenda morte (=Περὶ καταφρονήσεως τοῦ θανάτου). (Ἔκδ. Migne, PG 154, 1169-1212. Ἐπίσης νεωτέρα ἔκδ. ὑπὸ H. Deckelman, Leipzig 1901. Τὴν γαλλικὴν μετάφρασιν ὑπὸ Ménard ἐξέδωκεν ὁ S. Salaville, Le traité du «Mepris de la mort» de Démétrios Cydonès traduit en Français par Ménard, en 1686, ἐν Echos d' Orient 22(1923) 26-29).

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Ἐκδόσεις: Migne PG 40, 508-816. Τὴν λατινικὴν μετάφρ. τοῦ Alfanus ἐξέδωκεν ὁ C. Burkhard, Leipzig, 1917. Γερμανικὴν μετάφρασιν ἐδημοσίευσεν ὁ E. Orth, Berlin, 1925. Μελέται: D. Bender, Untersuchungen zu Nemesius von Emesa, Leipzig 1898. E. Skard, Pauly-Wissowa-Kroll Realencyclopädie der klassischen Altertumswissenschaft, Suppl. 7, 1940, 562/566. Amann, Dictionnaire de Théologie Catholique 11, 1931 σ. 62/67. W. Jaeger, Nemesius von E., Berlin 1914. H. E. Koch, Quellenuntersuchungen zu Nemesius von E., Leipzig 1921. R. Arnou, Gregorianum 1936, 116 ἑἑ. (Νεστοριανισμὸς καὶ Νέος Πλατωνισμός). E. Skard, Symbolae Osloenses 1936, 23/43. 1937, 9/25. 1938, 31/45. 1939, 46/56. 1942, 40/48 (Νεμέσιος καὶ Γαληνός). F. Lammert, Philologus 1940, 125/41 (Ἡ Ἰατρικὴ παρὰ Πτολεμαίῳ καὶ Νεμεσίῳ). G. Klinge, Zeitschrift für Kirchengeschichte 1939, 363/73 (Ψυχολογία τοῦ Νεμ. παρὰ τῷ Μωϋσεῖ βὰρ Κηφᾶ). E. Amand de Mendieta, Fatalisme et liberté dans l' antiquité grecque. Louvain 1945, 549/69. I. Brady, Franciscan Studies 1948,

275/84 (Remigius and Nemesius). E. Dobler, Nem. v. E. und die Psychologie des menschlichen Aktes bei Thomas von Aquin, Freiburg 1948. F. Lammert, Hermes 1953, 488/91 (ἐπὶ τοῦ κεφ. 5). W. Telfer, Cyril of Jerusalem and Nem. of Em., London 1955 (ἀγγλ. μετάφρ.). R. C. Dales, An unnoticed translation of the chapter de elementis from Nemesius' De natura hominis. Mediaev. et Hum. 17(1966)13/19. Σημειοῦμεν ἐν τέλει ὅτι ἐγένετο τελευταίως ἐπανέκδοσις τῆς ὑπὸ τοῦ Matthaei ἐκπονηθείσης ἐκδόσεως ἐξ ἧς καὶ ἡ παρὰ Migne ἀνατύπωσις, μόλις τῷ 1967: Nemesius Emesenus, De natura hominis graece et latine. Ed. C h. F. M a t t h a e i, Halle 1802: Hildesheim, Olms 1967. Περαιτέρω βιβλιογραφίαν ἀνευρίσκει τις ἐν τοῖς Θεολογικοῖς Λεξικοῖς καὶ ταῖς Πατρολογίαις (O. Bardenhewer, IV, 275/80. J. Quasten, III, 351/5 καὶ B. Altaner (1966) σ. 225).

Κωνσταντῖνος Γ. Μπόνης Δρ. Θ. καὶ Φ.

Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΝΕΜΕΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΕΜΕΣΗΣ

ΠΕΡΙ ΦΥΣΕΩΣ ΑΝΘΡΩΠΟΥ*

Κεφ. Α'.

Τὸν ἄνθρωπον ἐκ ψυχῆς νοερᾶς καὶ σώματος ἄριστα κατεσκευάσθαι καὶ οὕτω καλῶς, ὡς οὐκ ἐνεδέχετο ἄλλως γενέσθαι καὶ συνεστάναι, πολλοῖς καὶ ἀγαθοῖς ἀνδράσιν ἔδοξε. Τοῦ δὲ νοερὰν λέγεσθαι τὴν ψυχὴν ἀμφιβολίαν ἔχοντος, πότερον προσελθὼν ὁ νοῦς τῇ ψυχῇ, ὡς ἄλλος ἄλλῃ, νοερὰν αὐτὴν ἐποίησεν, ἢ τὸ νοερὸν ἀφ' ἑαυτῆς ἡ ψυχὴ καὶ φύσει κέκτηται, καὶ τοῦτό ἐστιν αὐτῆς τὸ κάλλιστον μέρος, ὡς ὀφθαλμὸς ἐν σώματι· τινὲς μέν, ὧν ἐστι καὶ Πλωτῖνος, ἄλλην εἶναι τὴν ψυχὴν καὶ ἄλλον τὸν νοῦν δογματίσαντες, ἐκ τριῶν τὸν ἄνθρωπον συνεστάναι βούλονται, σώματος, καὶ ψυχῆς, καὶ νοῦ. Οἷς ἠκολούθησε καὶ Ἀπολλινάριος ὁ τῆς Λαοδικείας γενόμενος ἐπίσκοπος. Τοῦτον γὰρ πηξάμενος τὸν θεμέλιον τῆς ἰδίας δόξης καὶ τὰ λοιπὰ προσῳκοδόμησε κατὰ τὸ οἰκεῖον δόγμα. Τινὲς δὲ οὐ διέστειλαν ἀπὸ τῆς ψυ**[505]**χῆς τὸν νοῦν ἀλλὰ τῆς οὐσίας αὐτῆς ἡγεμονικὸν εἶναι τὸ νοερὸν ἡγοῦνται. Ἀριστοτέλης δὲ τὸν μὲν δυνάμει νοῦν συγκατεσκευάσθαι τῷ ἀνθρώπῳ, τὸν δὲ ἐνεργείᾳ θύραθεν ἡμῖν ἐπεισιέναι δοξάζει, οὐκ εἰς τὸ εἶναι καὶ τὴν ὕπαρξιν τοῦ ἀνθρώπου συντελοῦντα, ἀλλ' εἰς προκοπὴν τῆς τῶν φυσικῶν γνώσεως καὶ θεωρίας συμβαλλόμενον. Κομιδῇ γοῦν ὀλίγους τῶν ἀνθρώπων, καὶ μόνους τοὺς φιλοσοφήσαντας, τὸν ἐνεργείᾳ νοῦν ἔχειν διαβεβαιοῦται. Πλάτων δὲ οὐ δοκεῖ λέγειν τὸν ἄνθρωπον εἶναι τὸ συναμφότερον, ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν σώματι τοιῷδε χρωμένην, ἀξιοπρεπέστερον φανταζόμενος τὰ κατὰ τὸν ἄνθρωπον καὶ αὐτόθεν ἡμᾶς ἐπιστρέφων ἐπὶ τὴν τῆς ψυχῆς μόνης θειότητα καὶ ἐπιμέλειαν, ἵνα τὴν ψυχὴν ἑαυτοὺς εἶναι πιστεύοντες τὰ τῆς ψυχῆς ἀγαθὰ μόνα διώκωμεν, τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν, καὶ μὴ τὰς τοῦ σώματος ἐπιθυμίας ἀγαπήσωμεν, ὡς οὐκ οὔσας ἀνθρώπου, ᾗ ἄνθρωπος, ἀλλὰ ζῴου μὲν προηγουμένως, ἀνθρώπου δὲ ἑπομένως, ἐπειδὴ καὶ ζῷον ὁ ἄνθρωπος.

Καὶ ἄλλως δὲ κυριωτέρα τοῦ σώματος ἡ ψυχὴ πᾶσιν ἀνθρώποις εἶναι καθωμολόγηται. Ὑπὸ ταύτης γάρ, ὡς ὄργανον, κινεῖται τὸ σῶμα. Δηλοῖ δὲ ὁ θάνατος. Χωρισθείσης γὰρ τῆς ψυχῆς, ἀκίνητον μένει τὸ σῶμα παντελῶς καὶ ἀνενέργητον, ὡς, τεχνίτου χωρισθέντος, ἀκίνητα μένει τὰ ὄργανα. Γνώριμον δέ, ὅτι καὶ τοῖς ἀψύχοις κοινω-

---

* Κατὰ τὴν ἔκδοσιν J. P. Migne. P. G. τ. 40 σ. 504-817.

νεῖ, καὶ τῆς τῶν ἀλόγων ζῴων μετέχει ζωῆς, καὶ τῆς τῶν λογικῶν μετείληφε νοήσεως. Κοινωνεῖ γὰρ τοῖς μὲν ἀψύχοις κατὰ τὸ σῶμα καὶ τὴν ἀπὸ τῶν τεσσάρων στοιχείων κρᾶσιν· τοῖς δὲ φυτοῖς κατά τε ταῦτα καὶ τὴν θρεπτικὴν καὶ σπερματικὴν δύναμιν· τοῖς δὲ ἀλόγοις καὶ ἐν τούτοις μέν, ἐξ ἐπιμέτρου δὲ κατά τε τὴν καθ' ὁρμὴν κίνησιν καὶ [508] κατὰ τὴν ὄρεξιν καὶ τὸν θυμὸν καὶ τὴν αἰσθητικὴν καὶ ἀναπνευστικὴν δύναμιν· ταῦτα γὰρ ἅπαντα κοινὰ τοῖς ἀνθρώποις καὶ τοῖς ἀλόγοις ἐστίν, εἰ καὶ μὴ πᾶσι πάντα. Συνάπτεται δὲ διὰ τοῦ λογικοῦ ταῖς ἀσωμάτοις καὶ νοεραῖς φύσεσι, λογιζόμενος καὶ νοῶν καὶ κρίνων ἕκαστα, καὶ τὰς ἀρετὰς μεταδιώκων, καὶ τῶν ἀρετῶν τὸν κολοφῶνα τὴν εὐσέβειαν ἀσπαζόμενος. Δι' ὃ καὶ ὥσπερ ἐν μεθορίοις ἐστὶ νοητῆς καὶ αἰσθητῆς οὐσίας, συναπτόμενος κατὰ μὲν τὸ σῶμα καὶ τὰς σωματικὰς δυνάμεις τοῖς ἀλόγοις ζῴοις τε καὶ τοῖς ἀψύχοις, κατὰ δὲ τὸ λογικὸν ταῖς ἀσωμάτοις οὐσίαις, ὡς εἴρηται πρότερον. Ὁ γὰρ Δημιουργὸς ἐκ τοῦ κατ' ὀλίγον ἔοικεν ἐπισυνάπτειν ἀλλήλαις τὰς διαφόρους φύσεις, ὥστε μίαν εἶναι καὶ συγγενῆ τὴν πᾶσαν κτίσιν.

Ἐξ οὗ μάλιστα δείκνυται εἷς ὢν ὁ πάντων τῶν ὄντων Δημιουργός. Οὐ γὰρ μόνον ἥνωσε τὴν ὕπαρξιν τῶν κατὰ μέρος ἀτόμων, ἀλλὰ καὶ ἕκαστα πρὸς ἄλληλα συνήρμοσεν οἰκείως. Ὥσπερ γὰρ ἐν ἑκάστῳ τῶν ζῴων ἥνωσε τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς, ὀστοῦν καὶ πιμελὴν καὶ τρίχας καὶ τὰ ἄλλα τὰ ἀναίσθητα τοῖς αἰσθητικοῖς νεύροις καὶ σαρξὶ καὶ τοῖς ὁμοίοις, καὶ ἐποίησεν ἐξ ἀναισθήτων καὶ αἰσθητικῶν συγκείμενον τὸ ζῷον καὶ οὐ μόνον συγκείμενον, ἀλλὰ καὶ ἓν ὂν ἀπέδειξεν· οὕτω καὶ ἐπὶ τῆς ἄλλης κατ' εἶδος κτίσεως πεποίηκε, συνάπτων ἀλλήλοις τῇ κατ' ὀλίγον οἰκειότητι καὶ παραλλαγῇ τῆς φύσεως, ὡς μὴ κατὰ πολὺ διεστάναι τὰ πάντῃ ἄψυχα τῶν ἐχόντων φυτῶν τὴν θρεπτικὴν δύναμιν, μηδ' αὖ ταῦτα τῶν ἀλόγων καὶ αἰσθητικῶν ζῴων, μήτε μὴν τὰ ἄλογα τῶν λογικῶν ἀπηλλοτριῶσθαι πάντῃ καὶ ἀσύμβατα καὶ ἄνευ δεσμοῦ τινος εἶναι συμφυοῦς καὶ φυσικοῦ. Διαλλάττει μὲν γὰρ καὶ λίθος λίθου δυνάμει τινί, ἀλλ' ἡ μαγνῆτις λίθος ἐξεληλυθέναι δοκεῖ τὴν τῶν ἄλλων λίθων φύσιν τε καὶ δύναμιν, ἐν τῷ προφανῶς ἕλκειν πρὸς ἑαυτὴν καὶ κατέχειν τὸν σίδηρον, ὥσπερ τροφὴν αὐτὸν ποιήσασθαι βουλομένη, καὶ μὴ μόνον ἐφ' ἑνὸς σιδή[509]ρου τοῦτο ποιεῖν, ἀλλὰ ἄλλον δι' ἄλλου κατέχειν τῷ μεταδιδόναι τοῖς ἐχομένοις πᾶσι τῆς δυνάμεως ἑαυτῆς.

Κατέχει γοῦν καὶ ὁ σίδηρος σίδηρον, ὅταν ὑπὸ τῆς μαγνήτιδος ἔχηται. Εἶτα πάλιν ἑξῆς ἀπὸ τῶν φυτῶν ἐπὶ τὰ ζῷα μετιών, οὐκ ἀθρόως ἐπὶ τὴν μεταβατικὴν καὶ αἰσθητικὴν ὥρμησε φύσιν· ἀλλ' ἐκ τοῦ κατ' ὀλίγον ἐπὶ ταύτην ἐμμελῶς προῆλθε. Τὰς γὰρ πίννας καὶ τὰς ἀκαλήφας, ὥσπερ αἰσθητικὰ δένδρα, κατεσκεύασεν. Ἐρρίζωσε μὲν γὰρ αὐτὰς ἐν τῇ θαλάσσῃ δίκην φυτῶν, καὶ ὥσπερ ξύλα τὰ ὄστρακα περιέθηκε καὶ ἔστησεν ὥσπερ φυτά. Αἴσθησιν δὲ αὐταῖς ἐνέθηκε τὴν ἁπτικήν, τὴν κοινὴν πάντων ζῴων αἴσθησιν, ὡς κοινωνεῖν τοῖς

μὲν φυτοῖς κατὰ τὸ ἐῤῥιζῶσθαι καὶ ἑστάναι, τοῖς δὲ ζῴοις κατὰ τὴν ἁφὴν [καὶ τὸ αἰσθάνεσθαι]. Τὸν γοῦν σπόγγον, καίτοι προσπεφυκότα ταῖς πέτραις καὶ συστέλλεσθαι καὶ ἀνοίγεσθαι ἢ μᾶλλον ἐκτείνεσθαι [καὶ ἀμύνεσθαι], ὅταν προσιόντος αἴσθηταί τινος, Ἀριστοτέλης ἱστόρησε. Διὸ τὰ τοιαῦτα πάντα ζῳόφυτα καλεῖν ἔθος ἔχουσιν οἱ παλαιοὶ τῶν σοφῶν. Πάλιν δὲ ταῖς πίνναις, καὶ τοῖς τοιούτοις συνῆψε τὴν τῶν μεταβατικῶν μὲν ζῴων γένεσιν, μακρὰν δὲ προελθεῖν μὴ δυναμένων, ἀλλ' αὐτόθεν αὐτοῦ που κινουμένων. Τοιαῦτα δέ ἐστι τὰ πλεῖστα τῶν ὀστρακοδέρμων καὶ τὰ καλούμενα γῆς ἔντερα. Εἶθ' οὕτω κατὰ μέρος προστιθεὶς τοῖς μὲν αἰσθήσεις πλείους, τοῖς δὲ τὸ μεταβατικὸν ἐπιπλεῖστον, εἰς τὰ τελειότερα τῶν ἀλόγων ζῴων κατήντησε. Λέγω δὲ τελειότερα τὰ πάσας ἔχοντα τὰς αἰσθήσεις καὶ προϊέναι μακρὰν δυνάμενα. Πάλιν δὲ μεταβαίνων ἀπὸ τῶν ἀλόγων ἐπὶ τὸ **[512]** λογικὸν ζῷον, τὸν ἄνθρωπον, οὐδὲ τοῦτο ἀθρόως κατεσκεύασεν, ἀλλὰ πρότερον καὶ τοῖς ἄλλοις ζῴοις φυσικάς τινας συνέσεις καὶ μηχανὰς καὶ πανουργίας πρὸς σωτηρίαν ἐνέθηκεν, ὡς ἐγγὺς λογικῶν αὐτὰ φαίνεσθαι, καὶ οὕτω τὸ ἀληθῶς λογικὸν ζῷον τὸν ἄνθρωπον προεβάλετο. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς φωνῆς [κατὰ μέρος] ζητῶν εὑρήσεις, ἐξ ἁπλῆς καὶ μονοειδοῦς τῆς ἵππων καὶ βοῶν ἐκφωνήσεως κατὰ μέρος εἰς ποικίλην καὶ διάφορον παραχθεῖσαν τὴν τῶν κοράκων καὶ μιμηλῶν ὀρνέων φωνήν, ἕως εἰς τὴν ἔναρθρον καὶ τελείαν τὴν ἀνθρώπου κατέληξε· πάλιν τε τὴν ἔναρθρον διάλεκτον ἐξῆψε τῆς διανοίας καὶ τοῦ λογισμοῦ, ἐξάγγελον ποιήσας αὐτὴν τῶν κατὰ νοῦν κινημάτων.

Καὶ οὕτω πᾶσι πάντα μουσικῶς συνήρμοσε καὶ συνέδησε καὶ εἰς ἓν συνήγαγε τά τε νοητὰ καὶ τὰ ὁρατὰ διὰ μέσου τῆς τῶν ἀνθρώπων γενέσεως. Διὸ καὶ καλῶς ὁ Μωϋσῆς τὴν δημιουργίαν ἐκτιθέμενος τελευταῖον ἔφησε τὸν ἄνθρωπον γεγενῆσθαι, οὐ μόνον ὅτι, πάντων δι' αὐτὸν γενομένων, ἀκόλουθον ἦν, πρῶτον τὰ πρὸς τὴν χρῆσιν αὐτοῦ παρασκευασθῆναι, καὶ οὕτως αὐτὸν τὸν χρησόμενον παραχθῆναι, ἀλλ' ὅτι, νοητῆς γενομένης οὐσίας καὶ πάλιν ὁρατῆς, ἔδει γενέσθαι τινὰ καὶ σύνδεσμον ἀμφοτέρων, ἵνα ἓν ᾖ τὸ πᾶν καὶ συμπαθὲς ἑαυτῷ, καὶ μὴ ἀλλότριον αὐτὸ ἑαυτοῦ. Ἐγένετο οὖν τὸ συνδέον ἀμφοτέρας τὰς φύσεις ζῷον, ὁ ἄνθρωπος. Τὰ μὲν οὖν τῆς σοφίας τοῦ Δημιουργοῦ συντόμως εἰπεῖν, τοιαῦτα. Ἐν μεθορίοις οὖν τῆς ἀλόγου καὶ λογικῆς φύσεως ὁ ἄνθρωπος ταχθείς, ἐὰν μὲν ἐπὶ τὸ σῶμα ῥέψῃ καὶ τὰ τοῦ σώματος πλέον ἀγαπήσῃ, τὸν τῶν ἀλόγων ἀσπάζεται βίον, καὶ τούτοις συναριθμηθήσεται καὶ χοϊκὸς κληθήσεται, κατὰ Παῦλον[1] καὶ ἀκούσεται[2]· «Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ»· καί, «Παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»[3]. Ἐὰν δὲ ἐπὶ τὸ λογικὸν **[513]** χωρήσῃ, καταφρονήσας τῶν σωματικῶν πασῶν ἡδονῶν, τὴν

1. Πρβλ. Α' Κορ. 15, 47-49. 2. Γέν. 3, 19. 3. Ψαλμ. 48, 13.21.

θείαν τε καὶ θεοφιλεστάτην ζωὴν μετέρχεται καὶ τὴν ὡς ἀνθρώπου προηγουμένως, καὶ ἔσται, οἷος ὁ ἐπουράνιος, κατὰ τὸ εἰρημένον, «Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι»[1]. Τῆς δὲ λογικῆς φύσεως τὸ κεφάλαιόν ἐστι φεύγειν μὲν καὶ ἀποστρέφεσθαι τὰ κακά, μετιέναι δὲ καὶ αἱρεῖσθαι τὰ καλά. Τῶν δὲ καλῶν τὰ μέν ἐστι κατὰ κοινωνίαν ψυχῆς καὶ σώματος, ἐχόντων καὶ τούτων ἐπὶ τὴν ψυχὴν τὴν ἀναφοράν, οἷον ψυχῆς προσχρωμένης σώματι, ὡς αἱ ἀρεταί· τὰ δὲ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτὴν μόνης μὴ προσδεομένης σώματος, ὡς ἡ εὐσέβεια καὶ ἡ τῶν ὄντων θεωρία. Ὅσοι τοίνυν τὸν ἀνθρώπου βίον, ὡς ἀνθρώπου ζῆν, προαιροῦνται, καὶ μὴ ὡς ζῴου, μόνου τὰς ἀρετὰς μετέρχονται καὶ τὴν εὐσέβειαν. Τίνα δέ ἐστι τὰ τῶν ἀρετῶν καὶ τίνα τῆς εὐσεβείας, ἐν τοῖς ἑξῆς διακριθήσεται, ὅταν τὸν περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀποδῶμεν λόγον.

Οὐδέπω γὰρ ἐγνωσμένου, τί ποτε ἡμῶν ἐστιν ἡ ψυχὴ κατ' οὐσίαν, οὐκ ἔστιν ἀκόλουθον περὶ τῆς ἐνεργείας αὐτῆς διαλαμβάνειν. Ἑβραῖοι δὲ τὸν ἄνθρωπον ἐξ ἀρχῆς οὔτε θνητὸν ὁμολογουμένως, οὔτε ἀθάνατον γεγενῆσθαί φασιν· ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως, ἵνα, ἂν μὲν τοῖς σωματικοῖς ἀκολουθήσῃ πάθεσι, περιπέσῃ καὶ ταῖς σωματικαῖς μεταβολαῖς, ἂν δὲ τὰ τῆς ψυχῆς προτιμήσῃ καλά, τῆς ἀθανασίας ἀξιωθῇ. Εἰ γὰρ ἐξ ἀρχῆς αὐτὸν θνητὸν ἐποίησεν ὁ Θεός, οὐκ ἂν ἁμαρτόντα θανάτῳ κατεδίκασε· τοῦ γὰρ θνητοῦ θνητότητα οὐδεὶς καταδικάζει· εἰ δ' αὖ πάλιν ἀθάνατον, οὐδ' ἂν τροφῆς αὐτὸν ἐνδεᾶ κατεσκεύασεν· οὐδὲν γὰρ τῶν ἀθανάτων τροφῆς σωματικῆς δεῖται· οὐδ' ἂν οὕτω ῥᾳδίως μετενόησε καὶ τὸν γενόμενον ἀθάνατον θνητὸν εὐθέως ἐποίησεν· οὐδὲ γὰρ ἐπὶ τῶν ἁμαρτησάντων ἀγγέλων τοῦτο φαίνεται πεποιηκώς, ἀλλὰ κατὰ τὴν ἐξ ἀρχῆς φύσιν ἀθάνατοι διέμειναν, ἄλλην τῶν **[516]** ἡμαρτημένων ἀπεκδεχόμενοι δίκην, ἀλλ' οὐ τὸν θάνατον. Βέλτιον οὖν ἢ τοῦτον τὸν τρόπον νοεῖν τὸ προκείμενον, ἢ ὅτι θνητὸς μὲν κατεσκευάσθη, δυνάμενος δέ, ἐκ προκοπῆς τελειούμενος, ἀθάνατος γενέσθαι, τουτέστι, δυνάμει ἀθάνατος. Ἐπειδὴ δὲ οὐ συνέφερεν αὐτῷ πρὸ τῆς τελειώσεως γνῶναι τὴν φύσιν ἑαυτοῦ, ἀπηγόρευσεν αὐτῷ μὴ γεύσασθαι τοῦ ξύλου τῆς γνώσεως. Ἦσαν γάρ, μᾶλλον δέ εἰσιν ἔτι καὶ νῦν δυνάμεις ἐν τοῖς φυτοῖς μέγισται· τότε δέ, ὡς ἐν ἀρχῇ τῆς κοσμοποιίας, ἀκραιφνεῖς οὖσαι, ἰσχυροτάτην εἶχον τὴν ἐνέργειαν. Ἦν οὖν καὶ ἀπόγευσίς τινος καρποῦ, γνῶσιν ἐμποιοῦσα τῆς οἰκείας φύσεως. Οὐκ ἠβούλετο δὲ αὐτὸν ὁ Θεὸς πρὸ τῆς τελειώσεως γνῶναι τὴν οἰκείαν φύσιν, ἵνα μή, γνοὺς ἑαυτὸν ἐνδεᾶ πολλῶν ὄντα, τῆς σωματικῆς ἐπιμεληθῇ χρείας, καταλιπὼν τὴν τῆς ψυχῆς πρόνοιαν. Καὶ διὰ ταύτην τὴν αἰτίαν ἐκώλυσεν αὐτὸν μεταλαβεῖν τοῦ καρποῦ τῆς γνώσεως. Παρακούσας δὲ καὶ γνοὺς ἑαυτόν,

1. Α' Κορ. 15, 48.

τῆς μὲν τελειώσεως ἐξέπεσε, τῆς δὲ σωματικῆς χρείας ἐγένετο. Σκέπασμα γοῦν εὐθέως ἐπεζήτει. Φησὶ γὰρ ὁ Μωϋσῆς, ὅτι γυμνὸς ὢν ἔγνω[1]. Πρότερον δὲ ἐν ἐκστάσει αὐτὸν ἐποίησε καὶ ἐν ἀγνωσίᾳ ἑαυτοῦ. Ἐκπεσὼν οὖν τῆς τελειώσεως, ἐξέπεσεν ὁμοίως καὶ τῆς ἀθανασίας, ἣν ὕστερον ἀναλήψεται χάριτι τοῦ ποιήσαντος αὐτόν. Μετὰ δὲ τὴν ἔκπτωσιν καὶ ἡ τῶν κρεῶν ἀπόλαυσις αὐτῷ συνεχωρήθη. Πρότερον μὲν γὰρ τοῖς ἀπὸ τῆς γῆς μόνοις ἐκέλευσεν αὐτὸν ἀρκεῖσθαι· ταῦτα γὰρ ἦν ἐν τῷ παραδείσῳ· ἀπεγνωσμένης δὲ τῆς τελειώσεως, τῇ συγκαταβάσει λοιπὸν συνεχωρήθη τὰ τῆς ἀπολαύσεως.

Ἐπειδὴ δὲ ἐκ σώματός ἐστιν ὁ ἄνθρωπος, πᾶν δὲ σῶμα ἐκ τῶν τεσσάρων στοιχείων συνέστηκεν, ἀνάγκη τούτοις τοῖς πάθεσι περιπίπτειν αὐτόν, οἷς καὶ τὰ στοιχεῖα, τομῇ καὶ μεταβολῇ καὶ ῥεύσει, ἅπερ ἐστὶ μόνου τοῦ σώματος· μεταβολῇ μέν, τῇ κατὰ **[517]** ποιότητα ῥεύσει δέ, τῇ κατὰ κένωσιν. Κενοῦται γὰρ ἀεὶ τὸ ζῷον διά τε τῶν προδήλων πόρων καὶ τῶν ἀδήλων, περὶ ὧν ὕστερον ἐροῦμεν. Ἀνάγκη τοίνυν, ἢ τοῖς κενουμένοις ἀντεισφέρεσθαι τὰ ἴσα, ἢ διαλύεσθαι τὸ ζῷον ἐνδείᾳ τῶν ἐπεισιόντων. Ξηρῶν δὲ ὄντων καὶ ὑγρῶν καὶ πνεύματος τῶν κενουμένων, ἀνάγκη καὶ ξηρᾶς καὶ ὑγρᾶς τροφῆς δεῖσθαι τὸ ζῷον καὶ πνεύματος. Ἔστι δὲ ἡμῖν ἡ τροφὴ καὶ τὸ ποτὸν διὰ τῶν στοιχείων, ἐξ ὧν καὶ συνέστημεν. Ἕκαστον γὰρ τῷ μὲν οἰκείῳ καὶ ὁμοίῳ τρέφεται, τῷ δὲ ἐναντίῳ θεραπεύεται. Τῶν δὲ στοιχείων τὰ μὲν προσεχῶς τε ἅμα, τὰ δὲ καὶ διὰ μέσου τινῶν προσφερόμεθα, ὡς ὕδωρ ποτὲ μὲν καθ' ἑαυτό, ποτὲ δὲ καὶ διὰ μέσου τοῦ οἴνου καὶ τοῦ ἐλαίου καὶ πάντων τῶν καλουμένων ὑγρῶν καρπῶν. Οὐδὲν γὰρ ἕτερόν ἐστιν οἶνος, ἢ ὕδωρ ὑπ' ἀμπέλου πεποιωμένον· ὁμοίως δὲ καὶ πυρὸς μεταλαμβάνομεν, ποτὲ μὲν προσεχῶς ὑπ' αὐτοῦ θαλπόμενοι, ποτὲ δὲ διὰ μέσου ὧν ἐσθίομεν ἢ πίνομεν. Ἐν πᾶσι γὰρ ἢ πλείων ἢ ἐλάττων μοῖρα τοῦ πυρὸς ἐγκατέσπαρται. Τὸν αὐτὸν τρόπον καὶ τοῦ ἀέρος· προσεχῶς μὲν ἀναπνέοντες καὶ περικεχυμένον ἡμῖν ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν ἕλκοντες· διὰ μέσου δὲ τῶν ἄλλων πάντων, ὧν προσφερόμεθα. Τὴν δὲ γῆν προσεχῶς μὲν ἡμεῖς οὐδαμῶς, διὰ μέσου δέ τινων. Γῆ μὲν γὰρ σῖτος γίνεται· σῖτον δὲ ἡμεῖς ἐσθίομεν. Κόρυδοι μὲν γὰρ καὶ περιστεραὶ πολλάκις καὶ πέρδικες τὴν γῆν σιτοῦνται· ἄνθρωπος δὲ διὰ μέσου τῶν σπερμάτων, καὶ τῶν ἀκροδρύων, καὶ τῶν σαρκῶν. Ἐπειδὴ δὲ οὐ μόνον δι' εὐπρέπειαν ἀλλὰ καὶ δι' εὐαισθησίαν τὴν κατὰ τὴν ἁφήν, ᾗ μάλιστα πλεονεκτεῖ πάντα τὰ ζῷα **[520]** ὁ ἄνθρωπος, οὐ περιέθηκεν ἡμῖν, οὔτε δέρμα παχύ, ὡς τοῖς βουσὶ καὶ τοῖς ἄλλοις τοῖς παχυδέρμοις, οὔτε τρίχας μεγάλας καὶ πυκνάς, ὡς ταῖς αἰξὶ καὶ τοῖς προβάτοις καὶ λαγωοῖς, οὔτε φολίδας, ὡς τοῖς ὄφεσι καὶ τοῖς ἰχθύσι, οὔτε ὄστρακα, ὡς ταῖς χελώναις καὶ τοῖς ὀστρέοις, οὔτε ἁπαλόστρακα, ὡς τοῖς καράβοις, οὔτε πτέρυγας,

1. Πρβλ. Γέν. 3, 7.11.

ὡς τοῖς ὀρνέοις, ἀναγκαίως ἐσθῆτος ἐδεήθημεν, τῆς ἀναπληρούσης ἐν ἡμῖν, ὅπερ ἡ φύσις τοῖς ἄλλοις ἐδωρήσατο.

Διὰ ταῦτα μὲν οὖν τροφῆς καὶ ἐσθῆτος δεόμεθα· οἰκήσεως δὲ καὶ διὰ ταῦτα μέν, δι' ἃ καὶ τροφῆς καὶ ἐσθῆτος ἐδεήθημεν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰς τῶν θηρίων ἀποφυγάς, διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων καὶ τὴν λύσιν τῆς συνεχείας τοῦ σώματος, ἰατρῶν καὶ θεραπείας ἐν χρείᾳ κατέστημεν· τῆς δὲ μεταβολῆς κατὰ ποιότητα γινομένης, ἀνάγκη διὰ τῆς ἀντικειμένης ποιότητος εἰς τὸ σύμμετρον ἀγαγεῖν τὴν κατάστασιν τοῦ σώματος. Οὐ γάρ, ὡς οἴονταί τινες, τὸ θερμανθὲν σῶμα καταψῦξαι πρόκειται τοῖς ἰατροῖς, ἀλλ' εἰς τὸ εὔκρατον μεταστῆσαι. Εἰ γὰρ καταψύξειαν, εἰς τὴν ἐναντίαν περιίσταται νόσον ἡ διάθεσις. Χρεία τοίνυν ἀνθρώπῳ τροφῆς μὲν καὶ ποτοῦ, διὰ τὰς κενώσεις καὶ διαφορήσεις· ἐσθῆτος δέ, διὰ τὸ μηδεμίαν ἔχειν ἐκ φύσεως ἰσχυρὰν περιβολήν· οἴκου δέ, διά τε τὰς δυσκρασίας τοῦ περιέχοντος καὶ διὰ τὰ θηρία· θεραπείας δέ, διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων καὶ τὴν αἴσθησιν τὴν ἐνδοθεῖσαν τῷ σώματι. Εἰ γὰρ μὴ προσῆν ἡμῖν αἴσθησις, οὔτ' ἂν ἠλγοῦμεν, οὔτ' ἂν θεραπείας ἐδεήθημεν μὴ ἀλγοῦντες, καὶ διεφθάρημεν ἄν, ἐν ἀγνωσίᾳ τοῦ κακοῦ τὸ πάθος οὐκ ἰώμενοι. Διὰ δὲ τὰς τέχνας καὶ ἐπιστήμας καὶ τὰς ἀπὸ τούτων χρείας, ἀλλήλων δεόμεθα. Διὰ δὲ τὸ δεῖσθαι ἀλλήλων, εἰς ταὐτὸ πολλοὶ συνελθόντες, κοινωνοῦμεν ἀλλήλοις κατὰ τὰς τοῦ βίου χρείας ἐν τοῖς συναλλάγμα**[521]**σιν, ἥντινα σύνοδον καὶ συνοικίαν πόλιν ὠνομάσαμεν, ἵνα ἐγγύθεν, καὶ μὴ πόῤῥωθεν, τὰς παρ' ἀλλήλων ὠφελείας καρπώμεθα. Φύσει γὰρ συναγελαστικὸν καὶ πολιτικὸν ζῷον γέγονεν ὁ ἄνθρωπος. Εἷς γὰρ οὐδεὶς αὐτάρκης ἑαυτῷ πρὸς ἅπαντα.

Δῆλον οὖν, ὡς αἱ πόλεις διὰ τὰ συναλλάγματα καὶ τὰ μαθήματα συνέστησαν. Δύο δὲ τούτων πρεσβείων ὁ ἄνθρωπος ἐξαιρέτων ἔτυχε. Καὶ γὰρ μόνος οὗτος συγγνώμης τυγχάνει μετανοῶν, καὶ τὸ σῶμα τούτου μόνου θνητὸν ὂν ἀπαθανατίζεται, καὶ τοῦ μὲν σωματικοῦ, διὰ τὴν ψυχήν, τοῦ δὲ ψυχικοῦ, διὰ τὸ σῶμα. Μόνος γὰρ ὁ ἄνθρωπος τῶν λογικῶν ἐξαίρετον ἔσχε τὸ συγγνώμης ἐν τῷ μετανοεῖν ἀξιοῦσθαι. Οὔτε γὰρ δαίμονες, οὔτε ἄγγελοι μετανοήσαντες συγγνώμης ἀξιοῦνται. Καὶ ἐν τούτῳ μάλιστα καὶ δίκαιος καὶ ἐλεήμων ὁ Θεὸς δείκνυταί τε καὶ λέγεται. Τοῖς μὲν γὰρ ἀγγέλοις, μηδὲν ἔχουσιν ἐπανάγκασμα περιέλκον εἰς ἁμαρτίαν, ἀλλ' ἐλευθέροις οὖσιν ἐκ φύσεως τῶν σωματικῶν παθῶν τε καὶ χρειῶν καὶ ἡδονῶν, εἰκότως οὐδεμία δίδοται συγγνώμη μετανοοῦσιν· ὁ δὲ ἄνθρωπος, οὐ μόνον ἐστὶ λογικόν, ἀλλὰ καὶ ζῷον. Αἱ δὲ χρεῖαι τοῦ ζῴου καὶ τὰ πάθη πολλάκις περιέλκουσι τὸν λογισμόν. Ὅταν οὖν ἀνανήψας ἀποφύγῃ μὲν ταῦτα, χωρήσῃ δὲ ἐπὶ τὰς ἀρετάς, ἐλέου δικαίου τυγχάνει, τῆς συγγνώμης. Καὶ ὥσπερ ἴδιόν ἐστι τῆς οὐσίας αὐτοῦ τὸ γελαστικόν, ἐπειδὴ καὶ μόνῳ τούτῳ πρόσεστι καὶ παντὶ καὶ ἀεί· οὕτως ἐν τοῖς κατὰ χάριν ἴδιον ἀνθρώπου παρὰ πᾶσαν τὴν λογικὴν κτίσιν, τὸ διὰ τῆς μετανοίας ἀποδύεσθαι τῶν προη-

μαρτημένων τὰς αἰτίας. Καὶ γὰρ μόνῳ ἀνθρώπῳ τοῦτο δεδώρηται καὶ παντὶ καὶ ἀεὶ παρὰ τὸν καιρὸν τῆς ἐγκοσμίου ζωῆς· μετὰ δὲ τὸν θάνατον οὐκέτι. Οὕτω δέ τινες καὶ τοὺς ἀγγέλους βούλονται μηκέτι μετὰ τὴν ἔκπτωσιν **[524]** τυγχάνειν τῆς ἐκ μετανοίας συγγνώμης· θάνατος γὰρ τούτων ἡ ἔκπτωσις· πρὸ δὲ τῆς ἐκπτώσεως, καθ' ὁμοιότητα τῆς ζωῆς τῆς τῶν ἀνθρώπων, καὶ αὐτοὺς ἀξιοῦσθαι συγγνώμης· ὅπερ μὴ ποιήσαντες, ἀσύγγνωστον καὶ διαιωνίζουσαν ἔχουσι τὸ λοιπὸν τῆς τιμωρίας τὴν προσήκουσαν δίκην.

Δῆλον οὖν ἐκ τούτων, ὡς οἱ τὴν μετάνοιαν οὐ δεχόμενοι, τὴν ἐξαίρετον δωρεὰν καὶ τὴν ἰδίαν ἀνθρώπου περιγράφουσιν. Ἴδιον δὲ αὐτοῦ καὶ ἐξαίρετον καὶ τὸ μόνον τῶν ἄλλων ζῴων τὸ τούτου σῶμα μετὰ θάνατον ἀνίστασθαι καὶ εἰς ἀθανασίαν χωρεῖν· τυγχάνει δὲ τούτου, διὰ τὴν τῆς ψυχῆς ἀθανασίαν, ὥσπερ ἐκείνου διὰ τὴν τοῦ σώματος ἀσθένειάν τε καὶ πολυπάθειαν. Ἴδια δὲ αὐτοῦ καὶ τὰ τῶν τεχνῶν τε καὶ ἐπιστημῶν μαθήματα, καὶ ἡ κατὰ τὰς τέχνας ταύτας ἐνέργεια. Δι' ὃ καὶ τὸν ἄνθρωπον ὁρίζονται, ζῷον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ζῷον μέν, ὅτι καὶ ὁ ἄνθρωπος οὐσία ἐστὶν ἔμψυχος, αἰσθητική· οὗτος γὰρ ὅρος ζῴου. Λογικὸν δέ, ἵνα χωρισθῇ τῶν ἀλόγων· καὶ θνητόν, ἵνα χωρισθῇ τῶν ἀθανάτων λογικῶν. Τὸ δέ, νοῦ καὶ ἐπιστήμης δεκτικόν, ὅτι διὰ μαθήσεως προσγίνονται ἡμῖν αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι, ἔχουσι μὲν δύναμιν δεκτικὴν καὶ τοῦ νοῦ καὶ τῶν τεχνῶν, τὴν δὲ ἐνέργειαν κτωμένοις ἐκ τῶν μαθημάτων. Λέγουσι δὲ τοῦτο τῷ ὅρῳ προστεθῆναι ὕστερον. Ἐῤῥῶσθαι μὲν γὰρ καὶ χωρὶς τούτου τὸν ὅρον· ἀλλ' ἐπειδὴ καὶ νύμφας καὶ ἄλλα τινὰ γένη, δαιμόνων τινὲς εἰσάγουσι, πολυχρόνια μέν, οὐ μὴν ἀθάνατα, ἵνα καὶ ἀπὸ τούτων διαστείλωσι τὸν ἄνθρωπον, προσέθηκαν τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. Οὐδὲν γὰρ ἐκείνων μανθάνει, ἀλλὰ φύσει οἶδεν, ἃ οἶδεν. **[525]** Ἑβραίων δὲ δόγμα, τὸ πᾶν τοῦτο διὰ τὸν ἄνθρωπον γεγενῆσθαι προσεχῶς μὲν δι' αὐτόν, οἷον νωτοφόρα καὶ βόας τοὺς πρὸς γεωργίαν, χόρτον δέ, διὰ ταῦτα. Τῶν γὰρ γενομένων τὰ μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ δι' ἄλλα. Δι' ἑαυτὰ μέν, τὰ λογικὰ πάντα, δι' ἕτερα δέ, τά τε ἄλογα καὶ τὰ ἄψυχα. Εἰ δὲ ταῦτα δι' ἄλλα γέγονε, διὰ ποῖα γέγονε, σκοπήσωμεν. Ἆρ' οὖν δι' ἀγγέλους; Ἀλλ' οὐκ ἂν τις εὖ φρονῶν εἴποι δι' ἀγγέλους αὐτὰ γεγενῆσθαι. Τὰ γὰρ δι' ἄλλα γενόμενα, πρὸς σύστασιν ἐκείνων καὶ διαμονὴν καὶ ἄνεσιν γέγονεν· ἢ γὰρ τῆς διαδοχῆς τοῦ γένους ἕνεκεν, ἢ τροφῆς, ἢ σκέπης, ἢ θεραπείας, ἢ διαγωγῆς καὶ ἀναπαύσεως. Ἄγγελος δὲ τούτων οὐδενὸς δεῖται. Οὔτε γὰρ διαδοχὴν ἔχει γένους, οὔτε τροφῆς ἐνδεής ἐστι σωματικῆς, οὔτε σκέπης, οὔτε τῶν ἄλλων· εἰ δὲ μὴ ἄγγελος δῆλον, ὡς οὐδὲ ἄλλη τις φύσις ὑπεραναβεβηκυῖα τὸν ἄγγελον. Ὅσῳ γὰρ ὑπέρκειται, τοσούτῳ μᾶλλον αὐτῇ καὶ τὸ ἀνενδεὲς πρόσεστι. Ζητητέον οὖν φύσιν, λογικὴν μέν, ἐνδεᾶ δὲ τῶν προειρημένων.

Τίς οὖν ἑτέρα τοιαύτη φανείη, παραλιπόντων ἡμῶν τὸν ἄνθρωπον;

Οὐκοῦν συνάγεται, διὰ τοῦτον τά τε ἄλογα καὶ τὰ ἄψυχα γεγενῆσθαι. Ἐπειδὴ τοίνυν δι' αὐτόν, ὡς ἐδείχθη, γέγονε, διὰ τοῦτο καὶ ἄρχων αὐτῶν κατέστη. Ἄρχοντος δὲ ἔργον, πρὸς μέτρον χρείας τοῖς ἀρχομένοις κεχρῆσθαι, καὶ μὴ πρὸς ἡδυπάθειαν ἀκολάστως ἐξυβρίζειν, μηδὲ φορτικῶς καὶ ἐπαχθῶς προσφέρεσθαι τοῖς ἀρχομένοις. Ἁμαρτάνουσι τοίνυν ὅσοι τοῖς ἀλόγοις οὐκ εὖ κέχρηνται. Οὐ γὰρ ποιοῦσιν ἄρχοντος ἔργον, **[528]** οὐδὲ δικαίου κατὰ τὸ γεγραμμένον· Δίκαιος οἰκτίρει ψυχὰς κτηνῶν αὐτοῦ. Ἀλλ' ἴσως ἐρεῖ τις, ὡς οὐδὲν δι' ἄλλο, ἀλλ' ἕκαστον δι' ἑαυτὸ γέγονεν. Οὐκοῦν, χωρίσαντες πρῶτον τὰ ἔμψυχα ἀπὸ τῶν ἀψύχων, ἴδωμεν, εἰ δύναται τὰ ἄψυχα δι' ἑαυτὰ γεγενῆσθαι. Εἰ γὰρ ταῦτα δι' ἑαυτά, πῶς ἢ πόθεν τραφήσεται τὰ ζῷα; Ὁρῶμεν γὰρ τὴν φύσιν ἐπιχορηγοῦσαν τοῖς ζῴοις τροφὰς ἐκ τῆς γῆς, καρπῶν τε καὶ φυτῶν, πλὴν ἐλαχίστων τῶν σαρκοφάγων. Καὶ αὐτὰ δὲ ταῦτα τὰ σαρκοφάγα τροφὴν ποιεῖται τῶν ζῴων τὰ τὴν γῆν νεμόμενα, ὡς λύκοι μὲν καὶ λέοντες, ἄρνας καὶ αἶγας καὶ σύας καὶ ἐλάφους· ἀετοὶ δὲ πέρδικας καὶ φάσσας καὶ λαγωοὺς καὶ τὰ ὅμοια, ἅτινα τοὺς καρποὺς τῆς γῆς νέμεται. Καὶ γὰρ τῶν ἰχθύων ἡ φύσις ἀλληλοφάγος οὖσα, οὐ μέχρι πάντων διήκει σαρκοφαγοῦσα, ἀλλὰ κατέληξεν ἐν τοῖς νεμομένοις φυκία καὶ ἄλλα τινὰ ἐν τῷ ὕδατι φυόμενα. Εἰ γὰρ ἦν πάντα τὰ γένη τῶν ἰχθύων σαρκοφάγα, καὶ μηδὲν ἦν ἐκφεῦγον τὴν τῆς σαρκὸς σίτησιν, οὐκ ἂν οὐδὲ ἐπ' ὀλίγον ἐπήρκεσεν, ἀλλὰ διεφθάρη, τὰ μὲν ὑπ' ἀλλήλων, τὰ δὲ διὰ τροφῆς ἔνδειαν. Ἵνα δὲ τοῦτο μὴ γένηται, τινὲς τῶν ἰχθύων κατεσκευάσθησαν σαρκῶν μὲν ἀπεχόμενοι, τὴν δέ, ὡς ἄν τις εἴποι, θαλασσίαν βοτάνην νεμόμενοι, ἵνα ἐκ τούτων καὶ τὰ ἄλλα διασῴζηται. Γίνεται γὰρ βορὰ μὲν τούτων τὰ φυκία, ἐκεῖνα δὲ τῶν ἄλλων, καὶ πάλιν ταῦτα τῶν ἄλλων, ὡς διὰ τὴν τῶν τελευταίων τροφήν, ἀδιαλείπτως ἐκ τοῦ γεώδους τοῦ κατὰ τὴν θάλασσαν παρεχομένην, καὶ τὴν τῶν ἄλλων ὑπόστασιν σῴζεσθαι. Ἀπέδειξεν οὖν ὁ λόγος τὴν τῶν φυτῶν γένεσιν μὴ δι' ἑαυτήν, ἀλλ' εἰς τροφὴν καὶ σύστασιν τῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων γεγενημένην. Εἰ δὲ ταῦτα διὰ τὸν ἄνθρωπον καὶ τὰ ζῷα, δῆλον, ὡς καὶ τὰ τῆς τούτων αὐξήσεως καὶ γενέσεως αἴτια διὰ ταῦτα γέγονεν. Οὐκοῦν ἀστέρων κινήσεις καὶ οὐρανὸς καὶ ὧραι καὶ ὄμβροι καὶ πάντα τὰ **[529]** τοιαῦτα διὰ ταῦτα γέγονεν, ἵνα τῶν τροφῶν, ὡς ἐν κύκλῳ διηνεκῶς χορηγουμένων, ἀνελλιπὴς καὶ ἡ τῶν προσφερομένων τοὺς καρποὺς διαμείνῃ φύσις, ὡς εὑρίσκεσθαι, ταῦτα μὲν διὰ τοὺς καρπούς, τοὺς δὲ καρποὺς διὰ τὰ ζῷα καὶ τὸν ἄνθρωπον. Λοιπόν ἐστιν ἐπιδιασκέψασθαι, πότερον καὶ ἡ τῶν ἀλόγων φύσις δι' ἑαυτὴν γέγονεν ἢ διὰ τὸν ἄνθρωπον. Ἀλλ' ἴσως ἄτοπον, τὰ φρονήσεως ἄμοιρα, καὶ καθ' ὁρμὴν φυσικὴν μόνην ζῶντα, καὶ πρὸς γῆν κάτω κεκυφότα, καὶ τὴν δουλείαν διὰ τοῦ σχήματος ἐνδεικνύμενα λέγειν δι' ἑαυτὰ παρῆχθαι. Πολλῶν δὲ ὄντων τῶν ἐνδεχομένων εἰς τοῦτο ῥηθῆναι, καὶ σχεδὸν ἰδίας συγγραφῆς διὰ τὸ πλῆθος δεομένων, μὴ χωρούσης τῆς προκει-

μένης ὑποθέσεως τὸ μῆκος τῶν λόγων, ἐπὶ τὰ σύντομα μέν, καίρια δὲ καταντῆσαι προσήκει.

Εἰ τοίνυν, ὡς ἐν εἰκόνι, τῷ ἀνθρώπῳ, καὶ τὰ τῶν ἔξωθεν ἐσοπτρισθείημεν, ἐξ αὐτῆς ἂν εἴημεν τῆς τῶν ζητουμένων οὐσίας τὰς ἀποδείξεις ποιούμενοι. Ὁρῶμεν οὖν ἐν τῇ καθ' ἡμᾶς ψυχῇ τὴν ἀλογίαν καὶ τὰ ταύτης μέρη, λέγω δὲ τὴν ὄρεξιν καὶ τὸν θυμόν, πρὸς ὑπηρεσίαν δεδομένα τῷ λογικῷ, καὶ τὸ μὲν ἄρχον, τὰ δὲ ἀρχόμενα, καὶ τὸ μὲν κελεῦον, τὰ δὲ κελευόμενα καὶ ὑπηρετούμενα ταῖς χρείαις, αἷς ἂν ὁ λόγος ὑποβάλῃ, ὅταν σῴζῃ τὸ κατὰ φύσιν ὁ ἄνθρωπος. Εἰ δὲ τῶν ἐν ἡμῖν ἀλόγων τὸ ἐν ἡμῖν ἄρχει λογικόν, πῶς οὐκ εἰκός, καὶ τῶν ἔξωθεν ἀλόγων αὐτὸ κρατεῖν, καὶ πρὸς τὰς χρείας αὐτῷ δεδόσθαι; Ὑπηρετεῖσθαι γὰρ φύσει τέτακται τὸ ἄλογον τῷ λογικῷ, ὡς ἐν τοῖς καθ' ἡμᾶς ἐδείχθη. Δηλοῖ δὲ τοῦτο καὶ ἡ τῶν πολλῶν ζῴων κατασκευή, πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων ἐπιτήδειος γενομένη, βόες μὲν καὶ πάντα τὰ νωτοφόρα πρὸς γεωργίαν καὶ ἀχθοφορίαν, τὰ πολλὰ δὲ τῶν πτηνῶν καὶ τῶν ἐνύδρων καὶ τῶν χερσαίων πρὸς ἀπόλαυσιν, τὰ δὲ μιμηλὰ πρὸς τέρψιν καὶ ἄνεσιν. Εἰ δὲ μὴ πάντα ταῖς τοιαύταις χρείαις ὑπηρετεῖται, ἀλλ' ἔνια καὶ λυμαίνεται τὸν ἄνθρωπον ἰστέον, ὡς, προηγουμένως τῶν δι' ὑπηρεσίαν γενομένων καὶ τὰ **[532]** ἄλλα πάντα τὰ ἐνδεχόμενα κατεσκεύασται, ἵνα μηδὲν ἐλλίπῃ τῇ κτίσει τῶν ἐνδεχομένων γενέσθαι. Οὐδὲ ταῦτα δὲ παντάπασιν ἐκπέφευγε τὴν τῶν ἀνθρώπων ὄνησιν, ἀλλὰ καὶ τὰ δηλητηριώδη πρὸς οἰκείαν ὠφέλειαν ὁ λόγος καρποῦται. Καταχρῆται γὰρ αὐτοῖς πρὸς θεραπείαν τῆς ἐξ αὐτῶν ἐκείνων βλάβης, καὶ τῆς τῶν ἄλλων ἀῤῥωστημάτων ἰάσεως. Τοιαῦταί τινές εἰσιν αἱ θηριακαὶ καλούμεναι κατασκευαί, ἃς ὁ λόγος ἐπενόησεν, ἵνα καὶ τούτων κρατῇ δι' αὐτῶν, καὶ ὥσπερ ὑπὸ πολεμίων κρατηθέντων ὠφελοῖτο. Ἔχει δὲ μυρίας ὁ ἄνθρωπος ἀντιπαθεῖς τούτων δυνάμεις, δεδομένας παρὰ τοῦ Δημιουργοῦ, εἴργειν καὶ ἀμύνεσθαι καὶ διορθοῦσθαι τὰς ἐπιβολὰς αὐτῶν δυναμένας. Ἄλλα μὲν γὰρ ἄλλαις ἁρμόζει χρείαις, κοινῇ δὲ πάντα πρὸς θεραπείαν ἀνθρώπου συντελεῖν πέφυκε, καὶ τὰ μὴ ταῖς ἄλλαις χρείαις χρήσιμα.

Καὶ ταῦτα μέν, ὡς πρὸς τὴν νῦν κατάστασιν τοῦ καθ' ἡμᾶς βίου λεγέσθω· ἐπεί, τό γε ἀρχαῖον, οὐδὲν τῶν ἄλλων ζῴων ἐτόλμα καταβλάπτειν τὸν ἄνθρωπον· ἀλλ' ἦν αὐτῷ πάντα δοῦλα καὶ ὑποτεταγμένα καὶ πειθήνια, ἕως ἐκράτει τῶν οἰκείων παθῶν καὶ τῆς ἀλογίας τῆς ἐν αὐτῷ· μὴ κρατῶν δὲ τῶν οἰκείων παθῶν ἀλλὰ κρατούμενος ὑπ' αὐτῶν, ἐκρατήθη καὶ παρὰ τῶν ἔξωθεν εὐλόγως θηρίων. Συνεισῆλθε γὰρ τῇ ἁμαρτίᾳ καὶ ἡ παρὰ τούτων βλάβη. Ὅτι δὲ τοῦτό ἐστιν ἀληθές, δῆλον ἐκ τῶν τὸν ἄριστον μετελθόντων βίον. Κρείττους γὰρ [ἀδηρίτως] ὤφθησαν οὗτοι τῆς τῶν θηρίων ἐπιβουλῆς, ὡς λεόντων μὲν ὁ Δανιήλ, Παῦλος δὲ τοῦ δήγματος τῆς ἐχίδνης. Τίς οὖν ἀξίως θαυμάσειε τὴν εὐγένειαν τούτου τοῦ ζῴου, τοῦ συνδέοντος ἐν ἑαυτῷ τὰ θνητὰ τοῖς ἀθανάτοις, καὶ τὰ λογικὰ τοῖς ἀλόγοις συνάπτοντος, τοῦ

φέροντος ἐν τῇ καθ' **[533]** ἑαυτὸν φύσει τῆς πάσης κτίσεως τὴν εἰκόνα, δι' ἃ καὶ μικρὸς κόσμος εἴρηται ,τοῦ τοσαύτης ἠξιωμένου παρὰ τοῦ Θεοῦ προνοίας, δι' ὃν πάντα καὶ τὰ νῦν καὶ τὰ μέλλοντα, δι' ὃν καὶ Θεὸς ἄνθρωπος γέγονε, τοῦ λήγοντος εἰς ἀφθαρσίαν καὶ τὸ θνητὸν διαφεύγοντος, [ὃ] οὐρανῶν βασιλεύει, κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ γεγονώς, Χριστῷ συνδιάγει, Θεοῦ τέκνον ἐστί, πάσης ἀρχῆς καὶ ἐξουσίας προκάθηται; Τίς δ' ἂν ἐξειπεῖν δύναιτο τὰ τούτου τοῦ ζῴου πλεονεκτήματα; Πελάγη διαβαίνει, οὐρανὸν ἐμβατεύει τῇ θεωρίᾳ, ἀστέρων κίνησιν καὶ διαστήματα καὶ μέτρα κατανοεῖ, γῆν καρποῦται καὶ θάλασσαν, θηρίων καὶ κητῶν καταφρονεῖ, πᾶσαν ἐπιστήμην καὶ τέχνην καὶ μέθοδον κατορθοῖ, ὑπερόριον διὰ τῶν γραμμάτων, οἷς βούλεται, προσομιλεῖ, μηδὲν ὑπὸ τοῦ σώματος ἐμποδιζόμενος, προφητεύει τὰ μέλλοντα. Πάντων ἄρχει, πάντων κρατεῖ, πάντων ἀπολαύει, ἀγγέλοις καὶ Θεῷ διαλέγεται, τῇ κτίσει κελεύει, δαίμοσιν ἐπιτάττει, τὴν τῶν ὄντων φύσιν ἐρευνᾷ, Θεὸν περιεργάζεται οἶκος καὶ ναὸς γίνεται Θεοῦ· καὶ ταῦτα πάντα τῶν ἀρετῶν ὠνεῖται καὶ τῆς εὐσεβείας.

Ἀλλ' ἵνα μὴ δόξωμέν τισιν ἀπειροκάλως ἀνθρώπου γράφειν ἐγκώμιον, καὶ μὴ μόνον τὴν φύσιν ἐκτίθεσθαι, καθὰ προεθέμεθα αὐτοῦ που καταπαύσωμεν τὸν λόγον, εἰ καὶ μάλιστα τὰ τῆς φύσεως πλεονεκτήματα λέγοντες, τὴν φύσιν αὐτὴν διηγούμεθα. Εἰδότες οὖν, ὅσης εὐγενείας μετειλήφαμεν, καὶ ὅτι φυτόν ἐσμεν οὐράνιον, μὴ καταισχύνωμεν **[536]** τὴν φύσιν, μηδὲ τῶν τοσούτων δωρεῶν ἀποφανθῶμεν ἀνάξιοι, μηδὲ ἑαυτοὺς τοσαύτης ἐξουσίας καὶ δόξης καὶ μακαριότητος ἀποστερήσωμεν, ὀλίγου καιροῦ καὶ βραχείας ἡδονῆς πάντων τῶν αἰωνίων καταπροδόντες τὴν ἀπόλαυσιν· ἀλλὰ διὰ τῶν καλῶν ἔργων καὶ τῆς ἀποχῆς τῶν φαύλων καὶ τοῦ ὀρθοῦ σκοποῦ, ᾧ μάλιστα τὸ Θεῖον συνεργεῖν εἴωθεν, καὶ διὰ τῶν εὐχῶν τὴν εὐγένειαν διασώσωμεν. Περὶ μὲν οὖν τούτων, ἱκανὰ καὶ ταῦτα. Ἐπειδὴ δέ, τὸν ἄνθρωπον ἐκ ψυχῆς εἶναι καὶ σώματος, ὁ κοινὸς ὑποβάλλει λόγος, φέρε διελόντες πρότερον περὶ ψυχῆς διαλάβωμεν, τὰ λίαν λεπτὰ καὶ περισκελῆ καὶ τοῖς πολλοῖς δυσκατανόητα τῶν ζητουμένων παραλιπόντες.

Κεφ. Β'.

Περὶ ψυχῆς.

Διαφωνεῖται σχεδὸν ἅπασι τοῖς παλαιοῖς ὁ περὶ τῆς ψυχῆς λόγος. Δημόκριτος μὲν γὰρ καὶ Ἐπίκουρος καὶ πᾶν τὸ τῶν στωϊκῶν φιλοσόφων σύστημα, σῶμα τὴν ψυχὴν ἀποφαίνονται. Καὶ αὐτοὶ δὲ οὗτοι, οἱ σῶμα τὴν ψυχὴν ἀποφαινόμενοι, διαφέρονται περὶ τῆς οὐσίας αὐτῆς. Οἱ μὲν γὰρ Στωϊκοὶ πνεῦμα λέγουσιν αὐτὴν ἔνθερμον καὶ διάπυρον· Κριτίας δέ, αἷμα· Ἵππων δὲ ὁ φιλόσοφος, ὕδωρ· Δημόκριτος δέ, πῦρ· τὰ γὰρ σφαιροειδῆ σχήματα τῶν ἀτόμων συγκρινόμενα, πῦρ τε καὶ ἀέρα, ψυχὴν ἀποτελεῖν· Ἡράκλειτος δέ, τὴν μὲν τοῦ παντὸς

ψυχήν, ἀναθυμίασιν ἐκ τῶν ὑγρῶν, τὴν δὲ ἐν τοῖς ζῴοις, ἀπό τε τῆς ἐκτὸς καὶ τῆς ἐν αὐτοῖς ἀναθυμιάσεως, ὁμογενῆ πεφυκέναι. Πάλιν δὲ καὶ τῶν λεγόντων ἀσώματον εἶναι τὴν ψυχήν, ἄπειρος γέγονεν ἡ διαφωνία, τῶν μέν, οὐσίαν αὐτὴν καὶ **[537]** ἀθάνατον λεγόντων, τῶν δὲ ἀσώματον μέν, οὐ μὴν οὐσίαν, οὐδὲ ἀθάνατον. Θαλῆς μὲν γὰρ πρῶτος τὴν ψυχὴν ἔφησεν ἀεικίνητον καὶ αὐτοκίνητον· Πυθαγόρας δέ, ἀριθμὸν ἑαυτὸν κινοῦντα· Πλάτων δέ, οὐσίαν νοητὴν ἐξ ἑαυτῆς κινητὴν κατὰ ἀριθμὸν ἐναρμόνιον· Ἀριστοτέλης δέ, ἐντελέχειαν πρώτην σώματος φυσικοῦ, ὀργανικοῦ, δυνάμει ζωὴν ἔχοντος· Δικαίαρχος δέ, ἁρμονίαν τῶν τεσσάρων στοιχείων, ἀντὶ τοῦ κρᾶσιν καὶ συμφωνίαν τῶν στοιχείων. Οὐ γὰρ τὴν ἐκ τῶν φθόγγων συνισταμένην, ἀλλὰ τὴν ἐν τῷ σώματι θερμῶν καὶ ψυχρῶν καὶ ὑγρῶν καὶ ξηρῶν ἐναρμόνιον κρᾶσιν καὶ συμφωνίαν βούλεται λέγειν. Δῆλον δέ, ὅτι καὶ τούτων οἱ μὲν ἄλλοι τὴν ψυχὴν οὐσίαν εἶναι λέγουσιν, Ἀριστοτέλης δὲ καὶ Δικαίαρχος ἀνούσιον. Ἔτι δὲ πρὸς τούτοις, οἱ μέν, μίαν εἶναι καὶ τὴν αὐτὴν τῶν πάντων ψυχὴν νενομίκασι, κατακερματιζομένην εἰς τὰ καθ' ἕκαστα, καὶ πάλιν εἰς ἑαυτὴν συνιοῦσαν, ὡς οἱ Μανιχαῖοι, καὶ ἄλλοι τινές· οἱ δέ, πολλὰς καὶ διαφόρους κατ' εἶδος· οἱ δέ, καὶ μίαν καὶ πολλάς.

Πᾶσα τοίνυν ἀνάγκη μηκῦναι τὸν λόγον, τοσαύταις δόξαις ἀντιλέγοντα. Κοινῇ μὲν οὖν πρὸς πάντας τοὺς λέγοντας σῶμα τὴν ψυχήν, ἀρκέσει τὰ παρὰ Ἀμμωνίου τοῦ διδασκάλου Πλωτίνου καὶ Νουμηνίου τοῦ Πυθαγορικοῦ εἰρημένα. Εἰσὶ δὲ ταῦτα· Τὰ σώματα τῇ οἰκείᾳ φύσει τρεπτὰ ὄντα **[540]** καὶ σκεδαστὰ καὶ διόλου εἰς ἄπειρον τμητά, μηδενὸς ἐν αὐτοῖς ἀμεταβλήτου ὑπολειπομένου, δεῖται τοῦ συντιθέντος καὶ συνάγοντος καὶ ὥσπερ συσφίγγοντος καὶ συγκρατοῦντος αὐτά, ὅπερ ψυχὴν λέγομεν. Εἰ τοίνυν σῶμά ἐστιν ἡ ψυχὴ οἱονδήποτε, εἰ καὶ λεπτομερέστατον, τὶ πάλιν ἐστὶ τὸ συνέχον ἐκείνην; Ἐδείχθη γάρ, πᾶν σῶμα δεῖσθαι τοῦ συνέχοντος, καὶ οὕτως εἰς ἄπειρον, ἕως ἂν καταντήσωμεν εἰς ἀσώματον. Εἰ δὲ λέγοιεν, καθάπερ οἱ Στωϊκοί, τονικήν τινα εἶναι κίνησιν περὶ τὰ σώματα, εἰς τὸ ἔσω ἅμα καὶ εἰς τὸ ἔξω κινουμένην, καὶ τὴν μὲν εἰς τὸ ἔξω, μεγεθῶν καὶ ποιοτήτων ἀποτελεστικὴν εἶναι, τὴν δὲ εἰς τὸ ἔσω, ἑνώσεως καὶ οὐσίας· ἐρωτητέον αὐτούς, ἐπειδὴ πᾶσα κίνησις ἀπό τινός ἐστι δυνάμεως, τίς ἡ δύναμις αὕτη καὶ ἐν τίνι οὐσίωται; Εἰ μὲν οὖν καὶ ἡ δύναμις [αὕτη] ὕλη τίς ἐστι, τοῖς αὐτοῖς πάλιν χρησόμεθα λόγοις· εἰ δὲ οὐχ ὕλη, ἀλλ' ἔνυλον (ἕτερον δέ ἐστι τὸ ἔνυλον παρὰ τὴν ὕλην· τὸ γὰρ μετέχον ὕλης, ἔνυλον λέγεται)· τί ποτε ἄρα ἐστὶ τὸ μετέχον τῆς ὕλης, πότερον ὕλη καὶ αὐτὸ ἢ ἄυλον; Εἰ μὲν οὖν ὕλη, πῶς ἔνυλον καὶ οὐχ ὕλη; Εἰ δὲ οὐχ ὕλη, ἄϋλον ἄρα· εἰ δὲ ἄϋλον, οὐ σῶμα. Πᾶν γὰρ σῶμα ἔνυλον. Εἰ δὲ λέγοιεν, ὅτι τὰ σώματα τριχῇ διαστατά ἐστι, καὶ ἡ ψυχὴ δέ, δι' ὅλου διήκουσα τοῦ σώματος, τριχῇ διαστατή ἐστι, καὶ διὰ τοῦτο πάντως καὶ σῶμα· ἐροῦμεν, ὅτι πᾶν μὲν σῶμα τριχῇ διαστατὸν, οὐ πᾶν δὲ

τὸ τριχῇ διαστατόν, σῶμα. Καὶ γὰρ τὸ ποσὸν καὶ τὸ ποιόν, ἀσώματα ὄντα καθ' ἑαυτά, κατὰ συμβεβηκὸς ἐν ὄγκῳ ποσοῦται. Οὕτως οὖν καὶ τῇ ψυχῇ, καθ' ἑαυτὴν μὲν πρόσεστι τὸ ἀδιάστατον, κατὰ συμβεβηκὸς δὲ τῷ ἐν ᾧ ἐστι, τριχῇ διατατῷ ὄντι συνθεωρεῖται καὶ [541] αὐτὴ τριχῇ διαστατή. Ἔτι, πᾶν σῶμα ἤτοι ἔξωθεν κινεῖται ἢ ἔνδοθεν· ἀλλ' εἰ μὲν ἔξωθεν, ἄψυχον ἔσται· εἰ δὲ ἔνδοθεν, ἔμψυχον. Εἰ δὲ σῶμα ἡ ψυχή, εἰ μὲν ἔξωθεν κινοῖτο, ἄψυχός ἐστιν· εἰ δὲ ἔνδοθεν, ἔμψυχος· ἄτοπον δέ, καὶ τὸ ἄψυχον, καὶ τὸ ἔμψυχον, λέγειν τὴν ψυχήν· οὐκ ἄρα σῶμα ἡ ψυχή. Ἔτι ἡ ψυχή, εἰ μὲν τρέφεται, ὑπὸ ἀσωμάτου τρέφεται· τὰ γὰρ μαθήματα τρέφει αὐτήν· οὐδὲν δὲ σῶμα ὑπὸ ἀσωμάτου τρέφεται· οὐκ ἄρα σῶμα ἡ ψυχή. Ξενοκράτης οὕτω συνῆγεν· Εἰ δὲ μὴ τρέφεται, πᾶν δὲ σῶμα ζῴου τρέφεται, οὐ σῶμα ἡ ψυχή.

Καὶ τ ῦτα μὲν κοινῇ πρὸς πάντας τοὺς λέγοντας σῶμα εἶναι τὴν ψυχήν. Ἰδίᾳ δὲ πρὸς τοὺς δοξάζοντας, αἷμα ἢ πνεῦμα εἶναι τὴν ψυχήν, ἐπειδὴ τοῦ αἵματος ἢ πνεύματος χωριζομένου νεκροῦται τὸ ζῷον, οὐκ ἐκεῖνο ῥητέον, ὅπερ τινὲς τῶν οἰομένων εἶναί τι γεγραφήκασι, λέγοντες· Οὐκοῦν, ὅταν μέρος ἀποῤῥυῇ τοῦ αἵματος, μέρος ἀπεῤῥύη τῆς ψυχῆς· κουφολογία γὰρ τὸ τοιοῦτον· ἐπὶ γὰρ τῶν ὁμοιομερῶν καὶ τὸ ὑπολειπόμενον μέρος ταὐτόν ἐστι τῷ παντί· ὕδωρ γοῦν, καὶ τὸ πολὺ καὶ τὸ βραχύ, ταὐτόν· ὁμοίως καὶ ἄργυρος καὶ χρυσὸς καὶ πάντα, ὧν τὰ μέρη οὐ διαλλάττει ἀλλήλων κατὰ τὴν οὐσίαν· οὕτως οὖν καὶ τὸ ὑπολειπόμενον αἷμα, ὅσον ἂν ᾖ, ψυχή ἐστιν, εἴπερ ψυχὴ τὸ αἷμα. Ἐκεῖνο οὖν μᾶλλον ῥητέον, ὅτι εἰ τοῦτό ἐστι ψυχή, οὗ ἐξαιρουμένου θνήσκει τὸ ζῷον, πάντως καὶ τὸ φλέγμα ψυχή ἐστι καὶ αἱ χολαὶ ἀμφότεραι. Ὁποῖον γὰρ ἂν τούτων ἐκλείπῃ, τέλος ἐπάγει τῇ ζωῇ. Ἔτι δὲ καὶ τὸ ἧπαρ καὶ ὁ ἐγκέ[544]φαλος καὶ ἡ καρδία καὶ ὁ στόμαχος καὶ οἱ νεφροὶ καὶ τὰ ἔντερα καὶ ἄλλα πολλά. Τίνος γὰρ ἂν τούτων ἐξαιρεθέντος οὐ τεθνήξεται τὸ ζῷον; Ἄλλως τε, πολλά ἐστιν ἄναιμα μέν, ἔμψυχα δέ, ὡς τὰ σελάχη καὶ μαλάκια, οἷον σηπίαι καὶ τευθίδες καὶ ὀσμύλοι καὶ πάντα τὰ ὀστρακόδερμα καὶ ἁπαλόστρακα, ὡς οἱ κάραβοι καὶ καρκίνοι καὶ ἀστακοί. Εἰ τοίνυν ἐστὶν ἔμψυχα μέν, ἄναιμα δέ, δῆλον, ὡς οὐκ ἔστιν αἷμα ἡ ψυχή. Πρὸς δὲ τοὺς λέγοντας, ὕδωρ εἶναι τὴν ψυχήν, ὅτι τὸ ὕδωρ ζωογονοῦν φαίνεται πάντα, καὶ χωρὶς ὕδατος βιοτεύειν ἀδύνατον, πολλὰ τὰ ἀντιπίπτοντα. Οὐδὲ γὰρ τροφῆς χωρὶς οἷόν τε ζῆν· ψυχὴν ἄρα καὶ τὰς τροφὰς πάσας καθ' ἑκάστην ῥητέον κατ' αὐτούς. Ἔπειτα πολλὰ τῶν ζῴων ἐστὶ μὴ πίνοντα, ὡς ἐπί τινων ἀετῶν ἱστόρηται. Καὶ πέρδιξ δὲ δύναται ζῆν χωρὶς τοῦ πίνειν. Διατὶ δὲ μᾶλλον τὸ ὕδωρ ψυχή, καὶ μὴ ὁ ἀήρ; Ὕδατος μὲν γὰρ καὶ ἐπιπολὺ δυνατὸν ἀποσχέσθαι· τοῦ δὲ ἀναπνεῖν τὸν ἀέρα, οὐδὲ τὸ βραχύτατον· ἀλλ' οὐδὲ ὁ ἀὴρ ψυχή. Πολλὰ γάρ ἐστι, ζῶντα μέν, μὴ ἀναπνέοντα δὲ τὸν ἀέρα, ὡς τὰ ἔντομα πάντα, οἷον μέλιτται καὶ σφῆκες καὶ μύρμηκες, καὶ τὰ ἄναιμα καὶ τῶν θαλασσίων [545] τὰ

πολλά, καὶ πάντα, ὅσα οὐκ ἔχει πνεύμονα. Οὐδὲν γάρ, μὴ ἔχον πνεύμονα, ἀναπνεῖ τὸν ἀέρα· καὶ ἀντιστρέφει· οὐδέν, μὴ ἀναπνέον τὸν ἀέρα, πνεύμονα ἔχει.

Ἐπειδὴ δὲ καὶ Κλεάνθους τοῦ Στωϊκοῦ καὶ Χρυσίππου φέρονται λόγοι τινές, οὐκ εὐκαταφρόνητοι, ἐκθετέον καὶ τούτων τὰς λύσεις, ὡς ἐπέλυσαν οἱ ἀπὸ Πλάτωνος. Ὁ Κλεάνθης τοιόνδε πλέκει συλλογισμόν· Οὐ μόνον, φησίν, ὅμοιοι τοῖς γονεῦσι γινόμεθα κατὰ τὸ σῶμα, ἀλλὰ καὶ κατὰ τὴν ψυχήν, τοῖς πάθεσι, τοῖς ἤθεσι, ταῖς διαθέσεσι· σώματος δέ, τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, οὐχὶ δὲ ἀσωμάτου· σῶμα ἄρα ἡ ψυχή. Ἀλλὰ πρῶτον μὲν ἐκ τῶν ἐπὶ μέρους τὰ καθόλου οὐ συγκατασκευάζεται. Πρὸς τούτῳ δὲ καὶ τό, οὐχὶ δὲ ἀσωμάτου, ψεῦδός ἐστι. Λέγομεν γὰρ ἀριθμοὺς ὁμοίους εἶναι, ὧν αἱ πλευραὶ ἀνάλογοί εἰσιν, ὡς τὸν ἕξ καὶ τὸν εἰκοσιτέσσαρα. Πλευρὰ γὰρ τοῦ ἕξ ὁ δύο καὶ ὁ τρία· τοῦ δὲ εἰκοσιτέσσαρα ὁ τέσσαρα καὶ ὁ ἕξ. Ἀναλογίαν δὲ ἔχει τὰ μὲν δύο πρὸς τὰ τέσσαρα, τὰ δὲ τρία πρὸς τὰ ἕξ. Ἐν διπλασίονι γὰρ λόγῳ θεωρεῖται. Τὰ γὰρ τέσσαρα τῶν δύο διπλασίονα καὶ τὰ ἕξ τῶν τρία· ἀσώματοι δὲ οἱ ἀριθμοί. Καὶ σχήματα δὲ σχήμασιν ὅμοιά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει, καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον· τὸ δὲ σχῆμα καὶ αὐτοὶ ἀσώματον ὁμολογοῦσιν εἶναι. Ἔτι, ὡς τοῦ ποσοῦ ἴδιόν ἐστι τὸ ἴσον καὶ ἄνισον, οὕτω καὶ τοῦ ποιοῦ τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον· ἀσώματον δὲ ἡ ποιότης. Ἔστιν ἄρα καὶ ἀσώματον ἀσωμάτῳ **[548]** ὅμοιον. Ἔτι φησίν· Οὐδὲν ἀσώματον συμπάσχει σώματι, οὐδὲ ἀσωμάτῳ σῶμα, ἀλλὰ σῶμα σώματι· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι νοσοῦντι καὶ τεμνομένῳ, καὶ τὸ σῶμα τῇ ψυχῇ· αἰσχυνομένης γοῦν, ἐρυθρὸν γίνεται, καὶ φοβουμένης, ὠχρόν· σῶμα ἄρα ἡ ψυχή. Ἔστι δὲ τὸ ἕτερον τῶν λημμάτων ψεῦδος, κατὰ πρόσληψιν κείμενον, τὸ λέγον· Οὐδὲν ἀσώματον σώματι συμπάσχει. Τί γάρ, εἰ μόνη τῇ ψυχῇ τοῦτο πρόσεστιν; Ὥσπερ τις εἰ λέγοι· Οὐδὲν ζῷον τὴν ἄνω γένυν κινεῖ· ὁ δὲ κροκόδειλος τὴν ἄνω γένυν κινεῖ· οὐ ζῷον ἄρα ὁ κροκόδειλος. Ψευδὴς γάρ ἐστιν ἡ πρότασις καὶ ἐνταῦθα, κατὰ πρόσληψιν, ἡ λέγουσα· Οὐδὲν ζῷον τὴν ἄνω γένυν κινεῖ. Ἰδοὺ γὰρ ὁ κροκόδειλος καὶ ζῷόν ἐστι καὶ τὴν ἄνω γένυν κινεῖ.

Τὸν αὐτὸν δὲ τρόπον καὶ ὅταν λέγῃ, μηδὲν ἀσώματον σώματι συμπάσχειν. Προσλαμβάνει γὰρ τὸ ζητούμενον τῇ ἀποφάσει. Εἰ δέ τις ὑπόθειτο ἀληθὲς εἶναι τό, μηδὲν ἀσώματον σώματι συμπάσχειν, ἀλλὰ τὸ ἐπαγόμενον οὐκ ἔστιν ὁμολο**[549]**γούμενον, ὅτι συμπάσχει ἡ ψυχὴ νοσοῦντι καὶ τεμνομένῳ τῷ σώματι. Ἀμφιβάλλεται γάρ, εἴτε τὸ σῶμα μόνον ἐστὶ τὸ ἀλγοῦν, λαβὸν παρὰ τῆς ψυχῆς τὴν αἴσθησιν, αὐτὴ δὲ μένει ἀπαθής, εἴτε καὶ συναλγεῖ τῷ σώματι· καὶ κρατεῖ μᾶλλον παρὰ τοῖς ἐνδοξοτέροις τὸ πρότερον· οὐ δεῖ δὲ ἐκ τῶν ἀμφιβαλλομένων συνάγειν τοὺς συλλογισμούς, ἀλλ' ἐκ τῶν ὁμολογουμένων. Ἐκ περιουσίας δὲ δείκνυται, καί τινα ἀσώματα συμπάσχοντα τοῖς σώμασι. Αἱ ποιότητες γοῦν, ἀσώματοι οὖσαι, πασχόντων τῶν σωμάτων καὶ αὗται

συμπάσχουσιν, ἔν τε τῇ φθορᾷ καὶ τῇ γενέσει συναλλοιούμεναι τῷ σώματι. Χρύσιππος δέ φησιν, [ὅτι] ὁ θάνατός ἐστι χωρισμὸς ψυχῆς ἀπὸ σώματος· οὐδὲν δὲ ἀσώματον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον· ἡ δὲ ψυχὴ καὶ ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος· σῶμα ἄρα ἡ ψυχή. Τούτων τὸ μέν, τὸν θάνατον χωρισμὸν εἶναι ψυχῆς ἀπὸ σώματος, ἀληθές ἐστι· τὸ δέ, μὴ ἐφάπτεσθαι ἀσώματον σώματος, ψεῦδος μὲν ἔστι καθόλου λεγόμενον, ἐπὶ δὲ τῆς ψυχῆς ἀληθές. Ψεῦδος μέν, ἐπειδὴ καὶ ἡ γραμμή, ἀσώματος οὖσα, ἐφάπτεται σώματος καὶ χωρίζεται· ὁμοίως καὶ ἡ λευκότης. Ἐπὶ δὲ τῆς ψυχῆς ἀληθές· οὐ γὰρ ἐφάπτεται τοῦ σώματος ἡ ψυχή. Εἰ γὰρ ἐφάπτεται, δηλονότι παράκειται αὐτῷ· εἰ δὲ τοῦτο, οὐχ ὅλῳ παράκειται· ἀδύνατον γὰρ σῶμα σώματι ὅλον ὅλῳ παρακεῖσθαι· καὶ οὕτως οὐκ ἔσται ὅλον ἔμψυχον τὸ ζῷον· ὥστε, εἰ μὲν ἐφάπτεται, σῶμα μὲν ἔσται ἡ ψυχή, ὅλον δὲ οὐκ ἔσται ἔμψυχον τὸ ζῷον· εἰ δὲ ὅλον ἐστὶν ἔμψυχον, οὔτε ἐφάπτεται, οὔτε σῶμά ἐστιν ἡ ψυχή· τὸ δὲ ζῷον ὅλον ἔμψυχόν ἐστιν· οὔτε ἄρα ἐφάπτεται, οὔτε σῶμά ἐστι, καὶ χωρίζε**[552]**ται, ἀσώματος οὖσα. Ὅτι μὲν [οὖν] οὐκ ἔστιν ἡ ψυχὴ σῶμα, δῆλον ἐκ τῶν εἰρημένων· ὅτι δὲ οὐδὲ ἀνούσιος, ἑξῆς ῥητέον. Ἐπειδὴ δὲ καὶ Δικαίαρχος ἁρμονίαν ὡρίσατο τὴν ψυχήν, καὶ Σιμμίας ἀντιλέγων τῷ Σωκράτει, τὴν ψυχὴν ἁρμονίαν ἔφασκεν εἶναι, λέγων, ἐοικέναι τὴν μὲν ψυχὴν ἁρμονίᾳ, τὸ δὲ σῶμα λύρᾳ· ἐκθετέον τὰς λύσεις τούτου, τὰς ἐν τῷ Φαίδωνι Πλάτωνος κειμένας. Μία μὲν οὖν ἐστιν ἡ ἐκ τῶν προαποδεδειγμένων αὐτῷ. Προαποδέδεικται γάρ, ὅτι αἱ μαθήσεις ἀναμνήσεις εἰσί.

Τοῦτο οὖν λαβών, ὡς ὁμολογούμενον, κατασκευάζει τὸν λόγον οὕτως· Εἰ αἱ μαθήσεις ἀναμνήσεις εἰσίν, ἦν ἡμῶν ἡ ψυχὴ πρὶν ἐν τῷ ἀνθρωπείῳ εἴδει γενέσθαι· εἰ δὲ ἁρμονία ἐστί, πρότερον μὲν οὐκ ἦν, ὕστερον δὲ ἐγένετο, ἁρμοσθέντος τοῦ σώματος. Πᾶσα γὰρ σύνθεσις οὐκ ἄλλως ἔχει, ἢ ὡς ἔχει τὰ ἐξ ὧν σύγκειται. Κοινωνία γάρ τίς ἐστι τῶν συντιθεμένων ἡ σύνθεσις, ἁρμονία οὖσα· καὶ οὐ κωλύει τὸ μὴ ἡγεῖσθαι αὐτὴν ἐκείνην, ἀφ' ὧν συνετέθη, ἀλλ' ἕπεσθαι αὐτοῖς· μάχεται τοίνυν τὸ ἁρμονίαν εἶναι τὴν ψυχὴν τῷ τὰς μαθήσεις ἀναμνήσεις εἶναι· τὸ δὲ τῶν ἀναμνήσεων ἀληθές ἐστι· ψεῦδος ἄρα τὸ τὴν ψυχὴν ἁρμονίαν εἶναι. Ἔτι, ἡ μὲν ψυχὴ καὶ ἐναντιοῦται τῷ σώματι καὶ τὸν ἀρ**[553]**χικὸν ἐπέχει λόγον ἅτε αὐτοῦ ἄρχουσα, ἡ δὲ ἁρμονία οὔτε ἡγεῖται, οὔτε ἐναντιοῦται· οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία. Ἔτι, ἁρμονία ἁρμονίας μᾶλλον καὶ ἧττόν ἐστιν ἁρμονία, τῷ χαλᾶσθαι καὶ ἐπιτείνεσθαι, οὐ τῷ λόγῳ δὲ τῆς ἁρμονίας· ἀδύνατον γάρ ἐστι, λόγον τὸ μᾶλλον καὶ ἧττον ἔχειν, ἀλλ' ἐν τῇ ἁρμογῇ· ἐὰν γὰρ κεκραμένος ὀξὺς φθόγγος καὶ βαρὺς ἔπειτα ἀνεθῶσι, τὸν λόγον μὲν τὸν αὐτὸν σῴζουσιν ἐν ταῖς μεγέθεσι τῶν φθόγγων, παραλλαγὴν δὲ λαμβάνει ἡ ἁρμονία κατὰ τὴν ἁρμογήν, μᾶλλον καὶ ἧττον ἐπιτεινομένη· ψυχὴ δὲ ψυχῆς οὐκ ἔστι μᾶλλον καὶ ἧττον· οὐκ ἄρα ἁρμονία ἐστὶν ἡ ψυχή. Ἔτι, ἡ ψυχὴ ἀρετὴν

καὶ κακίαν ἐπιδέχεται· ἡ δὲ ἁρμονία ἁρμονίαν καὶ ἀναρμοστίαν οὐκ ἐπιδέχεται· οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία ἐστίν. Ἔτι, ἡ ψυχή, τῷ ἐπιδέχεσθαι τὰ ἐναντία παρὰ μέρος, οὐσία ἐστὶ καὶ ὑποκείμενον· ἡ δὲ ἁρμονία ποιότης καὶ ἐν ὑποκειμένῳ· ἡ δὲ οὐσία ποιότητος ἕτερον· καὶ ἡ ψυχὴ ἄρα ἁρμονίας ἕτερον. Ἁρμονίας μέντοι μετέχειν τὴν ψυχήν, οὐδὲν ἄτοπον, ἀλλ᾽ οὐ παρὰ τοῦτο ἁρμονία ἐστίν· οὐδὲ γάρ, διότι ἀρετῆς μετέχει, ἀρετή ἐστιν ἡ ψυχή. Γαληνὸς δὲ ἀποφαίνεται μὲν οὐδέν, ἀλλὰ καὶ διαμαρτύρεται ἐν τοῖς «Ἀποδεικτικοῖς» λόγοις, ὡς οὐδὲν εἴη περὶ ψυχῆς ἀποφηνάμενος, ἔοικε δέ, ἐξ ὧν λέγει, δοκιμάζειν μᾶλλον, τὸ κρᾶσιν εἶναι τὴν **[556]** ψυχήν· ταύτῃ γὰρ ἐπακολουθεῖν τὴν τῶν ἠθῶν διαφοράν, ἐκ τοῦ Ἱπποκράτους κατασκευάζων τὸν λόγον. Εἰ δὲ τοῦτο, δῆλον, ὅτι καὶ θνητὴν αὐτὴν εἶναι οἴεται· οὐ πᾶσαν δέ, ἀλλὰ τὴν ἄλογον μόνην ψυχὴν τοῦ ἀνθρώπου. Περὶ δὲ τῆς λογικῆς ἀμφιβάλλει, λέγων οὕτως.

Ὅτι δὲ οὐ δύναται τοῦ σώματος ἡ κρᾶσις εἶναι ψυχή, δῆλον ἐντεῦθεν· Πᾶν σῶμα ἔμψυχόν τε καὶ ἄψυχον ἐκ τῶν τεσσάρων στοιχείων κέκραται. Ἡ γὰρ τούτων κρᾶσις τὰ σώματα ἀπεργάζεται. Εἰ τοίνυν ἡ τοῦ σώματος κρᾶσίς ἐστιν ἡ ψυχή, οὐδὲν ἄψυχον ἔσται. Καὶ συνάγεται ὁ λόγος οὕτως· Εἰ ἡ κρᾶσις τοῦ σώματος ψυχή ἐστι, πᾶν δὲ σῶμα κρᾶσιν ἔχει, πᾶν σῶμα ψυχὴν ἔχει· εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει, οὐδὲν σῶμά ἐστιν ἄψυχον· οὔτε λίθος ἄρα, οὔτε ξύλον, οὔτε σίδηρος, οὔτε ἄλλο τι ἄψυχον ἔσται. Εἰ δὲ μὴ καθόλου πᾶσαν κρᾶσιν σώματος λέγοι ψυχὴν εἶναι, ἀλλὰ τὴν τοιάνδε, ἐρωτητέον, ποία κρᾶσίς ἐστιν ἡ ποιοῦσα ζῷον καὶ ψυχῆς λόγον ἐπέχουσα. Ὁποίαν γὰρ ἂν εἴποι τὴν κρᾶσιν, τοιαύτην εὑρήσομεν καὶ ἐν τοῖς ἀψύχοις. Ἐννέα γὰρ οὐσῶν κράσεων, ὡς αὐτὸς ἐν τῷ «Περὶ κράσεως» ἔδειξεν, ὀκτὼ μὲν τῶν δυσκράτων, μιᾶς δὲ τῆς εὐκράτου, κατὰ μὲν τὴν εὔκρατον λέγει κεκρᾶσθαι τὸν ἄνθρωπον, οὐ πάντα δέ, ἀλλὰ τὸν τῆς μέσης κράσεως, κατὰ δὲ τὰς ἄλλας δυσκρασίας, τὰ ἄλλα ζῷα κατ᾽ εἶδος, μετὰ τῆς ἐπὶ τὸ μᾶλλον καὶ ἧττον ἀνέσεώς τε καὶ ἐπιτάσεως. Εὑρίσκονται δὲ καὶ ἐν τοῖς ἀψύχοις αἱ ἐννέα κράσεις μετὰ τοῦ μᾶλλον καὶ ἧττον, ὡς αὐτὸς πάλιν ἐν τοῖς «Ἁπλοῖς» ἀπέδειξεν. Ἔτι, εἰ ἡ ψυχὴ κρᾶσίς ἐστιν, αἱ δὲ κράσεις ἐναλλάσσονται κατά τε τὰς ἡλικίας καὶ τὰς ὥρας καὶ τὰς διαίτας, ἡ ψυχὴ ἐναλλάσσεται· εἰ δὲ ἐναλλάσσεται, οὐ τὴν αὐτὴν ἔχομεν ψυχήν, **[557]** ἀλλὰ κατὰ τὴν κρᾶσιν, ποτὲ μὲν λέοντος, ποτὲ δὲ προβάτου, ποτὲ δὲ ἄλλου τινός, ὅπερ ἄτοπον. Ἔτι, ἡ κρᾶσις οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος, ἀλλὰ καὶ συνεργεῖ· αὕτη γάρ ἐστιν ἡ κινοῦσα· ἡ δὲ ψυχὴ ἐναντιοῦται· οὐκ ἄρα ἡ κρᾶσίς ἐστι ψυχή.

Ἔτι, εἰ κρᾶσίς ἐστι ψυχή, ἡ δὲ κρᾶσις ποιότης, ποιότης δὲ καὶ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τοῦτο δὲ οὐκ ἀληθές· οὐκ ἄρα κρᾶσις, οὐδὲ ποιότης ἐστὶν ἡ ψυχή. Οὐ γὰρ δήπου

τὸ ἕτερον τῶν ἀντικειμένων φυσικῶς προσεῖναι φήσουσι τῷ ζῴῳ, ὡς ἐπὶ τοῦ πυρὸς τὸ θερμόν. Ἀμετάθετον γὰρ τοῦτο. Φαίνεται δὲ μεταθεμένη ἡ κρᾶσις, μᾶλλον δὲ αὐτοί εἰσιν οἱ διὰ τῆς ἰατρικῆς τέχνης τὰς κράσεις μεταβάλλοντες. Ἔτι, παντὸς σώματος αἱ ποιότητες αἰσθηταί εἰσιν· ἡ δὲ ψυχὴ οὐκ αἰσθητή, ἀλλὰ νοητή· οὐκ ἄρα ποιότης σώματός ἐστιν ἡ ψυχή. Ἔτι ἡ τοῦ αἵματος καὶ πνεύματος μετὰ παραθέσεως σαρκῶν καὶ νεύρων καὶ τῶν ἄλλων εὐκρασία, ἰσχύς ἐστι· καὶ ἡ τῶν θερμῶν δὲ καὶ ψυχρῶν καὶ ξηρῶν καὶ ὑγρῶν εὐκρασία, ὑγεία ἐστίν· ἡ δὲ συμμετρία τῶν μελῶν μετὰ τῆς εὐχροίας τὸ κάλλος ποιεῖ τοῦ σώματος. Εἰ τοίνυν ἡ ἁρμονία τῆς ὑγείας καὶ τῆς ἰσχύος καὶ τοῦ κάλλους ψυχή ἐστιν, ἀνάγκη ἦν, τὸν ἄνθρωπον ζῶντα μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἄμορφον εἶναι· συμβαίνει δὲ πολλάκις, οὐ μίαν μόνην, ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι, καὶ ζῆν τὸν ἄνθρωπον· συμβαίνει γὰρ τὸν αὐτὸν ὁμοῦ καὶ ἄμορφον εἶναι καὶ ἀσθενεῖν καὶ νοσεῖν· οὐκ ἄρα ἡ εὐκρασία **[560]** τοῦ σώματός ἐστιν ἡ ψυχή. Πῶς οὖν φυσικαί τινες καὶ κακίαι καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; Τοῦτο ἐκ τῆς τοῦ σώματος κράσεως ἀληθῶς γίνεται. Ὡς γὰρ φυσικῶς ὑγιεινοὶ καὶ νοσώδεις εἰσὶν ἐκ τῆς κράσεως· οὕτω τινὲς φυσικῶς πικρόχολοι ὄντες, ὀργίλοι εἰσίν, ἄλλοι δειλοί, ἄλλοι καταφερεῖς. Ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται· δῆλον δέ, ὅτι τῆς κράσεως κρατοῦσιν· ἄλλο δέ ἐστι τὸ κρατοῦν, καὶ ἄλλο τὸ κρατούμενον· ἄλλο ἄρα κρᾶσις, καὶ ἄλλο ψυχή. Ὄργανον γὰρ ὂν τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως κατασκευασθῇ, συνεργεῖ τῇ ψυχῇ, καὶ αὐτὸ ἔχει ἐπιτηδείως· ἐὰν δὲ ἀνεπιτηδείως, ἐμποδίζει καὶ τότε χρεία τῇ ψυχῇ πραγμάτων, ἀπομαχομένη πρὸς τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου· καὶ ἐὰν μὴ σφόδρα νήψῃ καὶ συνδιαστρέφηται αὐτῷ, καθάπερ μουσικὸς συνεξαμαρτάνει τῇ τῆς λύρας διαστροφῇ, ἐὰν μὴ πρότερον αὐτὴν καταστήσῃ καλῶς. Διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ σώματος, ἵνα καταρτίσῃ αὐτὸ ὄργανον ἐπιτήδειον ἑαυτῇ. Τοῦτο δὲ ποιεῖ διά τε τοῦ λόγου καὶ τῶν ἠθῶν, ὡς ἐν ἁρμονίᾳ, τὰ μὲν χαλῶσα, τὰ δὲ ἐπιτείνουσα, ἵνα ἁρμόδιον αὐτὸ ἑαυτῇ κατασκευάσῃ, καὶ χρήσηται ἐπιτηδείῳ ὀργάνῳ, ἐὰν μὴ καὶ αὐτὴ συνδιαστραφῇ αὐτῷ, συμβαίνει γὰρ καὶ τοῦτο.

Ἀριστοτέλης δέ, τὴν ψυχὴν ἐντελέχειαν λέγων, οὐδὲν ἧττον συμφέρεται τοῖς ποιότητα λέγουσιν αὐτήν. Διασαφήσωμεν δὲ πρότερον, ἐντελέχειαν τίνα καλεῖ. Τὴν οὐσίαν τριχῶς λέγει, τὸ μέν, ὡς ὕλην ὑποκείμενον, ὃ καθ' ἑαυτὸ μὲν οὐδέν ἐστι, δύναμιν δὲ ἔχει πρὸς γένεσιν· ἕτερον δέ, μορφὴν καὶ εἶδος, καθ' ἣν εἰδοποιεῖται ἡ ὕλη· τρίτον δέ, τὸ **[561]** συναμφότερον, τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους γεγενημένον, ὅ ἐστι λοιπὸν ἔμψυχον. Ἔστιν οὖν ἡ μὲν ὕλη, δύναμις· τὸ δὲ εἶδος, ἐντελέχεια. Καὶ τοῦτο δὲ διχῶς [νοεῖται], τὸ μέν, ὡς ἐπιστήμη, τὸ **δέ,** ὡς τὸ θεωρεῖν κατ' ἐπιστήμην, τουτέστι, τὸ μὲν ὡς διάθεσις, τὸ δέ, ὡς ἐνέργεια. [Ὡς] ἐπιστήμη μὲν οὖν, ὅτι ἐν τῷ ὑπάρχειν τὴν ψυχήν, καὶ ὕπνος καὶ ἐγρηγόρσίς ἐστιν. Ἀνάλογος δὲ ἡ μὲν ἐγρήγορσίς ἐστι

τῷ θεωρεῖν [καὶ ἐνεργεῖν]· ὁ δὲ ὕπνος, τῷ ἔχειν καὶ μὴ ἐνεργεῖν. Προτέρα δέ ἐστιν ἡ ἐπιστήμη τῆς ἐνεργείας. Διὸ πρώτην ἐντελέχειαν καλεῖ τὸ εἶδος· δευτέραν δὲ τὴν ἐνέργειαν. Οἷον ὀφθαλμὸς ἐξ ὑποκειμένου ἐστὶ καὶ εἴδους· καὶ ἔστι τὸ μὲν ὑποκείμενον αὐτὸς ὁ ὀφθαλμός· τὸ δεχόμενον δὲ τὴν ὄψιν, ἤγουν τὸ εἶδος, ὕλη ὀφθαλμοῦ. Καλεῖται δὲ καὶ αὐτὴ ὁμωνύμως ὀφθαλμός· εἶδος δὲ καὶ ἐντελέχειά ἐστιν ἡ πρώτη ὀφθαλμοῦ, αὐτὴ ἡ ὄψις, ἡ τὸ δύνασθαι ὁρᾶν αὐτῷ παρεχομένη· δευτέρα δὲ ἐντελέχειά ἐστι τοῦ ὀφθαλμοῦ, ἡ ἐνέργεια, καθ' ἣν ὁρᾷ. Ὥσπερ οὖν ὁ ἄρτι τεχθεὶς σκύλαξ οὐδετέραν μὲν ἔχει ἐντελέχειαν, δύναμιν δὲ τοῦ δέξασθαι τὴν ἐντελέχειαν· οὕτω δεῖ λαβεῖν καὶ τὸ τῆς ψυχῆς. Ὡς γὰρ ἐκεῖ γεννηθεῖσα ἡ ὄψις τελειοῖ τὸν ὀφθαλμόν· οὕτως ἐνταῦθα γεννηθεῖσα ἡ ψυχὴ ἐν τῷ σώματι τελειοῖ **[564]** τὸ ζῷον, ὡς μήτε ἄνευ σώματος εἶναί ποτε τὴν ψυχήν, μήτε τὸ σῶμα δίχα ψυχῆς. Σῶμα μὲν γὰρ οὐκ ἔστιν ἡ ψυχή· σώματος δέ ἐστι, καὶ διὰ τοῦτο ἐν σώματι ὑπάρχει καὶ σώματι τοιῷδε· καθ' ἑαυτὴν δὲ οὐχ ὑπάρχει.

Ἀλλὰ πρῶτον μὲν τὸ ζωτικὸν μέρος τῆς ψυχῆς ψυχὴν καλεῖ, χωρίζων αὐτῆς τὸ λογικόν. Ἔδει δὲ πᾶσαν ὁμοῦ λαβεῖν τὴν ψυχὴν τοῦ ἀνθρώπου, καὶ μὴ ἀπὸ μέρους, καὶ ταῦτα τοῦ ἀσθενεστέρου, περὶ τοῦ παντὸς ἀποφαίνεσθαι. Ἔπειτα, τὸ σῶμα, φησί, δυνάμει τὸ ζῆν ἔχειν καὶ πρὸ τοῦ γενέσθαι τὴν ψυχήν. Λέγει γὰρ τὸ σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ. Δεῖ δὲ τὸ σῶμα, τὸ δυνάμει ζωὴν ἔχον [ἐν ἑαυτῷ], πρότερον ἐνεργείᾳ σῶμα εἶναι· οὐ δύναται δὲ ἐνεργείᾳ εἶναι σῶμα πρὸ τοῦ δέξασθαι τὸ εἶδος· ὕλη γάρ ἐστιν ἄποιος, καὶ οὐ σῶμα· ἀδύνατον ἄρα τὸ μὴ ὂν ἐνεργείᾳ [σῶμα] δύναμιν ἔχειν πρὸς τὸ ἐξ αὐτοῦ τι γίνεσθαι. Εἰ δὲ καὶ σῶμα δυνάμει ἐστί, πῶς τὸ δυνάμει σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ δύναται; Ἄλλως τε, ἐπὶ μὲν τῶν ἄλλων δυνατόν, ἔχοντά τι μὴ χρῆσθαι αὐτῷ· οἷον, ὄψιν ἔχοντα, μὴ χρῆσθαι αὐτῇ· ἐπὶ δὲ τῆς ψυχῆς ἀδύνατον. Οὐδὲ γὰρ ὁ καθεύδων ἄνευ ψυχικῆς ἐνεργείας ἐστί. Καὶ γὰρ τρέφεται καὶ αὔξεται καὶ φαντασιοῦται καὶ ἀναπνεῖ, ὅπερ μάλιστα τῆς ζωῆς ἐστι τεκμήριον. Ἐκ τούτων οὖν φανερόν, ὅτι δυνάμει τὸ ζῆν οὐ δύναται προσεῖναί τινι, ἀλλὰ πάντως ἐνεργείᾳ. Προηγουμένως γὰρ τὸ εἰδοποιοῦν τὴν ψυχὴν οὐδὲν ἄλλο ἐστίν, ἀλλ' ἢ ἡ ζωή. Τῇ μὲν γὰρ ψυχῇ σύμφυτός ἐστιν ἡ ζωή· τῷ δὲ σώματι, κατὰ μέθεξιν. Ὁ λέγων τοίνυν, τὴν **[565]** ὑγείαν ἀνάλογον εἶναι τῇ ζωῇ, οὐ τὴν τῆς ψυχῆς ζωὴν λέγει, ἀλλὰ τὴν τοῦ σώματος, καὶ οὕτω σοφίζεται. Ἡ μὲν γὰρ σωματικὴ οὐσία παρὰ μέρος τῶν ἐναντίων ἐστὶ δεκτικὴ ἡ δὲ κατὰ τὸ εἶδος, οὐδαμῶς. Ἐὰν γὰρ ἡ κατὰ τὸ εἶδος διαφορὰ μεταλλαγῇ, μεταλλάττεται καὶ τὸ ζῷον. Ὥστε οὐχ ἡ κατὰ τὸ εἶδος οὐσία τῶν ἐναντίων ἐστὶ δεκτική, ἀλλ' ἡ κατὰ τὸ ὑποκείμενον, τουτέστιν, ἡ σωματική. Οὐ δύναται τοίνυν ἡ ψυχὴ κατ' οὐδένα τρόπον ἐντελέχεια τοῦ σώματος εἶναι· ἀλλ' οὐσία αὐτοτελής, ἀσώματος. Παρὰ μέρος γὰρ ἐπιδέχεται τὰ ἐναντία, κακίαν καὶ ἀρετήν, ὅπερ οὐκ ἠδύνατο τὸ εἶδος ἐπιδέξασθαι. Ἔπειτά φησιν, ἐντελέχειαν οὖσαν τὴν ψυχήν,

ἀκίνητον εἶναι καθ' ἑαυτήν, κινεῖσθαι δὲ κατὰ συμβεβηκός. Οὐδὲν δὲ ἀπεικὸς, ἀκίνητον οὖσαν κινεῖν ἡμᾶς. Καὶ γὰρ τὸ κάλλος ἀκίνητον ὄν, κινεῖ ἡμᾶς. Ἀλλ' εἰ καὶ τοῦτο, ἀκίνητον ὄν, κινεῖ· ἀλλὰ τὸ φύσιν ἔχον κινεῖσθαι κινεῖ, καὶ οὐχὶ τὸ ἀκίνητον.

Εἰ τοίνυν καὶ τὸ σῶμα καθ' ἑαυτὸ κίνησιν εἶχεν, οὐδὲν ἦν ἄτοπον αὐτὸ κινεῖσθαι ὑπὸ ἀκινήτου· νῦν δὲ ἀδύνατον τὸ ἀκίνητον ὑπὸ ἀκινήτου κινεῖθαι· πόθεν οὖν τῷ σώματι τὸ κινεῖσθαι, εἰ μὴ ἀπὸ τῆς ψυχῆς; Οὐ γὰρ αὐτοκίνητόν ἐστι τὸ σῶμα. Πρώτην οὖν γένεσιν κινήσεως βουλόμενος δεῖξαι, οὐ πρώτην, ἀλλὰ δευτέραν ἔδειξεν. Εἰ μὲν γὰρ τὸ μὴ κινούμενον ἐκίνει, πρώτην ἐποίει κίνησιν· εἰ δὲ τὸ κινούμενον ἀφ' ἑαυτοῦ καὶ ἄλλως κινεῖ, δευτέρας κινήσεως γένεσιν ἐξηγεῖται. Πόθεν οὖν πρώτη γένεσις τῆς κινήσεως τῷ σώματι; Τὸ γὰρ λέγειν, ἀφ' ἑαυτῶν κινεῖσθαι τὰ στοιχεῖα, τὰ μὲν κοῦφα ὄντα φύσει τὰ δὲ βαρέα ψεῦδός ἐστιν. Εἰ γὰρ ἡ κουφότης καὶ βαρύτης κίνησίς ἐστιν, οὐ**[568]**δέποτε στήσεται τὰ κοῦφα καὶ βαρέα· ἵσταται δέ, τὸν οἰκεῖον καταλαβόντα τόπον· οὐκ ἄρα βαρύτης καὶ κουφότης αἰτίαι πρώτης κινήσεώς εἰσιν, ἀλλὰ ποιότητες τῶν στοιχείων. Ἐὰν δὲ καὶ τοῦτο δοθῇ, πῶς τὸ λογίζεσθαι καὶ δοξάζειν καὶ κρίνειν δύναται κουφότητος καὶ βαρύτητος ἔργα εἶναι; εἰ δὲ μὴ τούτων, οὐδὲ τῶν στοιχείων· εἰ δὲ μὴ τῶν στοιχείων, οὐδὲ τῶν σωμάτων. Ἔτι, εἰ κατὰ συμβεβηκὸς ἡ ψυχὴ κινεῖται, τὸ δὲ σῶμα ἐξ ἑαυτοῦ, καὶ μὴ οὔσης τῆς ψυχῆς, τὸ σῶμα ἐξ ἑαυτοῦ κινηθήσεται· εἰ δὲ τοῦτο, καὶ ζῷον ἔσται χωρὶς τῆς ψυχῆς· ἄτοπα δὲ ταῦτα· ἄτοπον ἄρα καὶ τὸ ἐξ ἀρχῆς· Ἀλλ' οὐδὲ τὸ λέγειν, ὅτι πᾶν τὸ φύσει κινούμενον, καὶ βίᾳ κινεῖται, καὶ πᾶν τὸ βίᾳ κινούμενον, καὶ φύσει κινεῖται, ἀληθές ἐστιν. Ὁ γὰρ κόσμος, φύσει κινούμενος, βίᾳ οὐ κινεῖται· οὐ μήν οὐδέ, εἴ τι κατὰ φύσιν κινεῖται, τοῦτο καὶ κατὰ φύσιν ἠρεμεῖ. Καὶ γὰρ ὁ κόσμος καὶ ὁ ἥλιος καὶ ἡ σελήνη, κατὰ φύσιν κινούμενοι, κατὰ φύσιν ἠρεμεῖν οὐ δύνανται. Τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχή, κατὰ φύσιν ἀεικίνητος οὖσα, κατὰ φύσιν ἠρεμεῖν οὐ δύναται. Ἡ γὰρ ἠρεμία, φθορὰ τῆς ψυχῆς ἐστι καὶ παντὸς ἀεικινήτου. Πρὸς τούτοις καὶ τὸ ἀπορούμενον ἐξ ἀρχῆς ἄλυτον μένει, πόθεν τὸ σῶμα συνέχεται, φύσει πεφυκὸς σκεδάννυσθαι. Ἀρκεῖ καὶ ταῦτα ἐκ πολλῶν ἀπο**[569]**δεῖξαι, τὴν ψυχὴν μήτε ἐντελέχειαν οὖσαν, μήτε ἀκίνητον, μήτε ἐν σώματι γενομένην.

Πυθαγόρας δὲ συμβολικῶς εἰκάζειν ἀεὶ καὶ τὸν Θεὸν καὶ πάντα τοῖς ἀριθμοῖς εἰωθώς, ὡρίσατο καὶ τὴν ψυχήν, ἀριθμὸν ἑαυτὸν κινοῦντα· ᾧ καὶ Ξενοκράτης ἠκολούθησεν· οὐχ ὅτι ἀριθμός ἐστιν ἡ ψυχή, ἀλλ' ὅτι ἐν τοῖς ἀριθμητοῖς ἐστι, καὶ ἐν τοῖς πεπληθυσμένοις, καὶ ὅτι ἡ ψυχή ἐστιν ἡ διακρίνουσα τὰ πράγματα, τῷ μορφὰς καὶ τύπους ἑκάστοις ἐπιβάλλειν. Αὕτη γάρ ἐστιν, ἡ τὰ εἴδη ἀπὸ τῶν εἰδῶν χωρίζουσα, καὶ διάφορα αὐτὰ ἀποφαίνουσα, τῇ τε ἑτερότητι τῶν εἰδῶν καὶ τῷ πλήθει τοῦ ἀριθμοῦ, καὶ διὰ τοῦτο ἀριθμητὰ ποιοῦσα τὰ πράγματα· ὅθεν οὐ παντάπασιν ἀπήλλακται τῆς κατὰ τοὺς ἀριθμοὺς κοινωνίας.

Τὸ δὲ αὐτοκίνητον καὶ αὐτὸς αὐτῇ προσεμαρτύρησεν. Ὅτι δὲ ἀριθμὸς οὐκ ἔστι, δῆλον ἐντεῦθεν· Ὁ ἀριθμός ποσόν ἐστιν· ἡ δὲ ψυχὴ οὐ ποσόν, ἀλλ' οὐσία· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή, εἰ καὶ τὰ μάλιστα καὶ τὸν ἀριθμὸν ἐν τοῖς νοητοῖς οὐσίαν εἶναι βούλονται, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. Ἔτι, ἡ ψυχὴ συνεχής ἐστιν· ὁ δὲ ἀριθμὸς οὐ συνεχής· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. Ἔτι, ὁ ἀριθμὸς ἤτοι ἄρτιός ἐστιν, ἢ περιττός· ἡ δὲ ψυχὴ οὔτε ἄρτιος, οὔτε περιττή· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή. Ἔτι, ὁ ἀριθμὸς κατὰ προσθήκην αὔξεται· ἡ δὲ ψυχὴ κατὰ προσθήκην οὐκ αὔξεται. Ἔτι, ἡ ψυχὴ αὐτοκίνητός ἐστιν· ὁ δὲ ἀριθμὸς ὁ ὡρισμένος ἀκίνητος. Ἔτι, ὁ μὲν ἀριθμὸς μένων εἷς καὶ ὁ αὐτὸς τὴν φύσιν, οὐδὲ μίαν ποιότητα τὴν ἐν ἀριθμοῖς γινομένην ὑπαλλάξαι δύναται· ἡ ψυχὴ δέ, μία καὶ ἡ αὐτὴ μένουσα **[572]** κατὰ τὴν οὐσίαν, ὑπαλλάττει τὰς ποιότητας, ἐξ ἀμαθίας εἰς ἐπιστήμην μεταπίπτουσα, καὶ ἐκ κακίας εἰς ἀρετήν· οὐκ ἄρα ἀριθμὸς ἡ ψυχή.

Τὰ μὲν οὖν τῶν παλαιῶν δόγματα περὶ ψυχῆς τοιαῦτα. Εὐνόμιος δὲ ὡρίσατο τὴν ψυχήν, οὐσίαν ἀσώματον ἐν σώματι κτιζομένην, συμφρονήσας ὁμοῦ Πλάτωνι καὶ Ἀριστοτέλει. Τὸ μὲν γάρ, οὐσίαν ἀσώματον, ἐκ τοῦ Πλάτωνος εἴληφε· τὸ δέ, ἐν σώματι κτιζομένην, ἐκ τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας· οὐκ ἐννοήσας, καίπερ ὀξὺς ὤν, ὅτι συνάγειν εἰς ταὐτὸ πειρᾶται τὰ ἀσύμβατα. Πᾶν γὰρ τὸ γένεσιν ἔχον, σωματικὴν ὁμοῦ καὶ χρονικήν, φθαρτόν ἐστι καὶ θνητόν. Συνᾴδει δὲ τούτοις καὶ τὰ Μωϋσέως. Τὴν γὰρ [ὕλην] τῶν αἰσθητῶν [πάντων] γένεσιν ὑπογράφων, οὐκ ἐν αὐτῇ δὲ καὶ τὴν τῶν νοητῶν ρητῶς ἔφησεν ὑποστῆναι φύσιν· ἀλλ' εἰκάζοντές τινες τοῦτο δοξάζουσιν, οἷς οὐ πάντες συμφέρονται. Εἰ δέ τις ἐκ τοῦ μετὰ τὴν διάπλασιν τοῦ σώματος ἐμβεβλῆσθαι τὴν ψυχὴν ἡγοῖτο μετὰ τὸ σῶμα γεγενῆσθαι αὐτήν, διαμαρτάνει τῆς ἀληθείας. Οὔτε γὰρ ὁ Μωϋσῆς τότε αὐτὴν ἐκτίσθαι λέγει, ὅτε τῷ σώματι ἐνεβάλλετο· οὔτε κατὰ λόγον οὕτως ἔχει. Ἢ τοίνυν θνητὴν αὐτὴν λεγέτω, ὡς Ἀριστοτέλης, φήσας αὐτὴν ἐν σώματι γεννᾶσθαι, καὶ ὡς οἱ Στωϊκοὶ ἢ λέγων, οὐσίαν ἀσώματον, παραιτείσθω λέγειν, ἐν σώματι κτιζομένην, ἵνα μὴ **[573]** θνητῆς ψυχῆς ἔννοιαν ἡμῖν παραστήσῃ καὶ παντελῶς ἀλόγου. Ἄλλως τε, κατ' αὐτὸν οὔπω πλήρης ἐστὶν ὁ κόσμος, ἀλλ' ἡμιτελὴς ἔτι καὶ νῦν, καὶ προσθήκης ἀεὶ δεόμενος. Πεντάκις μύριαι γοῦν τοὐλάχιστον καθ' ἑκάστην ἡμέραν οὐσίαι νοηταὶ προσγίνονται αὐτῷ, καὶ τὸ χαλεπώτατον, ὅταν τελεσιουργηθῇ, τότε διαλυθήσεται κατ' αὐτόν, τῶν τελευταίων ἀνθρώπων, τῶν πρὸς τῇ ἀναστάσει, τὸν ψυχικὸν ἀριθμὸν ἀποπληρούντων· οὗ τί ἂν γένοιτο ἀλογώτερον, τότε φάσκειν διαφθείρεσθαι τὸν κόσμον, ὅταν πληρωθῇ; Κομιδῇ γὰρ νηπίων παίδων ὁ τρόπος οὗτος, ἐν ψάμμῳ τῆς παιδιᾶς εὐθὺς μετὰ τὸ πληρῶσαι συγχεόντων τὰ γενόμενα. Τὸ γὰρ λέγειν, προνοίας λόγῳ νῦν τὰς ψυχὰς γίνεσθαι, καὶ οὐχὶ κτίσεως (οὐ γὰρ καινὴν οὐσίαν, οὐδὲ ἄλλην παρὰ τὴν οὖσαν εἰσάγεσθαι, ἀλλὰ τὴν οὖσαν κατὰ πρόνοιαν πλειστηριάζεσθαι),

ἀγνοούντων ἐστὶ διαφορὰν κτίσεως καὶ προνοίας. Προνοίας μὲν γὰρ ἔργον ἐστί, τὸ ἐξ ἀλληλογονίας διασῴζειν τὴν τῶν φθαρτῶν ζῴων οὐσίαν (λέγω δέ, τῶν μὴ κατὰ σηπεδόνα γινομένων, ἐπειδὴ τὴν τούτων διαδοχὴν σηπεδὼν πάλιν ἑτέρα διαφυλάττει), κτίσεως δὲ τὸ κράτιστον ἔργον, τὸ ἐξ οὐκ ὄντων ποιεῖν.

Εἰ τοίνυν ἐξ ἀλληλογονίας αἱ ψυχαὶ γίνονται, λόγῳ προνοίας γίνονται, καὶ φθαρταί εἰσι, καθάπερ τὰ ἄλλα, τὰ ἐκ διαδοχῆς γένους γινόμενα· εἰ δὲ ἐξ οὐκ ὄντων παράγονται, κτίσις ἐστὶ τὸ γινόμενον, καὶ οὐκ ἔστιν ἀληθὲς τὸ τοῦ Μωϋσέως, τό, **[576]** καὶ ἑκάστῃ ἡλικίᾳ ἁρμοζόμενος προβαίνει τῇ παιδείᾳ καὶ οὐκ ἴσως τὸ μικρὸν βρέφος παιδεύει τῷ μειρακίῳ, οὐδὲ τὸ μειράκιον ὡσαύτως τῷ νεανίσκῳ, οὐδὲ τὸν νεανίαν τῷ τελείῳ ἀνδρί. Ἀλλὰ τῷ μὲν ὑποτιτθίῳ διὰ δακτύλου παιδεία γίνεται, παιδίῳ δὲ μείζονι διὰ χειρὸς ῥαπίσματος, μειρακίῳ δὲ διὰ ἱμάντος, νεανίσκῳ διὰ ῥάβδου, ἀνδρὶ δὲ ἐκδίκησις τῶν μειζόνων παραπτωμάτων μάχαιρα διὰ νόμου· οὕτω καὶ ὁ Κύριος ἑξῆς ἐνομοθέτει ἑκάστῃ γενεᾷ ἁρμόζοντα. Ἐκείνους μὲν γὰρ φόβῳ ἐσωφρόνιζεν, ὡς παιδίοις μικροῖς διαλεγόμενος, καὶ ἀγνοοῦσι τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος· τοὺς δὲ τελείους, τελείων ἠξίου μυστηρίων. Καὶ ἐν τῷ Εὐαγγελίῳ γὰρ οὕτω πως λέγει τοῖς μαθηταῖς ἐν πολλοῖς τόποις· «Οὐκ οἴδατε τί ποιῶ [1]· ὕστερον δὲ γνώσεσθε», τουτέστιν ὅταν τέλειοι γένησθε· καὶ πάλιν· «Οὐκ ᾔδεισαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν»[2]· ὁ δὲ Παῦλος· «Οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι δύνασθε»[3]· δεικνύς, ὅτι καιρῶν προϊόντων τελειότεραι ἐντολαί, οὖσαι μὲν αἱ αὐταί, μεταβαλλόμεναι δὲ εἰς ἑτέραν σχέσιν· ἀλλὰ τοῖς νέοις μὲν ἄλλως σχηματιζόμεναι, ἑτέρως δὲ τοῖς ἐντελεστέροις. Νομοθετήσας γὰρ ὁ νόμος, «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ»[4], οὐκ εἶπεν αὐτοῖς· Ἐκβάλλετε ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ· ἀλλ', Ἐὰν ἐκβάλῃ τις ὀφθαλμόν, ἐκβληθήσεται ὁ ὀφθαλμὸς τοῦ ἐκβαλόντος. Ἕκαστος δέ, φειδόμενος τοῦ ἰδίου σώματος, παρεδίδου τὴν σιαγόνα τύπτεσθαι, καὶ οὐκ ἔτυπτε.

Καὶ ἀπὸ τότε ἐφυλάττετο τὰ νῦν ἐν τῷ Εὐαγγελίῳ τηλαυγῶς εἰρημένα, τότε μὲν ἀνάγκῃ, ὡς νέων σωφρονιζομένων, νῦν δὲ προαιρέσει, ἅτε δὴ τελείων πειθομένων. Εἰ δὲ φάσκεις περιπλοκὴν εἶναι ταύτην, τὸ λέγειν, «Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ»[5], καὶ τὸ τὸν φονέα φονεύεσθαι, ἰδοὺ καὶ περὶ τῆς ἡμέρας τῆς κρίσεως βλέπομεν τὸν Σωτῆρα λέγοντα, ὅτι «Ἐλεύσεται ὁ αὐτοῦ Δεσπότης»· τοῦτο δὲ περὶ ἑαυτοῦ ἔλεγεν αὐτὸς πάντων ὢν Δεσπότης, καί φησι· «Καὶ διχοτομήσει αὐτὸν τὸν δοῦλον· καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει»[6]. Οὐκοῦν καὶ περὶ τοῦ Σωτῆρος ἐξοπλίζῃ συκοφαντεῖν πάλιν ῥήματα καὶ εἴποις ἂν τοῦτον μὴ εἶναι ἀγαθόν, καίτοι γε ἐκ Πατρὸς ἀγαθοῦ

---

1. Πρβλ. Ἰω. 13, 7. 2. Πρβλ. Ἰω. 2, 22. 3. Α' Κορ. 3, 2. 4. Ἔξ. 21, 24. Λευιτ. 24, 19. Δευτ. 19, 21. Ματθ. 5,38. 5. ἔνθ' ἀν. 6. Πρβλ. Ματθ. 24, 50-51.

γεγεννημένον, καὶ ἀγαθὸν ὄντα, ἀλλὰ δίκαιον, καὶ οὔθ' ἕτερον παρὰ τὸν Πατέρα. Δύνασαι ἄρα καὶ αὐτὸν ἀπαλλοτριοῦν τῆς τοῦ Πατρὸς οὐσίας, ὦ οὗτος, ὁ προελθὼν ἡμῖν πάλιν διαιρέτης, καὶ γεωμέτρης τῶν νόμων, τριχῶς τὰ πάντα διαιρῶν. Καὶ τῷ μὲν εἰπεῖν, ὅτι εἰς τύπους συμβολικῶς τινα ἐν τῷ νόμῳ γέγραπται [1], ὀλίγα παρήψω τῆς ἀληθείας, ἵνα διὰ τῶν ὀλίγων δυνηθῇς καὶ εἰς τὰ ἄλλα ἀπατῆσαι. Καὶ γὰρ τῷ ὄντι ἐκείνοις τυπικῶς συνέβαινεν· ἐγράφη δὲ ἡμῖν εἰς νουθεσίαν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε, φησὶν ὁ ἁγιώτατος Ἀπόστολος, περί τε περιτομῆς λέγων, καὶ Σαββάτου, καὶ τῶν ἄλλων. Εἴθε δὲ πάντα ἠλήθευες, καὶ οὐκέτι τρίτον μέσον θεὸν τὸν μὴ ὄντα.

[577] Ἑξῆς ἐπισκεψώμεθα καὶ τὴν δόξαν τῶν Μανιχαίων, ἥν ἔχουσι περὶ τῆς ψυχῆς. Φασὶ μὲν γὰρ αὐτὴν ἀθάνατον καὶ ἀσώματον· μίαν δὲ μόνην εἶναι, τὴν τῶν πάντων ψυχήν, κατακερματιζομένην καὶ κατατεμνομένην εἰς τὰ καθ' ἕκαστα σώματα, ἄψυχά τε καὶ ἔμψυχα· καὶ τὰ μὲν πλείονος αὐτῆς μετέχειν, τὰ δὲ ἐλάττονος· πλείονος μέν, τὰ ἔμψυχα· ἐλάττονος δέ, τὰ ἄψυχα· πολλῷ δὲ πλείονος, τὰ οὐράνια· ὡς τῆς καθόλου ψυχῆς μέρη τὰς καθ' ἕκαστον εἶναι ψυχάς. Καὶ εἰ μὲν ἀμερίστως μερίζεσθαι ταύτην ἔφασκον, ὡς τὴν φωνὴν ἐν τοῖς ἀκούουσι, μέτριον ἂν ἦν τὸ κακόν· νῦν δὲ τὴν οὐσίαν αὐτὴν τῆς ψυχῆς καταμερίζεσθαι λέγουσι· καὶ τὸ πάντων χαλεπώτατον, ὅτι κυρίως αὐτὴν ἐν τοῖς στοιχείοις εἶναι βούλονται, καὶ συμμερίζεσθαι τούτοις ἐν τῇ τῶν σωμάτων γενέσει, καὶ πάλιν εἰς ταὐτὸ συνιέναι διαλυομένων τῶν σωμάτων, ὡς ὕδωρ μεριζόμενον καὶ πάλιν συναγόμενον καὶ μιγνύμενον, καὶ τὰς μὲν καθαρὰς ψυχὰς χωρεῖν εἰς τὸ φῶς, φῶς οὔσας, τὰς δὲ μεμολυσμένας ὑπὸ τῆς ὕλης, χωρεῖν εἰς τὰ στοιχεῖα, καὶ πάλιν ἀπὸ τῶν στοιχείων εἰς τὰ φυτὰ καὶ τὰ ζῷα· καὶ οὕτω τὴν οὐσίαν αὐτῆς κατατέμνοντες, καὶ σωματικὴν ἀποφαίνοντες, καὶ πάθεσιν ὑποβάλλοντες, ἀθάνατον εἶναί φασι. Περιπίπτουσι δὲ καὶ τοῖς ἐναντίοις. Φάσκοντες γάρ, ἀνατρέχειν τὰς μεμολυσμένας ψυχὰς ἐπὶ τὰ στοιχεῖα καὶ συγκαταμίγνυσθαι ἀλλήλαις, πάλιν αὐτὰς ἐν ταῖς μετενσωματώσεσί φασι τιμωρεῖσθαι, κατὰ τὸ μέγεθος τῶν ἁμαρτημάτων, ἑνοῦντες αὐτὰς καὶ πάλιν χωρίζοντες καθ' ὑπόστασιν· καὶ γὰρ τὰς σκιάς, φωτὸς μὲν ὄντος, χωρίζεσθαι, συννεφίας δὲ [καὶ νυκτὸς] γενομένης, ἑνοῦσθαι, ὅπερ ἀδύνατον ἐπὶ **[580]** νοητῆς φύσεως γίνεσθαι. Καὶ γὰρ αἱ σκιαὶ τῶν αἰσθητῶν εἰσιν, εἰ καὶ δοίη τις αὐτὰς χωρίζεσθαι καὶ πάλιν ἑνοῦσθαι.

Πλάτων δέ, καὶ μίαν εἶναι καὶ πολλὰς τὰς ψυχάς, ἀποφαίνεται· μίαν μὲν γὰρ εἶναι τοῦ παντὸς τὴν ψυχήν, εἶναι δὲ καὶ ἄλλας τῶν κατὰ μέρος ὡς ἰδίᾳ μὲν τὸ πᾶν ἐψυχῶσθαι ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς, ἰδίᾳ δὲ πάλιν τὰ κατὰ μέρος ὑπὸ τῆς ἰδίας ἑκάστου ψυχῆς. Λέγει γοῦν, τὴν μὲν τοῦ παντὸς διατετάσθαι ψυχὴν ἀπὸ τοῦ κέντρου τῆς γῆς

1. Πρβλ. Α' Κορ. 10, 11.

ἐπὶ τὰ πέρατα τοῦ οὐρανοῦ· οὐ τοπικῶς αὐτὴν διατετάσθαι φάσκων, ἀλλὰ νοητῶς· ταύτην δὲ τὴν ψυχὴν εἶναι, τὴν περιάγουσαν σφαιροειδῶς τὸ πᾶν, καὶ συνέχουσαν καὶ συσφίγγουσαν τὸ σωματοειδὲς τοῦ κόσμου· δεῖσθαι γὰρ τὰ σώματα τοῦ συνέχοντος, ἐν τοῖς προλαβοῦσιν ἐδείχθη· ποιεῖν δὲ τοῦτο τὴν εἰδοποιὸν ψυχήν· ζῆν γὰρ ἕκαστον τῶν ὄντων τὴν ἰδίαν ζωήν, καὶ φθείρεσθαι τὴν ἰδίαν φθοράν· ἕως μὲν γὰρ συνέχεται καὶ συσφίγγεται τὸ σῶμα, εἶναι λέγεται· διαλυόμενον δέ, φθείρεσθαι· καὶ ζῆν μὲν πάντα, μὴ πάντα δὲ εἶναι ζῷα. Διακρίνουσι γὰρ ἀπὸ μὲν τῶν ἀψύχων τὰ φυτά, τῷ αὔξεσθαι καὶ τρέφεσθαι, τουτέστι, τῇ θρεπτικῇ καὶ φυσικῇ δυνάμει· τὰ δὲ ἄλογα ζῷα ἀπὸ τῶν φυτῶν, τῇ αἰσθήσει· τὰ δὲ λογικὰ ἀπὸ τῶν ἀλόγων, τῷ λογικῷ· καὶ οὕτω πάντα ζῆν λέγοντες, διαστέλλουσι τὴν ἑκάστου φύσιν. Ζῆν οὖν λέγουσι καὶ τὰ πάντῃ ἄψυχα ἑκτικὴν ζωήν, καθ' ὃ συνέχεται ὑπὸ τῆς τοῦ παντὸς ψυχῆς εἰς τὸ εἶναι μόνον καὶ μὴ διαλύεσθαι. Ταύτην δὲ εἶναι τὴν ψυχήν, τὴν διακυβερνῶσαν τὸ πᾶν καὶ τὴν τὰς μερικὰς ψυχάς, **[581]** τὰς πρότερον παρὰ τοῦ Δημιουργοῦ γενομένας, ἐπιπέμπουσαν, δηλαδή, αὐτοῦ τοῦ Δημιουργοῦ καὶ νόμους αὐτῇ δεδωκότος, καθ' οὓς διεξάγειν ὀφείλει τοῦτο τὸ πᾶν, οὓς καὶ εἱμαρμένην καλεῖ, καὶ χορηγοῦντος δύναμιν ἀρκοῦσαν τοῦ διέπειν ἡμᾶς. Εἴρηται δὲ ταῦτα καὶ ἐν τοῖς «Περὶ εἱμαρμένης».

Κοινῇ μὲν οὖν πάντες Ἕλληνες, οἱ τὴν ψυχὴν ἀθάνατον ἀποφηνάμενοι τὴν μετενσωμάτωσιν δογματίζουσι. Διαφέρονται δὲ περὶ τὰ εἴδη τῶν ψυχῶν. Οἱ μὲν γὰρ ἓν εἶδος τὸ λογικὸν εἶναι λέγουσι· τοῦτο δὲ καὶ εἰς φυτὰ καὶ εἰς τὰ τῶν ἀλόγων σώματα μεταβαίνειν· οἱ μὲν κατά τινας ῥητὰς χρόνων περιόδους, οἱ δέ, ὡς ἔτυχεν. Ἄλλοι δέ, οὐχ ἓν εἶδος ψυχῶν, ἀλλὰ δύο, λογικόν τε καὶ ἄλογον. Τινὲς δὲ πολλά, τοσαῦτα, ὅσα τῶν ζῴων τὰ εἴδη. Μάλιστα δὲ οἱ ἀπὸ Πλάτωνος περὶ τὸ δόγμα τοῦτο διηνέχθησαν. Εἰπόντος γὰρ Πλάτωνος, τὰς μὲν θυμικὰς καὶ ὀργίλους καὶ ἁρπακτικὰς ψυχὰς λύκων καὶ λεόντων σώματα μεταμφιέννυσθαι· τὰς δὲ περὶ τὴν ἀκολασίαν ἠσχολημένας, ὄνων καὶ τῶν τοιούτων ἀναλαμβάνειν σώματα· οἱ μὲν κυρίως ἤκουσαν τοὺς λύκους καὶ τοὺς λέοντας καὶ τοὺς ὄνους· οἱ δὲ τροπικῶς αὐτὸν εἰρηκέναι διέγνωσαν τὰ ἤθη διὰ τῶν ζῴων παρεμφαίνοντα. Κρόνιος μὲν γὰρ ἐν τῷ «Περὶ παλιγγενεσίας» (οὕτω δὲ καλεῖ τὴν μετενσωμάτωσιν), λογικὰς πάσας εἶναι βούλεται· ὁμοίως δὲ καὶ **[584]** Θεόδωρος ὁ Πλατωνικὸς ἐν τῷ «Ὅτι ἡ ψυχὴ πάντα τὰ εἴδη ἐστί», καὶ Πορφύριος ὁμοίως· Ἰάμβλιχος δὲ τὴν ἐναντίαν τούτοις δραμών, κατ' εἶδος ζῴων ψυχῆς εἶδος εἶναι λέγει, ἤγουν, εἴδη διάφορα. Γέγραπται γοῦν αὐτῷ μονόβιβλον ἐπίγραφον, «Ὅτι οὐκ ἀπ' ἀνθρώπων εἰς ζῷα ἄλογα, οὐδὲ ἀπὸ ζῴων ἀλόγων εἰς ἀνθρώπους αἱ μετενσωματώσεις γίνονται, ἀλλὰ ἀπὸ ζῴων εἰς ζῷα, καὶ ἀπὸ ἀνθρώπων εἰς ἀνθρώπους». Καί μοι δοκεῖ μᾶλλον οὗτος, ἕνεκα τούτου, καλῶς κατεστοχάσθαι μὴ μόνον τῆς Πλάτωνος γνώμης, ἀλλὰ καὶ τῆς ἀληθείας αὐτῆς, ὡς ἔστιν ἐκ πολλῶν

μὲν καὶ ἄλλων ἐπιδεῖξαι, μάλιστα δὲ ἐκ τούτων. Οὐδεμίαν γὰρ τῶν λογικῶν κινήσεων ἐμφαίνεσθαι τοῖς ἀλόγοις ζῴοις. Οὔτε γὰρ τέχναι, οὔτε μαθήματα, οὔτε βουλαί, οὔτε ἀρεταί, οὔτε ἄλλο τι τῶν διανοητικῶν ἐν αὐτοῖς ἐστιν.

Ἐξ ὧν δῆλον, ὡς οὐ μέτεστι λογικῆς ψυχῆς αὐτοῖς. Καὶ γὰρ ἄτοπον, λέγειν τὰ ἄλογα λογικά. Εἰ γὰρ καὶ κομιδῇ νέοις οὖσι τοῖς βρέφεσιν ἡ ἄλογος μόνη κίνησις πρόσεστιν, ἀλλὰ ψυχὴν λογικήν φαμεν ἔχειν αὐτά, ἐπειδήπερ αὐξανόμενα τὴν λογικὴν ἀναδείκνυσιν ἐνέργειαν· τὸ δὲ ἄλογον, κατ᾽ οὐδεμίαν ἡλικίαν ἐμφαῖνον τὸ λογικόν, περιττῶς ἂν ἔσχε λογικὴν ψυχήν, ἀχρήστου παν[585]τελῶς μελλούσης ἔσεσθαι τῆς λογικῆς δυνάμεως. Καὶ γάρ, οὐδὲν περιττὸν παρὰ τοῦ Θεοῦ γεγενῆσθαι, συμφώνως πᾶσι συνωμολόγηται· εἰ δὲ τοῦτο, περιττῶς ἂν ἡ λογικὴ ψυχὴ τοῖς κτήνεσι καὶ τοῖς θηρίοις ἐγκατεβάλλετο, μηδέποτε δυναμένη τὸ ἑαυτῆς ἔργον ἐπιδείξασθαι· καὶ ἦν ἂν ἔγκλημα τοῦ δόντος ἀνάρμοστον ψυχὴν τῷ σώματι· οὔτε γὰρ τεχνίτου τοῦτο ἔργον, οὔτε τάξιν ἢ ἁρμονίαν εἰδότος· εἰ δέ τις λέγοι, κινεῖσθαι μὲν κατὰ διάθεσιν λογικῶς τὰ ζῷα, τὴν δὲ διάπλασιν αὐτῶν ἀνεπίδεκτον εἶναι τεχνικῆς πράξεως, πιστούμενος τὸν λόγον ἀπὸ τῶν ἀνθρώπων (περιαιρεθέντων γὰρ μόνων τῶν δακτύλων τῶν χειρῶν, τὰς πλείστας τέχνας παραπόλλυσθαι), οὐ λύει τὸ ζητούμενον· μένει γὰρ ἔτι τὸ αὐτὸ ἄτοπον, ὡς τοῦ Θεοῦ μὴ πρόσφορον ψυχὴν ἐναρμόσαντος τῷ σώματι, ἀλλὰ περιττὴν καὶ ἀνόνητον καὶ ἀνενέργητον, ἐμποδιζομένην διὰ πάσης τῆς ἡλικίας αὐτῶν εἰς τὰς οἰκείας ἐνεργείας, πρὸς τῷ καὶ τὸν λόγον αὐτοὺς κατασκευάζειν ἐξ ἀδήλων καὶ οὐχ ὁμολογουμένων. Πόθεν γάρ, ὅτι κατὰ διάθεσιν λογικῶς κινεῖται τὰ ζῷα; Βέλτιον οὖν, ἡγεῖσθαι πρόσφορον ἑκάστῳ σώματι ψυχὴν ἐνηρμόσθαι, καὶ μηδὲν πλέον ἔχειν κατὰ διάθεσιν τὰ ζῷα τῆς ἐμφαινομένης ἐν τοῖς ἔργοις αὐτῶν φυσικῆς ἁπλότητος.

Ἕκαστον γὰρ εἶδος τῶν ἀλόγων κατ᾽ οἰκείαν ὁρμὴν κινεῖται, πρὸς ἣν γέγονεν ἐξ ἀρχῆς χρείαν τε καὶ ἐνέργειαν· καὶ πρὸς ταῦτα καὶ τὴν διάπλασιν ἐπιτηδείαν ἔσχεν. Οὐ μὴν ἀβοήθητα παντάπασιν αὐτὰ καταλέλοιπεν ὁ Δημιουργός, ἀλλ᾽ ἑκάστῳ φυσικήν, οὐ λογικήν, ἐνέβαλε σύνεσιν· τισὶ δὲ καὶ πανουργίας ἐνέθηκεν, ὥσπερ τέχνης εἰκόνα καὶ σκιὰν λογικήν, δυοῖν τούτων ἕνεκεν, [588] ὑπὲρ τοῦ καὶ τὰς ἐνεστώσας ἐπιβουλὰς ἐκκλίνειν καὶ τὰς μελλούσας προφυλάττεσθαι, καὶ ἐπὶ τῷ συνάψαι τὴν κτίσιν πᾶσαν ἑαυτῇ, ὡς ἤδη εἴρηται. Ὅτι δὲ οὐ λογικῶς ταῦτα ποιεῖ, δῆλον ἐκ τοῦ κατ᾽ εἶδος ἕκαστον ζῷον ὁμοίως τὰ αὐτὰ ποιεῖν, καὶ μὴ διαλλάττειν αὐτῶν ἐν τῷ πλήθει τὰς ἐνεργείας, εἰ μὴ κατὰ τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ κατὰ μίαν ὁρμὴν ὅλον τὸ εἶδος κινεῖσθαι. Πᾶς γὰρ λαγωὸς ὁμοίως τεχνάζεται, καὶ πᾶς λύκος ὁμοίως πανουργεῖ, καὶ πᾶς πίθηκος ὁμοίως μιμεῖται, ὅπερ οὐκ ἔστιν ἐπ᾽ ἀνθρώπου. Μυρίαι γὰρ ὁδοὶ τῶν ἀνθρωπείων πράξεων. Ἐλεύθερον γάρ τι καὶ αὐτεξούσιον τὸ λογικόν· ὅθεν οὐχ ἓν καὶ ταὐτὸν πᾶσιν

ἔργον ἀνθρώποις, ὡς ἑκάστῳ εἴδει τῶν ἀλόγων ζῴων. Φύσει γὰρ μόνῃ ταῦτα κινεῖται· τὰ δὲ φύσει, ὁμοίως παρὰ πᾶσίν ἐστιν. Αἱ δὲ λογικαὶ πράξεις ἄλλαι παρ' ἄλλοις, καὶ οὐκ ἐξ ἀνάγκης αἱ αὐταὶ παρὰ πᾶσιν. Εἰ δὲ λέγοιεν, ἐπὶ τιμωρίᾳ τὴν ψυχὴν τῶν προημαρτημένων ἐν τῷ ἀνθρωπείῳ βίῳ εἰς τοιαῦτα σώματα καταπέμπεσθαι ἐκ τῶν ὕστερον ποιοῦνται τὴν ἀπόδειξιν. Διατὶ γὰρ εἰς τὰ πρῶτα γενόμενα σώματα τῶν ζῴων, ἐνεβλήθησαν λογικαὶ ψυχαί; οὐ γὰρ δήπου, ὡς ἐν σώμασιν ἀνθρωπείοις ἁμαρτήσασαι, πρὶν καὶ εἰς σῶμα γενέσθαι ἀνθρώπειον.

Ἔοικε δὲ ταύτῃ τῇ δόξῃ τίθεσθαι καὶ Γαληνός, ὁ θαυμάσιος ἰατρός, καὶ καθ' ἕκαστον εἶδος ζῴου, διάφορον εἶναι δοξάζειν καὶ ψυχῆς εἶδος. Λέγει γὰρ εὐθὺς ἐν ἀρχῇ τοῦ πρώτου βιβλίου τῆς «Περὶ χρείας μορίων» πραγματείας οὕτω· Καὶ εἰ τοῦτο, πολλὰ τῶν ζῴων ἔσται μόρια, τὰ μὲν **[589]** μείζω, τὰ δὲ ἐλάττω, τὰ δὲ παντάπασιν εἰς ἕτερον εἶδος ἄτμητα· χρεία δὲ πάντων αὐτῶν ἐστι τῇ ψυχῇ». Τὸ γὰρ σῶμα ταύτης ὄργανον, καὶ διὰ τοῦτο πολὺ διενήνοχεν ἀλλήλων τὰ μόρια τῶν ζῴων, ὅτι καὶ αἱ ψυχαί. Πάλιν δέ, προκόπτων ἐν τῷ αὐτῷ βιβλίῳ, προστίθησιν ἐπὶ τοῦ πιθήκου καὶ τοῦτο· «Καὶ μήν, ὦ σοφώτατε κατήγορε, λέξειεν ἡ φύσις πρὸς σέ, γελοίῳ τὴν ψυχὴν ζῴῳ γελοίαν ἐχρῆν δοθῆναι σώματος κατασκευήν»· οὕτως οἶδε τοῖς διαφόροις κατ' εἶδος σώμασι διαφόρους ἑνούσας ψυχάς. Καὶ ταῦτα μὲν περὶ τούτων. Εἰ δὲ τὴν ψυχὴν ἀπεδείξαμεν μήτε σῶμα οὖσαν, μήτε ἁρμονίαν, μήτε κρᾶσιν, μήτε ἄλλην τινὰ ποιότητα, δῆλον ἐκ τούτων, ὡς οὐσία τίς ἐστιν ἀσώματος ἡ ψυχή. Ὅτι μὲν γὰρ ἐστιν, ὡμολόγηται πᾶσιν· εἰ δὲ μήτε σῶμα, μήτε συμβεβηκός, δῆλον ὅτι ἀσώματός ἐστιν οὐσία καὶ οὐδὲν τῶν ἐχόντων ἐν ἄλλῳ τὸ εἶναι. Ταῦτα γὰρ καὶ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τῆς δὲ ψυχῆς χωριζομένης, τὸ σῶμα πάντως φθείρεται. Τοῖς αὐτοῖς δὲ χρησάμενόν ἐστιν ἀποδεῖξαι τὴν ψυχὴν ἀθάνατον οὖσαν. Εἰ γὰρ μήτε σῶμά ἐστιν (ὅπερ φύσει διαλυτὸν ἀπεδείχθη καὶ φθαρτὸν), μήτε ποιότης, μήτε ποσότης, μήτε ἄλλο τι τῶν φθειρομένων, δῆλον, ὅτι ἀθάνατός ἐστι. Πολλαὶ μὲν οὖν εἰσι τῆς ἀθανασίας αὐτῆς ἀποδείξεις παρά τε Πλάτωνι καὶ τοῖς ἄλλοις· ἀλλ' ἐκεῖναι μὲν περισκελεῖς καὶ δυσκατανόητοι καὶ μόλις τοῖς ἐντεθραμμένοις ἐκείναις ταῖς ἐπιστήμαις γνώριμοι· ἡμῖν δὲ ἀρκεῖ, πρὸς ἀπόδειξιν τῆς ἀθανασίας αὐτῆς, ἡ τῶν θείων λογίων διδασκαλία, τὸ πιστὸν ἀφ' ἑαυτῆς ἔχουσα, διὰ τὸ θεόπνευστος εἶναι· πρὸς δὲ τοὺς μὴ καταδεχομένους τὰ τῶν Χριστιανῶν γράμματα ἀρκεῖ, τὸ μηδὲν εἶναι τὴν ψυχὴν τῶν φθειρομένων ἀποδεῖξαι. Εἰ γὰρ μηδὲν ἔστι τῶν φθειρομένων, ἔστι δὲ ἄφθαρτος, ἔστι καὶ ἀθάνατος. Ὥστε τοῦτο μὲν ἀρκούντως ἔχον παραλειπτέον.

Κεφ. Γ'.

[592] *Περὶ ἑνώσεως ψυχῆς καὶ σώματος.*

Ζητητέον δέ, πῶς ψυχῆς καὶ σώματος ἀψύχου γίνεται ἕνωσις. Ἄπορον γὰρ τὸ πρᾶγμα. Εἰ δὲ μὴ μόνον ἐκ τούτων, ἀλλὰ καὶ τοῦ νοῦ συνέστηκεν ὁ ἄνθρωπος, ὡς βούλονταί τινες, ἔτι πλέον ἀπορώτερον· εἰ δὲ καὶ ἄλλο παρὰ ταῦτά ἐστιν ὁ ἄνθρωπος, ὡς εἶπόν τινες, οὐδεμία λύσις τούτων. Πάντα γὰρ τὰ συνιόντα εἰς μιᾶς οὐσίας ὑπόστασιν πάντως ἑνοῦται· πάντα δὲ τὰ ἑνούμενα ἀλλοιοῦται, καὶ οὐ μένει, ἃ πρότερον ἦν, ὡς ἐπὶ τῶν στοιχείων δειχθήσεται· ἑνωθέντα γὰρ ἄλλο τι γέγονε. Πῶς οὖν, ἢ τὸ σῶμα ἡνωμένον τῇ ψυχῇ ἔτι μένει σῶμα, ἢ πάλιν ἡ ψυχή, ἀσώματος οὖσα καὶ οὐσιώδης καθ' ἑαυτὴν [πῶς] ἑνοῦται σώματι καὶ μέρος γίνεται τοῦ ζῴου, σῴζουσα τὴν ἰδίαν οὐσίαν ἀσύγχυτον καὶ ἀδιάφθορον; Ἀνάγκη γάρ, ἢ ἡνῶσθαι τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ συνηλλοιῶσθαι καὶ συνεφθάρθαι ἀμφότερα, ὡς τὰ στοιχεῖα· ἢ μὴ ἡνῶσθαι μέν, διὰ τὰς προειρημένας ἀτοπίας, παρακεῖσθαι δέ, ὡς χορευτὰς ἐν χορῷ, ἢ ψῆφον ψήφῳ· ἢ κεκρᾶσθαι, ὡς οἶνον καὶ ὕδωρ. Ἀλλ' ὅτι μὲν οὐ δύναται παρακεῖσθαι τῷ σώματι ἡ ψυχή, ἐν τῷ «Περὶ ψυχῆς» ἀποδέδεικται. Ἦν γὰρ ἂν μόνον αὐτὸ τὸ μέρος τοῦ σώματος ἔμψυ**[593]**χον, τὸ πλησιάζον τῇ ψυχῇ· τὸ δὲ μὴ συνημμένον, ἄψυχον· πρὸς τῷ μὴ δύνασθαι ἓν λέγειν εἶναι τὰ κατὰ παράθεσιν, ὡς ξύλα, φέρε εἰπεῖν, ἢ σίδηρον, ἤ τι τοιοῦτον. Καὶ ἡ κρᾶσις δὲ τοῦ οἴνου καὶ τοῦ ὕδατος ἀμφότερα συνδιαφθείρει. Οὔτε γὰρ ὕδωρ ἐστὶ καθαρὸν τὸ κρᾶμα, οὔτε οἶνος· καίτοι τῆς τοιαύτης κράσεως κατὰ παράθεσιν γινομένης, λανθάνουσαν τὴν αἴσθησιν διὰ τὸ λεπτομερὲς τῶν κεκραμένων· δῆλον δὲ ἐκ τοῦ πάλιν ἀπ' ἀλλήλων δύνασθαι χωρίζεσθαι· σπόγγος γοῦν ἐλαιωθεὶς ἀνιμᾶται καθαρὸν τὸ ὕδωρ, καὶ πάπυρος· αἰσθητῶς δὲ χωρίσαι τὰ ἀκριβῶς ἡνωμένα παντάπασιν ἀδύνατον· εἰ δὲ μήτε ἥνωται, μήτε παράκειται, μήτε κέκραται, τίς ὁ λόγος τοῦ τὸ ζῷον ἓν λέγεσθαι;

Πλάτων μὲν οὖν καὶ διὰ ταύτην τὴν ἀπορίαν οὐ βούλεται τὸ ζῷον ἐκ ψυχῆς εἶναι καὶ σώματος· ἀλλὰ ψυχὴν σώματι κεχρημένην, καὶ ὥσπερ ἐνδεδυμένην τὸ σῶμα. Ἔχει δὲ καὶ οὗτος ὁ λόγος ἄπορόν τι. Πῶς γὰρ ἓν εἶναι δύναται μετὰ τοῦ ἐνδύματος ἡ ψυχή; οὐ γὰρ ἓν ὁ χιτὼν μετὰ τοῦ ἐνδεδυμένου. Ἀμμώνιος δὲ ὁ διδάσκαλος Πλωτίνου τὸ ζητούμενον τοῦτον τὸν τρόπον ἐπελύετο. Ἔλεγε [γὰρ] τὰ νοητὰ τοιαύτην ἔχειν φύσιν, ὡς καὶ ἑνοῦσθαι τοῖς δυναμένοις αὐτὰ δέξασθαι, καθάπερ τὰ συνεφθαρμένα, καὶ ἑνούμενα μένειν ἀσύγχυτα καὶ ἀδιάφθορα, ὡς τὰ παρακείμενα. Ἐπὶ μὲν γὰρ τῶν σωμάτων ἡ ἕνωσις ἀλλοίωσιν τῶν συνιόντων πάντως ἐργάζεται, ἐπειδήπερ εἰς ἄλλα σώματα μεταβάλλεται, ὡς τὰ στοιχεῖα εἰς τὰ συγκρίματα, καὶ αἱ τροφαὶ εἰς αἷμα, τὸ δὲ αἷμα **[596]** εἰς σάρκα καὶ τὰ λοιπὰ μόρια τοῦ σώματος· ἐπὶ δὲ τῶν νοητῶν ἕνωσις μὲν γίνεται, ἀλλοίωσις δὲ οὐ παρακολουθεῖ.

Οὐ γὰρ πέφυκε τὸ νοητὸν κατ' οὐσίαν ἀλλοιοῦσθαι· ἀλλ' ἢ ἐξίσταται, ἢ εἰς τὸ μὴ ὂν φθείρεται, μεταβολὴν δὲ οὐκ ἐπιδέχεται· ἀλλ' οὔτε εἰς τὸ μὴ ὂν φθείρεται· οὐ γὰρ ἂν ἦν ἀθάνατον. Καὶ ἡ ψυχή, ζωὴ οὖσα, εἰ ἐν τῇ κράσει μετεβάλλετο, ἠλλοιώθη ἂν καὶ οὐκ ἔτι ἦν ζωή. Τί δὲ συνεβάλλετο τῷ σώματι, εἰ μὴ παρεῖχεν αὐτῷ τὴν ζωήν; οὐκ ἄρα ἀλλοιοῦται ἡ ψυχὴ ἐν τῇ ἑνώσει. Δεδειγμένου τοίνυν τούτου, ὅτι τὰ νοητὰ ἀναλλοίωτα κατ' οὐσίαν ἐστίν, ἀναγκαίως παρακολουθεῖ τὸ καὶ ἑνούμενα αὐτὰ μὴ συνδιαφθείρεσθαι, οἷς ἥνωνται. Καὶ ἥνωται τοίνυν καὶ ἀσυγχύτως ἥνωται τῷ σώματι ἡ ψυχή. Ὅτι μὲν γὰρ ἥνωται, ἡ συμπάθεια δείκνυσι· συμπαθεῖ γὰρ ὅλον ἑαυτῷ τὸ ζῷον, ὡς ἓν ὄν· ὅτι δὲ καὶ ἀσύγχυτος μένει, δῆλον ἐκ τοῦ τὴν ψυχὴν τρόπον τινὰ χωριζομένην τοῦ σώματος ἐν τῷ ὕπνῳ, καὶ ὥσπερ νεκρὸν αὐτὸ κεῖσθαι καταλείπουσαν, μόνον δὲ ἐξατμίζουσαν αὐτῷ τὴν ζωήν, ἵνα μὴ παντελῶς ἀπόληται, καθ' ἑαυ**[597]**τὴν ἐν τοῖς ὀνείροις ἐνεργεῖν, θεσπίζουσαν τὸ μέλλον, καὶ τοῖς νοητοῖς πλησιάζουσαν. Τὸ αὐτὸ δὲ συμβαίνει καὶ ὅταν καθ' ἑαυτὴν ἐπισκέπτηταί τι τῶν νοητῶν. Καὶ τότε γάρ, ὡς οἷόν τε, τοῦ σώματος ἑαυτὴν χωρίζει καὶ καθ' ἑαυτὴν γίνεται, ἵν' οὕτως ἐπιβάλῃ τοῖς οὖσιν. Ἀσώματος γὰρ οὖσα, δι' ὅλου κεχώρηκεν, ὡς τὰ συνεφθαρμένα, μένουσα ἀδιάφθορος, ὡς τὰ ἀσύγχυτα, καὶ τὸ καθ' ἑαυτὴν ἓν διασῴζουσα, καὶ ἐν οἷς ἂν γένηται, τρέπουσα ἐκεῖνα κατὰ τὴν ἑαυτῆς ζωήν, καὶ μὴ τρεπομένη ὑπ' ἐκείνων.

Ὡς γὰρ ὁ ἥλιος τῇ παρουσίᾳ αὐτοῦ τὸν ἀέρα εἰς φῶς μεταβάλλει, ποιῶν αὐτὸν φωτοειδῆ, καὶ ἑνοῦται τῷ ἀέρι τὸ φῶς, ἀσυγχύτως ἅμα καὶ κεχυμένως· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχή, ἑνουμένη τῷ σώματι, μένει παντελῶς ἀσύγχυτος· κατὰ τοῦτο μόνον διαλλάττουσα, ὅτι ὁ μὲν ἥλιος, σῶμα ὢν καὶ τόπῳ περιγραφόμενος, οὐκ ἔστι πανταχοῦ, ἔνθα καὶ τὸ φῶς αὐτοῦ, ὡς οὐδὲ τὸ πῦρ· μένει γὰρ καὶ αὐτὸ ἐν τοῖς ξύλοις ἢ ἐν τῇ θρυαλλίδι δεδεμένον, ὡς ἐν τόπῳ· ἡ δὲ ψυχή, ἀσώματος οὖσα καὶ μὴ περιγραφομένη τόπῳ, ὅλη δι' ὅλου **[600]** χωρεῖ καὶ τοῦ φωτὸς ἑαυτῆς, καὶ τοῦ σώματος, καὶ οὐκ ἔστι μέρος φωτιζόμενον ὑπ' αὐτῆς, ἐν ᾧ μὴ ὅλη πάρεστιν. Οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος, ἀλλ' αὐτὴ κρατεῖ τὸ σῶμα· οὐδὲ ἐν τῷ σώματί ἐστιν, ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ, ἀλλὰ μᾶλλον τὸ σῶμα ἐν αὐτῇ. Μὴ κωλυόμενα γὰρ ὑπὸ τῶν σωμάτων τὰ νοητά, ἀλλὰ διὰ παντὸς σώματος χωροῦντα καὶ διαφοιτῶντα καὶ διεξιόντα, οὐχ οἷά τέ ἐστιν ὑπὸ τόπου σωματικοῦ κατέχεσθαι. Νοητὰ γὰρ ὄντα ἐν νοητοῖς καὶ τόποις ἐστίν, ἢ γὰρ ἐν ἑαυτοῖς, ἢ ἐν τοῖς ὑπερκειμένοις νοητοῖς· ὡς ἡ ψυχὴ ποτὲ μὲν ἐν ἑαυτῇ ἐστιν, ὅταν λογίζηται, ποτὲ δὲ ἐν τῷ νῷ, ὅταν νοῇ. Ἐπὰν οὖν ἐν σώματι λέγηται εἶναι, οὐχ ὡς ἐν τόπῳ τῷ σώματι λέγεται εἶναι, ἀλλ' ὡς ἐν σχέσει, καὶ τῷ παρεῖναι, ὡς λέγεται ὁ Θεὸς ἐν ἡμῖν. Καὶ γὰρ τῇ σχέσει καὶ τῇ πρός τι ῥοπῇ καὶ διαθέσει, δεδέσθαι φαμὲν ὑπὸ τοῦ σώματος τὴν ψυχήν, ὡς λέγομεν ὑπὸ τῆς ἐρωμένης δεδέσθαι τὸν ἐραστήν, οὐ σωματικῶς, οὐδὲ τοπικῶς, ἀλλὰ κατὰ σχέσιν. Ἀμέγεθες γὰρ [τι] ὂν καὶ

ἄογκον καὶ ἀμερὲς [ἡ ψυχὴ πρᾶγμα], τῆς κατὰ μέρος τοπικῆς περιγραφῆς κρεῖττόν ἐστι. Τὸ γὰρ μὴ ἔχον μέρος, ποίῳ δύναται τόπῳ περιγράφεσθαι; Ὄγκῳ γὰρ τόπος συνυφίσταται. Τόπος γάρ ἐστι πέρας τοῦ περιέχοντος, καθ' ὃ περιέχει τὸ περιεχόμενον. Εἰ δέ τις λέγοι Οὐκοῦν καὶ ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ῥώμῃ ἐστὶ καὶ πανταχοῦ ἡ ἐμὴ ψυχή, λανθάνει ἑαυτὸν πάλιν τόπον λέγων. Καὶ γὰρ τὸ ἐν Ἀλεξανδρείᾳ καὶ ὅλως τὸ ἐν τῷδε τόπος ἐστίν. Ἐν τόπῳ δὲ ὅλως οὐκ ἔστιν, ἀλλ' ἐν σχέσει. Δέδεικται γὰρ μὴ δύνασθαι περιληφθῆναι τόπῳ.

[601] Ὅταν οὖν ἐν σχέσει γένηται τὸ νοητὸν τόπου τινὸς ἢ πράγματος, ἐν τόπῳ ὄντος, καταχρηστικώτερον λέγομεν, ἐκεῖ αὐτὸ εἶναι, διὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐκεῖ, τὸν τόπον ἀντὶ τῆς σχέσεως καὶ τῆς ἐνεργείας λαμβάνοντες. Δέον γὰρ λέγειν, Ἐκεῖ ἐνεργεῖ, λέγομεν· Ἐκεῖ ἔστιν. Ἁρμόσειε δ' ἂν οὗτος ὁ λόγος καθαρώτερον καὶ μάλιστα τῇ πρὸς τὸν ἄνθρωπον ἑνώσει τοῦ Θεοῦ Λόγου, καθ' ἣν ἑνωθεὶς ἔμεινεν ἀσύγχυτος καὶ ἀπερίληπτος, οὐ κατὰ τὸν τῆς ψυχῆς τρόπον. Ἐκείνη μὲν γάρ, τῶν πεπληθυσμένων οὖσα, δοκεῖ καὶ συμπάσχειν πως δι' οἰκειότητα τῷ σώματι, καὶ κρατεῖν ἔσθ' ὅτε, καὶ κρατεῖσθαι· ὁ δὲ Θεὸς Λόγος, οὐδὲν αὐτὸς ἀπὸ τῆς κοινωνίας τῆς περὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀλλοιούμενος, οὐδὲ μετέχων τῆς ἐκείνων ἀσθενείας, μεταδιδοὺς δὲ αὐτοῖς τῆς ἑαυτοῦ θεότητος, γίνεται σὺν αὐτοῖς ἕν, μένων ἐν ᾧπερ ἦν καὶ πρὸ τῆς ἑνώσεως· καινότερος οὗτος ὁ τρόπος τῆς κράσεως ἢ ἑνώσεως· καὶ κιρνᾶται καὶ μένει παντάπασιν ἄμικτος καὶ ἀσύγχυτος καὶ ἀδιάφθορος καὶ ἀμετάβλητος, οὐ συμπάσχων, ἀλλὰ συμπράττων μόνον, οὐδὲ συμφθειρόμενος καὶ συναλλοιούμενος, ἀλλὰ συναυξάνων μὲν ἐκεῖνα, αὐτὸς δὲ μὴ μειούμενος ὑπ' αὐτῶν, πρὸς τῷ μένειν ἄτρεπτος καὶ ἀσύγχυτος, ἐπειδὴ [καὶ] καθαρῶς πάσης ἀλλοιώσεως ἀμέτοχός ἐστι. Μάρτυς [δὲ] τούτου ἐστὶ Πορφύριος, ὁ κατὰ τοῦ **[604]** Χριστοῦ κινήσας τὴν ἑαυτοῦ γλῶσσαν. Ἰσχυραὶ δὲ τῶν ἐχθρῶν αἱ «ὑπὲρ ἡμῶν» μαρτυρίαι, καὶ μηδεμίαν ἀντιλογίαν ἐπιδεχόμεναι. Οὗτος τοίνυν ὁ Πορφύριος ἐν τῷ δευτέρῳ λόγῳ [τῷ «Περὶ] τῶν συμμίκτων ζητημάτων» γράφει κατὰ λέξιν οὕτως· «Οὐκ ἀπογνωστέον οὖν, ἐνδέχεσθαί τινα οὐσίαν παραληφθῆναι εἰς συμπλήρωσιν ἑτέρας οὐσίας, καὶ εἶναι μέρος οὐσίας, μένουσαν κατὰ τὴν ἑαυτῆς φύσιν, μετὰ τὸ συμπληροῦν ἄλλην οὐσίαν, ἕν τε σὺν ἄλλῳ γενομένην, καὶ τὸ καθ' ἑαυτὴν ἓν διασῴζουσαν· καὶ τὸ μεῖζον, αὐτὴν μὲν τὴν τρεπομένην, τρέπουσαν δὲ ἐκεῖνα, ἐν οἷς ἂν γίγνηται, εἰς τὴν ἑαυτῆς ἐνέργειαν τῇ παρουσίᾳ». Λέγει δὲ ταῦτα περὶ τῆς ἑνώσεως τῆς ψυχῆς καὶ τοῦ σώματος.

Εἰ δὲ ἐπὶ τῆς ψυχῆς ἀληθὴς ὁ λόγος, διὰ τὸ ἀσώματον, πολλῷ πλέον ἐπὶ τοῦ Θεοῦ Λόγου, τοῦ μᾶλλον ἀσυγκρίτως καὶ κατὰ ἀλήθειαν ὄντος ἀσωμάτου. Ὅπερ ἄντικρυς ἀποφράττει τὰ στόματα τῶν ἐπιχειρούντων κατηγορεῖν τῆς τοῦ Θεοῦ ἑνώσεως πρὸς τὸν ἄνθρωπον. Τοῦτο γὰρ Ἑλλήνων οἱ πολλοὶ γέλωτα ποιοῦνται, φάσκοντες, **[605]** ἀδύνατον καὶ ἀπίθανον καὶ ἀπρεπὲς εἶναι, συγγενέσθαι θνητῇ

φύσει τὸ Θεῖον κατὰ κρᾶσιν καὶ ἕνωσιν· ἀλλ' ἡμεῖς τοῖς εὐδοκίμοις αὐτῶν χρησάμενοι μάρτυσιν, ἀποδυόμεθα τὴν αἰτίαν. Λέγεται δὲ παρά τισι, καὶ μάλιστα παρὰ τοῖς Εὐνομιανοῖς, ἡνῶσθαι τὸν Θεὸν Λόγον τῷ σώματι, οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰς ἑκατέρου δυνάμεις. Οὐ γὰρ εἶναι τὰς οὐσίας, τὰς ἑνωθείσας ἢ κραθείσας, ἀλλὰ τὰς δυνάμεις τοῦ σώματος ταῖς δυνάμεσι ταῖς θείαις συγκεκρᾶσθαι· δυνάμεις δὲ τοῦ σώματος, πάντως δήπου τοῦ ὀργανικοῦ, κατὰ Ἀριστοτέλην, λέγουσιν εἶναι τὰς αἰσθήσεις. Ταύταις οὖν αἱ θεῖαι δυνάμεις συγκιρνάμεναι τὴν ἕνωσιν ἀπειργάσαντο κατ' αὐτούς· οὐδεὶς δὲ ἂν αὐτοῖς, οἶμαι, συγχωρήσειε, τὰς αἰσθήσεις σωματικὰς δυνάμεις ἀποφαινομένοις. Διώρισται γὰρ ἐν τοῖς ἔμπροσθεν σαφῶς, τίνα μὲν ἴδια σώματος, τίνα δὲ ψυχῆς, τίνα δὲ τοῦ συναμφοτέρου· καὶ ἐν τοῖς ἰδίοις τοῦ συναμφοτέρου τὰς δι' ὀργάνων αἰσθήσεις ἐτίθεμεν· αὐτὰ δὲ τὰ ὄργανα τοῦ σώματος ἐλέγομεν εἶναι. Βέλτιον οὖν, ὡς προείρηται, κατὰ τὴν οἰκείαν φύσιν τῶν ἀσωμάτων ἀσυγχύτως τὴν ἕνωσιν γίνεσθαι τῶν οὐσιῶν, μηδὲν παραβλαπτομένης τῆς θειοτέρας ἐκ τῆς ὑποδεεστέρας· ἀλλὰ ταύτης μόνον ὠφελουμένης ἐκ τῆς θειοτέρας· ἐπείπερ ἡ καθαρῶς ἀσώ-**[608]**ματος φύσις, χωρεῖ μὲν ἀκωλύτως διὰ πάντων, δι' αὐτῆς δὲ οὐδέν· ὥστε τῷ μὲν χωρεῖν αὐτὴν διὰ πάντων, ἡνῶσθαι· τῷ δὲ μηδὲν δι' αὐτῆς, μένειν ἄμικτον καὶ ἀσύγχυτον. Οὐκ εὐδοκία τοίνυν ὁ τρόπος τῆς ἑνώσεως, ὥς τισι τῶν ἐνδόξων ἀνδρῶν δοκεῖ, ἀλλ' ἡ φύσις αἰτία. Τὸ μὲν γὰρ ἀναλαβεῖν σῶμα, κατ' εὐδοκίαν εἴποι τις ἂν εὐλόγως γεγενῆσθαι· τὸ δὲ ἑνούμενον μὴ συγχυθῆναι, κατὰ τὴν οἰκείαν τοῦ Θεοῦ φύσιν, οὐ κατ' εὐδοκίαν γίνεται. Τοὺς γὰρ βαθμοὺς τῶν ψυχῶν καὶ τὰς ἀναβάσεις καὶ καταβάσεις, ἃς Ὠριγένης εἰσάγει, μηδὲν προσηκούσας ταῖς θείαις Γραφαῖς, μηδὲ συνᾳδούσας τοῖς τῶν Χριστιανῶν δόγμασι, παραλειπτέον.

Κεφ. Δ'.

Περὶ σώματος.

Πᾶν σῶμα τῶν τεσσάρων στοιχείων ἐστὶ σύγκριμα, καὶ ἐκ τούτων γέγονε· προσεχῶς δὲ τὰ τῶν ἐναίμων ζῴων, ἐκ τῶν τεσσάρων χυμῶν, αἵματος, φλέγματος, ξανθῆς τε χολῆς καὶ μελαίνης· τὰ δὲ τῶν ἀναίμων, ἔκ τε τῶν ἄλλων χυμῶν, καὶ ἐκ τοῦ ἀναλογοῦντος ἐν αὐτοῖς τῷ αἵματι. Προσεχῶς δὲ λέγεται, ὅταν ἀμέσως ἐξ αὐτῶν ἐκείνων τι γίνηται· ὡς εἶναι τῶν μὲν τεσσάρων στοιχείων σύγκριμα τοὺς τέσσαρας χυμούς· τῶν δὲ χυμῶν, τὰ ὁμοιομερῆ, ἅ ἐστι μόρια τοῦ σώματος. Εἰκάζουσι δέ, τῇ μὲν γῇ, τὴν μέλαιναν χολήν· τῷ δὲ ὕδατι, τὸ φλέγμα· τῷ δὲ ἀέρι, τὸ αἷμα· τῷ δὲ πυρί, τὴν ξανθὴν χολήν. Πᾶν δὲ σύγκριμα στοιχείων, ἢ στερεόν ἐστιν, ἢ ὑγρόν, ἢ πνεῦμα. Ἀριστοτέλης δὲ προσεχῶς ἐξ αἵματος μόνου βούλεται γίνεσθαι τὰ σώματα τῶν ζῴων. Ἐκ τούτου γὰρ καὶ **[609]** τρέφεσθαι προσεχῶς καὶ αὐξάνεσθαι

πάντα τὰ τοῦ ζῴου μόρια· καὶ τὸ σπέρμα δὲ τὴν γένεσιν ἐξ αἵματος ἔχειν. Ἀλλ' ἐπείπερ ἐξ ἑνὸς καὶ τοῦ αὐτοῦ οὐκ ἐδόκει καλῶς ἔχειν, τά τε σκληρότατα ὀστέα καὶ τὴν ἁπαλωτάτην σάρκα τε καὶ πιμελὴν γίνεσθαι· ἤρεσεν Ἱπποκράτει πρώτῳ, τὰ σώματα τῶν ζῴων ἐκ τῶν τεσσάρων χυμῶν συμπήγνυσθαι προσεχῶς· ἵν' ἐκ μὲν τῶν γεωδεστέρων καὶ παχυμερεστέρων τὰ στερεώτερα γίνωνται, ἐκ δὲ τῶν μαλακωτέρων τὰ μαλακά. Εὑρίσκονται δὲ πολλάκις οἱ τέσσαρες ἐν τῷ αἵματι χυμοί, ὡς ἔστιν ἰδεῖν ἐν ταῖς φλεβοτομίαις, ποτὲ μὲν τοῦ ὀῤῥώδους φλέγματος πλεονάζοντος ἐν αὐτῷ, ποτὲ δὲ τῆς μελαίνης ἢ ξανθῆς χολῆς· ὅθεν δοκοῦσί πως [ἐν τούτῳ] ἀλλήλοις συμφωνεῖν οἱ ἄνδρες. Ἔστι δὲ τῶν ἐν τοῖς ζῴοις μερῶν, τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ· [οἷον] ὁμοιομερῆ μέν, ἐγκέφαλος, μήνιγγες, νεῦρον, μυελός, ὀστέον, ὀδούς, χόνδρος, ἀδένες, σύνδεσμοι, ὑμένες, ἶνες, τρίχες, ὄνυχες, σάρκες, φλέβες, ἀρτηρίαι, πόροι, πιμελή, δέρμα, καὶ τὰ οἱονεὶ στοιχεῖα προσεχῆ τούτων, αἷμα, καθὸ αἷμα καθαρόν, φλέγμα, χολὴ μέλαινα καὶ ξανθή. Ὁ γὰρ τένων σύνθετός ἐστιν ἔκ τε συνδέσμων καὶ νευρωδῶν ἰνῶν· ἀνομοιομερῆ δέ, κεφαλή, θώραξ, χεῖρες, πόδες, καὶ τὰ ἄλλα μέλη τοῦ ἀνθρώπου. Οὐ γὰρ εἰς κεφαλὴν διαιρεῖται ἡ κεφαλή, ὥσπερ τὸ νεῦρον εἰς νεῦρον, καὶ ἡ φλὲψ εἰς **[612]** φλέβα, καὶ ἡ σὰρξ εἰς σάρκα· πᾶν δὲ ἀνομοιομερὲς ἐξ ὁμοιομερῶν συνέστηκεν, ὡς ἡ κεφαλή, ἐκ νεύρων καὶ σαρκῶν καὶ ὀστέων καὶ τῶν τοιούτων· καλοῦσι δὲ ταῦτα καὶ ὀργανικά.

Ὅρος δὲ ὁμοιομερῶν οὗτος· ὧν τὰ μόρια τῷ τε ὅλῳ καὶ ἀλλήλοις ἐστὶν ὅμοια· τὸ δὲ ὅμοιον νῦν ἀντὶ τοῦ ταὐτὸν δεῖ λαμβάνειν. Οὐ πᾶν δὲ ζῷον πάντα τὰ μόρια τοῦ σώματος κέκτηται· ἀλλ' ἔστιν ἔνια κολοβά. Τὰ μὲν γάρ ἐστιν ἄποδα, ὡς ἰχθύες καὶ ὄφεις· τὰ δὲ ἀκέφαλα, ὡς καρκίνοι καὶ κάραβοι καὶ τῶν νηκτῶν ἔνια· ἐν γὰρ τῷ στήθει τὰ αἰσθητήρια ἔχουσι, διὰ τὸ μὴ ἔχειν κεφαλήν· τὰ δὲ πνεύμονος ἐστέρηται, ὅσα μὴ ἀναπνεῖ τὸν ἀέρα· τὰ δὲ κύστιν οὐκ ἔχει, ὡς ὄρνιθες καὶ πάντα τὰ μὴ οὐροῦντα· τὰ δὲ ὀστρακόδερμα τῶν πλείστων ἀμοιρεῖ μελῶν· ἐν ὀλίγοις γὰρ αὐτοῖς τὸ εἶναι ζῴοις ὑπάρχει· δοκεῖ δέ τινα, καίπερ ἔχοντα μὴ ἔχειν· ὡς ἔλαφοι δοκοῦσι μὴ ἔχειν τὴν ξανθὴν χολήν, ἐπειδήπερ ἐν τοῖς ἐντέροις ἔχουσιν αὐτὴν διεσπαρμένην καὶ ἀφανῆ· ὁ δὲ ἄνθρωπος, καὶ πάντα καὶ τέλεια, καί, ὡς οὐκ ἂν ἄλλως ἐνδέχοιτο καλῶς, ἔχει πάντα. Οὕτω δὲ καὶ κατὰ τὴν θέσιν τῶν μορίων πολλὴ ἡ διαφορὰ τοῖς ζῴοις. Τὰ μὲν γὰρ ἔχει τοὺς μαστοὺς ἐν τῷ στήθει· τὰ δέ, ἐν τῇ κοιλίᾳ· τά δέ, ὑπὸ τοὺς μηρούς· καὶ τὰ μὲν δύο, τὰ δὲ τέσσαρας, τὰ δὲ πλείους. Σχεδὸν γὰρ συνεμέτρησεν ἡ φύσις τῷ τῶν γεννωμένων ἀριθμῷ τὸ πλῆθος τῶν μαστῶν. Εἰ δέ τις ἀκριβῶς ἐκλέγειν ταῦτα βούλοιτο, τὴν «Περὶ ζῴων» ἱστορίαν Ἀριστοτέλους ἀναγινωσκέτω. Οὐ γὰρ τῆς προκειμένης γραφῆς ἀκριβοῦν ἐστι ταῦτα· ἀλλ' οἷον ὑπογραφάς τινας καὶ τύπους ἐκτίθεσθαι. Μετέλθωμεν οὖν ἐπὶ τὸν περὶ τῶν στοιχείων λόγον, ἐξ ἀκολουθίας ἐπιζητούμενον.

Κεφ. Ε'.

Περὶ στοιχείων.

Τὸ στοιχεῖον τὸ κοσμικόν ἐστι μέρος ἐλάχιστον **[613]** τοῦ συγκρίματος τῶν σωμάτων· εἰσὶ δὲ στοιχεῖα τέσσαρα, γῆ, ὕδωρ, ἀήρ, πῦρ, συντεταγμένα κατὰ τὴν εἰρημένην τάξιν, ἀπὸ τῶν κάτωθεν ἐπὶ τὰ ἄνω, σώματα καὶ αὐτὰ ὄντα πρῶτά τε καὶ ἁπλᾶ, ὡς πρὸς τὰ ἄλλα σώματα. Καὶ γὰρ πᾶν στοιχεῖον ὁμογενές ἐστι τοῖς, ὧν ἐστι στοιχεῖον. Ἡ μὲν γὰρ ἀρχὴ οὐχ ὁμογενὴς τοῖς ἐξ αὐτῆς· τὸ δὲ στοιχεῖον πάντως ὁμογενές. Ἀλλ' ὅτι μὲν γῆ καὶ ὕδωρ, ἀήρ τε καὶ πῦρ ἐστι τὰ στοιχεῖα, δῆλον. Καὶ γὰρ ἐν τούτοις ἄκραι αἱ ποιότητες δυνάμει καὶ ἐνεργείᾳ φαίνονται· οὐ μὴν τῶν αἰσθητῶν τι τούτων στοιχείων ἄκρατον καὶ ἀνεπίμικτόν ἐστιν ἑτέρου στοιχείου· νενόθευται γὰρ ἠρέμα πως ἅπαντα ταῦτα, καὶ μετείληφεν ἀλλήλων μᾶλλον καὶ ἧττον· ἀλλὰ καὶ ἐν τῇ μίξει κατάδηλός ἐστιν ἡ φύσις αὐτῶν. Ἕκαστον δὲ τῶν στοιχείων κατὰ συζυγίαν δύο ποιότητας ἔχει τὰς εἰδοποιούσας αὐτό. Ἔστι γὰρ ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρά, τὸ δὲ ὕδωρ, ψυχρὸν καὶ ὑγρόν· ὁ δὲ ἀήρ, ὑγρὸς καὶ θερμὸς κατὰ τὴν ἑαυτοῦ φύσιν· τὸ δὲ πῦρ, θερμὸν καὶ ξηρόν. Οὐ μὴν αἱ ποιότητες καθ' ἑαυτὰς εἶναι δύνανται στοιχεῖα. Οὐ γὰρ ἐκ ποιοτήτων ἀσωμάτων οἷόν τε συστῆναι σώματα, ἀλλ' οὐδὲ τἆλλα σώματα, μὴ ἄκραν ἔχοντα καὶ κατ' ἐνέργειαν τὴν ποιότητα, δυνατὸν εἶναι στοιχεῖα. Ἦν γὰρ ἂν ἄπειρα τὰ στοιχεῖα, πάντων τῶν ὄντων τὴν κατὰ τὸ μᾶλλον καὶ ἧττον ποιότητα κεκτημένων, καὶ οὐ δυναμένων διακριθῆναι, ποῖα ποίων ἐστί στοιχεῖα. Ἀνάγκη τοίνυν εἶναι τὸ στοιχεῖον καὶ σῶμα, καὶ ἁπλοῦν σῶμα, καὶ κατ' ἐνέργειαν ἔχον ἄκρας τὰς ποιότητας, λέγω δέ, θερμότητα, ψυχρότητα, ὑγρότητα καὶ ξηρότητα. Αὗται γὰρ μόναι τῶν ποιοτήτων ὅλην δι' ὅλου μεταβάλλουσι τὴν οὐσίαν· τῶν δὲ ἄλλων ποιοτήτων οὐδὲ μία τοῦτο δρᾷ. Οὔτε γὰρ τὸ λευκόν, πλησιάζον σώματι, λευκαίνει αὐτὸ διόλου, ὡς τὸ θερ**[616]**μὸν θερμαίνει καὶ τὸ ψυχρὸν ψύχει, οὔτε δὲ τῶν ἄλλων οὐδέν. Ἐναντία δὲ ἀλλήλοις ἐστὶ τὰ στοιχεῖα, τὰ κατὰ τὰς δύο ποιότητας ἐναντία, ὡς τὸ ὕδωρ τῷ πυρί, ψυχρὸν ὂν καὶ ὑγρόν, θερμῷ ὄντι καὶ ξηρῷ· καὶ ἡ γῆ τῷ ἀέρι, ψυχρὰ οὖσα καὶ ξηρά, τῷ θερμῷ καὶ ὑγρῷ.

Ἐπειδὴ δὲ τὰ ἐναντία συνάπτεσθαι ἀλλήλοις οὐκ ἠδύνατο, μὴ μέσου τινὸς δεσμοῦ τεταγμένου, τοῦ συνδέοντος αὐτά, ἔταξεν ὁ Δημιουργὸς ἐν μέσῳ μὲν τῆς γῆς καὶ τοῦ ἀέρος, ἐναντίων ὄντων, τὸ ὕδωρ, δοὺς αὐτῷ δύο ποιότητας, ψυχρότητα καὶ ὑγρότητα, καθ' ἃς ἠδύνατο τοῖς ἄκροις συναπτόμενον συνδεῖν αὐτά. Τῷ μὲν γὰρ ψυχρῷ συνοικειοῦται τῇ γῇ· τῷ δὲ ὑγρῷ συνάπτεται τῷ ἀέρι. Πάλιν μέσον τοῦ ὕδατος καὶ τοῦ πυρός, ἐναντίων ὄντων καὶ αὐτῶν, ἔταξε τὸν ἀέρα, τῇ μὲν ὑγρᾷ ποιότητι οἰκειούμενον τῷ ὕδατι, τῇ δὲ θέρμῃ τῷ πυρί· καὶ οὕτω τὰ ἐναντία συνῆψεν ἀλλήλοις διὰ μέσων τινῶν, τῶν συνδεόντων καὶ ἑαυτὰ καὶ τὰ συνδούμενα. Ὁ γὰρ τοιοῦτος δεσμὸς ἄριστός

ἐστιν. Ἕκαστον οὖν αὐτῶν κατὰ μὲν τὴν ἑτέραν ποιότητα συνῆψε τῷ πρὸ αὐτοῦ, κατὰ δὲ τὴν ἑτέραν, τῷ μετ' αὐτό· οἷον τὸ ὕδωρ ψυχρόν ἐστι καὶ ὑγρόν· ἀλλὰ κατὰ μὲν τὸ ψυχρὸν τῇ γῇ συνάπτεται, οὔσῃ πρὸ αὐτοῦ κατὰ τὴν ἄνοδον· κατὰ δὲ τὸ ὑγρόν, τῷ ἀέρι, ὄντι μετ' αὐτό. Ὁμοίως καὶ ὁ ἀὴρ κατὰ μὲν τὸ ὑγρὸν συνάπτεται τῷ ὕδατι πρὸ αὐτοῦ ὄντι· κατὰ δὲ τὸ θερμόν, τῷ πυρί, ὄντι μετ' αὐτόν. Καὶ τὸ πῦρ δὲ κατὰ μὲν τὴν θερμότητα συνάπτεται τῷ ἀέρι, πρὸ αὐτοῦ ὄντι· κατὰ δὲ τὴν ξηρότητα τῇ γῇ κατ' ἐπίκλασιν καὶ ἐπιστροφὴν τὴν πρὸς τὸ ἄκρον· οὕτω δὲ καὶ ἡ γῆ κατὰ μὲν τὸ ψυχρὸν τῷ ὕδατι, κατὰ δὲ τὸ ξηρὸν τῷ πυρὶ κατ' ἐπίκλασιν. Ἵνα γὰρ μὴ μόνον **[617]** τὴν πρὸς τὸ ἄνω καὶ κάτω κάθοδόν τε καὶ ἄνοδον τὴν σχέσιν ἔχῃ τὰ στοιχεῖα, ἀλλὰ καὶ τὴν κατὰ κύκλον, ἐπέκαμψέ πως καὶ ἐπέστρεψε τὰ ἄκρα πρὸς ἄλληλα· λέγω δέ, τὸ πῦρ καὶ τὴν γῆν· καὶ γὰρ τὸ πῦρ ἀποβαλὸν τὴν θερμότητα μόνην, γίνεται γῆ· τοῦτο δὲ δῆλον ἐκ τῶν κεραυνῶν· καταφερόμενον γὰρ τὸ πῦρ καὶ ψυχόμενον ἐκ τῆς ὑπεροπτήσεως ἀπολιθοῦται. Διὸ πᾶς κεραυνὸς μετὰ λίθου καὶ θείου φέρεται· ἔστι δὲ τὸ θεῖον, ὥσπερ πῦρ ἀπεψυγμένον, οὐκ ἔτι θερμὸν κατ' ἐνέργειαν, ἀλλὰ δυνάμει, ξηρὸν δὲ καὶ ἐνεργείᾳ. Μόνα δὲ τὰ στοιχεῖα κατ' ἐνέργειαν ἔχει τὰς ποιότητας· τὰ δὲ ἄλλα πάντα, δυνάμει, ἐὰν μὴ πλησιάσῃ στοιχείῳ. Ἵνα δὲ μηδέποτε ἐπιλείπῃ μήτε τὰ στοιχεῖα, μήτε τὰ ἐξ αὐτῶν συγκρίματα, σοφῶς ὁ Δημιουργὸς ἐτεχνάσατο, ὥστε τὰ στοιχεῖα καὶ εἰς ἄλληλα μεταβάλλεσθαι, καὶ εἰς τὰ συγκρίματα, καὶ πάλιν τὰ συγκρίματα εἰς τὰ στοιχεῖα ἀναλύεσθαι.

Καὶ οὕτως ἐξ ἀλληλογονίας διαρκοῦς συνιστάμενα σῴζεται διὰ παντός. Γῆ μὲν γὰρ πηλωθεῖσα γίνεται ὕδωρ· ὕδωρ δὲ πυκνωθὲν καὶ πηλωθὲν γίνεται γῆ· θερμανθὲν δὲ καὶ ἐξατμισθὲν γίνεται ἀήρ· ἀὴρ δὲ συναχθεὶς μὲν καὶ πυκνωθεὶς ὕδωρ· ξηρανθεὶς δέ, εἰς πῦρ μεταβάλλεται· οὕτω δὲ καὶ τὸ **[620]** πῦρ, σβεσθὲν μὲν καὶ ἀποβαλὸν τὴν ξηρότητα, ἐξαεροῦται. Ἔστι γὰρ ἀήρ, σβέσις πυρὸς καὶ ἀτμὶς ὕδατος θερμανθέντος. Ἐξ ἀμφοτέρων οὖν δῆλον, ὡς ἐκ θερμότητος ἡ γένεσις αὐτῷ· καὶ γὰρ θερμανθὲν τὸ ὕδωρ, καὶ σβεσθὲν τὸ πῦρ, ἀὴρ γίνεται. Ἔστιν οὖν κατὰ μὲν τὴν οἰκείαν φύσιν θερμός· ψύχεται δὲ τῇ γειτνιάσει τῇ πρὸς τὸ ὕδωρ καὶ τὴν γῆν· ὡς τὰ μὲν κάτω μέρη αὐτοῦ, τὰ πρὸς τῇ γῇ, ψυχρὰ εἶναι· τὰ δὲ ἄνω καὶ πρὸς τῷ πυρί, θερμά. Συμβαίνει δὲ τοῦτο διὰ τὸ μαλακὸν καὶ εὐπαθὲς τοῦ ἀέρος· ταχέως γὰρ ἐξίσταται τῆς οἰκείας φύσεως, καὶ μεταβάλλεται. Ἀριστοτέλης δὲ δύο γένη εἶναι τοῦ ἀέρος φησί· τὸ μὲν ἀτμῶδες, τὸ ἐκ τῆς ἀναθυμιάσεως τοῦ ὕδατος· τὸ δὲ καπνῶδες ,τὸ ἐκ τῆς σβέσεως τοῦ πυρός· καὶ τὸ μὲν καπνῶδες, θερμὸν εἶναι· τὸ δὲ ἀτμῶδες, ἔνθα μὲν τίκτεται, θερμὸν καὶ αὐτό, προϊὸν δὲ κατὰ μέρος ψύχεσθαι, καὶ προκόπτον ἐξυδατοῦσθαι. Ἵνα δὲ καὶ ἄλλα τινὰ δοκοῦντα εἶναι ἄτοπα ἐκδιαφύγῃ, καὶ πρὸς τούταις, τὸ τὰ ὑψηλότερα καὶ πολὺ τῆς γῆς ἀφεστῶτα ψυχρότερα φαίνεσθαι, διττὴν ὑπέθετο τὴν φύσιν αὐτοῦ. Πάντα δὲ τὰ σώματα τὴν γέ-

νεσιν ἐκ τῆς συνόδου τῶν τεσσάρων τούτων στοιχείων ἔχει, τά τε τῶν φυτῶν καὶ τὰ τῶν ζῴων, τῆς φύσεως τὰ καθαρώτατα τῶν στοιχείων εἰς τὴν γένεσιν τούτων τῶν σωμάτων ἑλκούσης.

Καλεῖ δὲ ταῦτα τὰ σώματα Ἀριστοτέλης φυσικά· οὐ κατὰ σωρείαν συντιθεμένων αὐτῶν, ἀλλ' ὅλων δι' ὅλου εἰς ἕνωσιν ἀνακιρναμένων, καὶ ἕν [621] τι καὶ ἄλλο παρ' αὐτὰ ποιούντων τὸ σῶμα· οὕτω γὰρ ἥνωται, ὡς μὴ οἷόν τε εἶναι διακρῖναι αὐτά· μηδὲ ἰδίᾳ μὲν θεάσασθαι τὴν γῆν, ἰδίᾳ δὲ τὸ ὕδωρ καὶ τὸν ἀέρα καὶ τὸ πῦρ, τῷ ἕν τι καὶ ἄλλο παρὰ ταῦτα ἐκ τῆς συνόδου τῶν τεσσάρων γεγενῆσθαι, ὡς ἐπὶ τῆς τετραφαρμάκου. Καὶ γὰρ ἐκεῖ ἄλλο ἡ τετραφάρμακος παρὰ τὰ ἐξ ὧν σύγκειται, οὐχ ὁμοίως μέντοι. Οὐ γὰρ κατὰ παράθεσιν τὴν τῶν λεπτομερεστάτων, ὡς ἐν τῇ τετραφαρμάκῳ, τὰ στοιχεῖα ποιεῖ τὰ σώματα· ἀλλὰ κατὰ μεταβολὴν καὶ ἑνότητα. Πάλιν δὲ εἰς τὰ στοιχεῖα ἀναλύεται τὰ σώματα φθειρόμενα· καὶ τούτῳ τῷ τρόπῳ διαμένει διηνεκῶς τὰ πάντα, καὶ διαρκεῖ πρὸς τὴν τῶν ὄντων γένεσιν, μήτε πλεονάζοντά ποτε, μήτε μειούμενα· ὅθεν καὶ τὴν ἄλλου γένεσιν, ἄλλου φθορὰν εἶναί φησι, καὶ τὴν ἄλλου φθοράν, ἄλλου γένεσιν, οὐ μόνον κατὰ τὴν ψυχήν, ὡς προείρηται, ἀλλὰ καὶ κατὰ τὸ σῶμα.

Πλάτωνι δὲ δοκεῖ, τὰ μὲν τρία στοιχεῖα μεταβάλλειν εἰς ἄλληλα, τὴν δὲ γῆν ἀμετάβλητον μένειν. Ἀπεικάζων γὰρ ἑκάστῳ στοιχείῳ τὰ στερεώματα τῶν εὐθυγράμμων σχημάτων· τῇ μὲν γῇ, τὸ κυβικὸν σχῆμα· ἐπειδὴ ἀκινητότατον τῶν λοιπῶν ἐστιν· ὕδατι δέ, τῶν λοιπῶν τὸ δυσκινητότατον, τὸ εἰκοσάεδρον· τὸ δὲ εὐκινητότατον, τὸ πυραμοειδές, τῷ πυρί· τὸ δὲ ὀκτάεδρον, τῷ ἀέρι, ὅπερ ἐστὶν εὐκινητότερον μὲν ὕδατος, δυσκινητότερον δὲ πυρός. Ἐκ τούτων τῶν σχημάτων ποιεῖται τὴν ἀπόδειξιν τοῦ τὰ μὲν τρία εἰς ἄλληλα μεταβάλλειν, τὴν δὲ γῆν τοῦτο μὴ πάσχειν. Τὰ μὲν γὰρ τρία, τήν τε πυραμίδα καὶ τὸ ὀκτάεδρον καὶ τὸ εἰ[624]κοσάεδρον, ἐκ σκαληνῶν τριγώνων συνίσταται· τὸν δὲ κύβον, ἐξ ἰσοπλεύρων τριγώνων. Ὅσα τοίνυν ἐκ τῶν σκαληνῶν συνέστη τριγώνων, ταῦτα δύνασθαι διαλυόμενα καὶ πάλιν συνιόντα εἰς ἄλληλα μεταβάλλειν· μήτε δὲ τὸν κύβον διαλυθέντα εἴς τι τῶν ἄλλων τριῶν σχημάτων δύνασθαι μεταβάλλειν (ἐξ ἰσοπλεύρων γὰρ τριγώνων συνέστηκεν, ἐξ ὧν οὐδὲν τῶν ἄλλων τριῶν συστῆναι δύναται), μήτ' αὖ τι τῶν τριῶν σχημάτων, εἰς κύβον. Ἀνάγκη οὖν, καὶ τὰ εἰδοποιηθέντα σώματα κατὰ τὰ εἴδη ταῦτα οὕτως ἔχειν πρὸς ἄλληλα, ὡς ἐκεῖνα εἶχεν. Οὐ μὴν ἀπαθὴς ἔμεινεν ἡ γῆ, ἀλλὰ διαιρεῖται ὑπὸ τῶν λεπτομερεστέρων σωμάτων ἀναστοιχειουμένη μέν, οὐ μὴν καὶ μεταβαλλομένη εἰς τὰ διαιροῦντα αὐτήν. Πάλιν γὰρ συνιοῦσα εἰς ἑαυτὴν ἀποκαθίσταται, ὅπερ φαίνεται ἐν τῷ ὕδατι. Ἐὰν γὰρ εἰς ὕδωρ γῆν ὀλίγην βαλὼν ταράξῃς, διαλύεται εἰς ὕδωρ ἡ γῆ· ἐὰν δὲ παύσῃ ταράττων, στάσιν λαβόντος τοῦ ὕδατος, ὑφιζάνει· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ πάσης τῆς γῆς δεῖ νοεῖν, οὐκ ἔστι δὲ τοῦτο μεταβολή, ἀλλὰ διάκρισις τῶν μεμιγμένων.

Λέγει δὲ ὁ Πλάτων καὶ ὑπὸ τῆς ὀξύτητος τοῦ πυρὸς λύεσθαι τὴν γῆν· ἡ δὲ λυθεῖσα φέρεται ἐν αὐτῷ ἢ ἐν ἀέρος ὄγκῳ, δηλονότι, ὅταν ὁ ἀὴρ αὐτὴν διαλύσῃ, ἢ ἐν ὕδατι, ὅταν ὑφ' ὕδατος λυθῇ. Λέγει δὲ κατ' ἄλλον τρόπον διαιρῶν, ἕκαστον τῶν στοιχείων τρεῖς ποιότητας ἔχειν· τὸ μὲν πῦρ, ὀξύτητα, μανότητα, κίνησιν· τὸ δὲ ἕτερον ἄκρον τῶν στοιχείων, τουτέστι τὴν γῆν, τὰς ἐναντίας **[625]** ταύταις ποιότητας, ἀμβλύτητα, πυκνότητα, στάσιν· ὡς εἶναι κατὰ ταύτας τὰς ποιότητας ἐναντία τὸ πῦρ καὶ τὴν γῆν, ὅπερ οὐκ ἦν κατὰ τὰς ἄλλας τὰς ἐν συζυγίᾳ ποιότητας· εἰλῆφθαι δὲ ἀφ' ἑκατέρων τῶν ἄκρων ποιότητας, καὶ οὕτω τὰ μέσα στοιχεῖα γεγενῆσθαι· λαμβάνονται γὰρ τοῦ μὲν πυρὸς δύο ποιότητες, ἡ μανότης καὶ ἡ κίνησις· μία δὲ τῆς γῆς, ἡ ἀμβλύτης, καὶ συνίσταται ὁ ἀὴρ εἰδοποιοὺς ἔχων τρεῖς μόνας ποιότητας, ἀμβλύτητα, μανότητα, κίνησιν. Πάλιν δύο λαμβάνονται ποιότητες τῆς γῆς, ἀμβλύτης καὶ πυκνότης· τοῦ δὲ πυρός, μία μόνη, ἡ κίνησις· καὶ γίνεται τὸ ὕδωρ εἰδοποιούμενον καὶ αὐτὸ ἀμβλύτητι, πυκνότητι, κινήσει. Ἔστιν οὖν ὡς ὀξύτης πρὸς ἀμβλύτητα, οὕτω πῦρ πρὸς ἀέρα· ὡς δὲ μανότης πρὸς πυκνότητα, οὕτως ἀὴρ πρὸς ὕδωρ· ὡς δὲ κίνησις πρὸς στάσιν, οὕτως ὕδωρ πρὸς γῆν. Ὡς ἄρα πῦρ πρὸς ἀέρα, οὕτως ἀὴρ πρὸς ὕδωρ· καὶ ὡς ἀὴρ πρὸς ὕδωρ, οὕτως ὕδωρ πρὸς γῆν. Πέφυκε γὰρ τὰ μὲν ἐπίπεδα ὑπὸ μιᾶς μεσότητος συνέχεσθαι, τουτέστιν, ἀναλογίας· τὰ δὲ στερεά, ὑπὸ δύο μεσοτήτων. Κατ' ἄλλον δὲ τρόπον λέγουσι ποιότητας ἔχειν τὰ στοιχεῖα· τὴν μὲν γὰρ γῆν καὶ τὸ ὕδωρ, βαρύτητα ἔχειν, καθ' ἣν κάτω φύσει φέρονται· τὸν δὲ ἀέρα καὶ τὸ πῦρ, κουφότητα, καθ' ἣν ἄνω φύσει φέρονται. Λέγουσι δὲ οἱ Στωϊκοί, τῶν στοιχείων τὰ μὲν εἶναι δραστικά, τὰ δὲ παθητικά· δραστικὰ μέν, ἀέρα καὶ πῦρ· παθητικὰ δέ, γῆν καὶ ὕδωρ.

Ἀριστοτέλης δὲ καὶ πέμπτον εἰσάγει σῶμα, τὸ αἰθέριον καὶ κυκλοφορικόν, μὴ βουλόμενος τὸν οὐρανὸν ἐκ τῶν τεσσάρων στοιχείων γεγενῆσθαι· κυκλοφορικὸν δὲ λέγει τὸ πέμπτον σῶμα, ὅτι ἐν κύκλῳ περὶ τὴν γῆν φέρεται· τοῦ Πλάτωνος διαῤῥήδην φάσκοντος, ἐκ πυρὸς καὶ γῆς αὐτὸν συν**[628]**εστάναι. Λέγει δὲ οὕτως· «Σωματοειδὲς καὶ ὁρατόν, ἁπτόν τε δεῖ τό γενόμενον εἶναι, χωρὶς δὲ πυρὸς οὐδὲν ἄν ποτε ὁρατὸν γένοιτο· οὐδὲ ἁπτὸν ἄνευ τινὸς στερεοῦ· στερεὸν δέ, οὐκ ἄνευ γῆς· ὅθεν ἐκ πυρὸς καὶ γῆς τὸ τοῦ παντὸς συνεστάναι σῶμα ὁ Θεὸς ἀρχόμενος ἐποίει. Δύο δὲ μόνα καλῶς συνίστασθαι τρίτου χωρίς, οὐ δυνατόν· δεσμὸν γὰρ ἐν μέσῳ δεῖ ἀμφοῖν συναγωγὸν γίνεσθαι· δεσμῶν δὲ κάλλιστος, ὅς ἂν ἑαυτόν τε καὶ τὰ ξυνδούμενα ἓν ποιῇ ὅτι μάλιστα». Τοῦτο δὲ πέφυκεν ἀναλογία κάλλιστα ἀποτελεῖν· δεσμὸν λέγων, τὰ μέσα δύο στοιχεῖα ἐξ ἀναλογίας εἰλημμένα τῆς προῤῥηθείσης. Οἱ δὲ τὰ τῶν Ἑβραίων πρεσβεύοντες διαφέρονται περὶ τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες, ἐξ οὐδεμιᾶς προϋποκειμένης ὕλης φάσκουσι γεγενῆσθαι τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐπειδὴ Μωϋσῆς φησιν· «Ἐν ἀρχῇ ἐποίησεν ὁ

Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»[1]· Ἀπολινάριος δὲ ἐκ τῆς ἀβύσσου πεποιηκέναι τὸν Θεὸν τὸν οὐρανὸν καὶ τὴν γῆν βούλεται· τῆς γὰρ ἀβύσσου Μωϋσῆς οὐκ ἐμνημόνευσεν ἐν τῇ γενέσει τοῦ κόσμου, ὡς γενομένης· ἐν δὲ τῷ Ἰὼβ εἴρηται· «Ὁ ποιήσας τὴν ἄβυσσον»[2]. Ἐκ ταύτης οὖν, ὡς ἐξ ὕλης βούλεται τὰ ἄλλα πάντα γεγενῆσθαι· οὐ μὴν ἀγένητον, ἀλλὰ γενητὴν αὐτὴν εἶναι, πρὸ πάντων τῶν σωματικῶν προκαταβεβλημένην ὑπὸ τοῦ Δημιουργοῦ πρὸς **[629]** τὴν τῶν ἄλλων ὑπόστασιν· δηλοῖ δὲ καὶ τοὔνομα τῆς ἀβύσσου, τὸ τῆς ὕλης ἄπειρον. Ἀλλὰ τοῦτο μέν, ὅπως ἂν ἔχοι, οὐδὲν διαφέρει. Καὶ οὕτω γὰρ πάντων ὁ Θεὸς Θεὸς καὶ δημιουργὸς δείκνυται, καὶ ἐξ οὐκ ὄντων πεποιηκὼς τὰ πάντα. Πρὸς δὲ τοὺς ἓν μόνον λέγοντας εἶναι στοιχεῖον, ἢ τὸ πῦρ, ἢ τὸν ἀέρα, ἢ τὸ ὕδωρ, ἀρκέσει τὰ παρὰ Ἱπποκράτους εἰρημένα· «Εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτε ἂν ἤλγεεν· οὐδὲ γὰρ ἂν ἦν, ὑφ' οὗ ἀλγήσειεν, ἓν ὤν, εἰ δὲ καὶ ἤλγεεν, ἓν ἂν ἦν τὸ ἰώμενον. Δεῖ γὰρ τὸ μέλλον ἀλγεῖν, ἐν μεταβολῇ γενέσθαι μετ' αἰσθήσεως· εἰ δὲ ἓν μόνον ἦν τὸ στοιχεῖον, οὐκ ἦν, εἰς ὃ μεταβληθείη· μὴ τρεπόμενον δέ, ἀλλὰ μένον ἐφ' ἑαυτοῦ, οὐκ ἂν ἤλγησεν, εἰ καὶ αἰσθητὸν ἦν· ἀνάγκη δὲ καὶ τὸ πάσχον, ὑπό τινος πάσχειν· εἰ δὲ μόνον ἓν ἦν τὸ στοιχεῖον, οὐκ ἦν ἂν ἑτέρα ποιότης παρὰ τὴν τοῦ ἑνὸς στοιχείου, ὑφ' ἧς ἔπαθεν ἂν τὸ ζῷον. Εἰ δὲ μήτε μεταβληθῆναι, μήτε παθεῖν ἠδύνατο, πῶς ἂν ἤλγησε;» Δείξας οὖν τοῦτο ἀδύνατον, κατὰ συγχώρησιν ἐπάγει· «Εἰ δὲ καὶ ἤλγεεν, ἓν ἂν ἦν τὸ ἰώμενον· νῦν δὲ οὐκ ἔστιν ἓν τὸ ἰώμενον, ἀλλὰ πολλά· οὐκ ἄρα ἓν ἦν ὁ ἄνθρωπος».

Ἀλλὰ καί, ἐξ ὧν αὐτοὶ πειρῶνται τὸ ἴδιον ἕκαστος κατασκευάζειν δόγμα, ἐκ τούτων μάλιστα δείκνυται τέσσαρα ὄντα τὰ στοιχεῖα. Καὶ γὰρ Θαλῆς τὸ ὕδωρ μόνον λέγων εἶναι στοιχεῖον, πειρᾶται δεικνύειν τἆλλα τρία ὑπὸ τούτου γινόμενα. Τὴν μὲν γὰρ ὑποστάθμην αὐτοῦ γῆν γίνεσθαι· τὸ δὲ λεπτομερέστερον, ἀέρα· τοῦ δὲ ἀέρος τὸ λεπτομερέστερον, **[632]** πῦρ. Ἀναξιμένης δὲ ἀέρα μόνον λέγων, καὶ αὐτὸς ὁμοίως πειρᾶται δεικνύναι, τὰ ἄλλα στοιχεῖα ἐκ τοῦ ἀέρος ἀποτελούμενα· Ἡράκλειτος δὲ καὶ Ἵππασος ὁ Μεταποντῖνος, τὸ πῦρ λέγοντες, ταῖς αὐταῖς ταύταις ἀποδείξεσι κέχρηνται. Ἐξ ὧν τοίνυν καὶ οὗτοί φασι, τὸ πῦρ εἶναι τῶν ἄλλων στοιχείων γεννητικόν, καὶ τῶν ἄλλων ὁ μὲν τὸ ὕδωρ, ὁ δὲ τὸν ἀέρα, ἐκ τούτων δείκνυται, ὅτι πάντα τὰ στοιχεῖα εἰς ἄλληλα μεταβάλλεται· πάντων δὲ εἰς ἄλληλα τρεπομένων, ἀνάγκη, τὰ πάντα στοιχεῖα εἶναι. Ὅπερ γὰρ ἂν λάβῃς τῶν τεσσάρων, εὑρεθήσεται καὶ τοῦτο ὑφ' ἑτέρου γινόμενον. Τὸ δὲ σῶμα τῆς ψυχῆς ὄργανον ὑπάρχον, ταῖς ψυχικαῖς δυνάμεσι συνδιαιρεῖται. Ταύταις γὰρ πρόσφορόν τε καὶ ἐπιτήδειον κατεσκεύασται, πρὸς τὸ μηδεμίαν αὐτῆς δύναμιν ὑπὸ τοῦ σώματος ἐμποδίζεσθαι. Ἑκάστη γὰρ ψυχικῇ δυνάμει πρὸς τὴν ἐνέργειαν ἴδια μέρη τοῦ σώματος ἀποκεκλήρωται,

1. Γέν. 1, 1. 2. Πρβλ. Παρμ. 8, 24.

ὡς προϊὼν ὁ λόγος ἀποδείξει. Ἡ μὲν γὰρ ψυχὴ τάξιν τεχνίτου· τὸ δὲ σῶμα, ὀργάνου· ὕλη δὲ ἔστι, περὶ ἃ ἡ πρᾶξις· τὸ δὲ ἀποτέλεσμα, ἡ πρᾶξις αὐτή. (Οἷον, ὡς ὕλη μὲν ὑπόκειται ἡ γυνή· περὶ ταύτην γὰρ ἡ πρᾶξις· ἡ δὲ πρᾶξις, μοιχεία, ἢ πορνεία, ἢ γάμος). Διαιροῦνται δὲ αἱ ψυχικαὶ δυνάμεις εἴς τε φανταστικόν, καὶ διανοητικόν, καὶ μνημονευτικόν.

Κεφ. Ϛ'.

Περὶ τοῦ φανταστικοῦ.

Φανταστικὸν μὲν οὖν ἐστι δύναμις τῆς ἀλόγου ψυχῆς διὰ τῶν αἰσθητηρίων ἐνεργοῦσα· φανταστὸν **[633]** δὲ τὸ τῇ φαντασίᾳ ὑποπίπτον, ὡς αἰσθήσει αἰσθητόν· φαντασία δέ ἐστι πάθος τῆς ἀλόγου ψυχῆς ὑπὸ φανταστοῦ τινος γινόμενον· φάντασμα δὲ πάθος διάκενον ἐν τοῖς ἀλόγοις τῆς ψυχῆς μέρεσιν ἀπ' οὐδενὸς φανταστοῦ γινόμενον. Οἱ δὲ Στωϊκοὶ τέσσαρα ταῦτά φασι, φαντασίαν, φανταστόν, φανταστικόν, φάντασμα· φαντασίαν μὲν λέγοντες, τὸ πάθος τῆς ψυχῆς τὸ ἐνδεικνύμενον αὐτό τε καὶ τὸ πεποιηκὸς φανταστόν. Ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεταί τι πάθος τῇ ψυχῇ ἐκ τῆς λήψεως αὐτοῦ. Ὡς γὰρ ἐν τοῖς αἰσθητηρίοις ἐγγίνεται πάθος, ὅταν αἰσθάνηται, οὕτω καὶ ἐν τῇ ψυχῇ, ὅταν ἐννοήσῃ. Εἰκόνα γὰρ ἐν ἑαυτῇ δέχεται τοῦ νοητοῦ. Φανταστὸν δέ, τὸ πεποιηκὸς τὴν φαντασίαν αἰσθητόν, οἷον τὸ λευκὸν καὶ πᾶν ὅ τι δύναται κινεῖν τὴν ψυχήν· φανταστικὸν δέ, τὸν διάκενον διελκυσμὸν ἄνευ φανταστοῦ· φάντασμα δέ, ᾧ ἐφελκόμεθα κατὰ τὸν φανταστικὸν διάκενον ἑλκυσμόν, ὡς ἐπὶ τῶν μεμηνότων καὶ μελαγχολώντων. Ἡ δὲ διαφωνία τούτοις περὶ τὴν ἐναλλαγὴν μόνην γέγονε τῶν ὀνομάτων. Ὄργανα δὲ αὐτοῦ αἱ πρόσθιοι τοῦ ἐγκεφάλου κοιλίαι, καὶ τὸ ἐν αὐταῖς ψυχικὸν πνεῦμα, καὶ τὰ ἐξ αὐτῶν νεῦρα, τὰ διάβροχα τῷ ψυχικῷ πνεύματι, καὶ ἡ κατασκευὴ τῶν **[636]** αἰσθητηρίων. Ἔστι δὲ αἰσθητήρια μὲν πέντε· αἴσθησις δὲ μία, ἡ ψυχική, ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων τὰ ἐν αὐτοῖς γινόμενα πάθη· καὶ τῷ μὲν γεωδεστάτῳ καὶ σωματικωτάτῳ τῶν αἰσθητηρίων, ὅπερ ἐστὶν ἡ ἀφή, τῆς γεώδους φύσεως αἰσθάνεται· τῷ δὲ αὐγοειδεστάτῳ, ὅπερ ἐστὶν ἡ ὄψις, τῶν αὐγοειδῶν· ὡς καὶ τῷ ἀεροειδεῖ τῶν τοῦ ἀέρος παθημάτων (ἀὴρ γάρ ἐστιν ἡ τῆς φωνῆς οὐσία ἢ ἀέρος πληγή)· καὶ τῷ σπογγοειδεῖ δὲ καὶ ὑδατοειδεῖ, τῷ κατὰ τὴν γεῦσιν, τῶν χυμῶν ἀντιλαμβάνεται. Ἕκαστον γὰρ τῶν αἰσθητῶν διὰ τοῦ οἰκείου γνωρίζεσθαι πέφυκεν.

Ἔδει τοίνυν κατὰ τοῦτον τὸν λόγον, ἐπειδὴ τέσσαρα στοιχεῖα, τέσσαρας εἶναι καὶ τὰς αἰσθήσεις, ἀλλ' ἐπειδήπερ ὁ ἀτμὸς καὶ τὸ τῶν ὀσμῶν γένος μεταξὺ τὴν φύσιν ἐστὶν ἀέρος καὶ ὕδατος (ἀέρος μὲν γὰρ ἐστι παχυμερέστερος, ὕδατος δὲ λεπτομερέστερος· δῆλον δὲ γίνεται τὸ τοιοῦτον διὰ τῆς κορύζης, τοῦ πάθους· οἱ γὰρ κορυζῶντες ἕλκουσι μὲν τὸ ἀέρα διὰ τῆς ἀναπνοῆς· ἕλκοντες δὲ τοῦτον, τῶν ἀτμῶν οὐκ

ἀντιλαμβάνονται· διὰ γὰρ τὴν ἔμφραξιν τὸ παχυμερέστερον οὐκ ἀφικνεῖται πρὸς τὴν αἴσθησιν), τούτου χάριν πέμπτον αἰσθητήριον, ἡ ὄσφρησις, ὑπὸ τῆς φύσεως ἐξεύρηται. ἵνα μηδὲν τῶν δυνάμεων εἰς γνῶσιν ἐλθεῖν διαφύγῃ τὴν αἴσθησιν. Ἔστιν ἡ αἴσθησις οὐκ ἀλλοίωσις, ἀλλὰ διάγνωσις ἀλλοιώσεως. Ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις. Καλεῖται δὲ πολλάκις αἴσθησις καὶ τὰ αἰσθητήρια. Ἔστι δὲ αἴσθησις, ἀντίληψις τῶν αἰσθητῶν. Δοκεῖ δὲ οὗτος ὁ ὅρος οὐκ αὐτῆς εἶναι τῆς αἰσθήσεως, ἀλλὰ **[637]** τῶν ἔργων αὐτῆς. Διὸ καὶ οὕτως ὁρίζονται τὴν αἴσθησιν· Πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. Ἔτι δὲ καὶ οὕτω· Δύναμιν ψυχῆς ἀντιληπτικὴν τῶν αἰσθητῶν· αἰσθητήριον δὲ Ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. Πλάτων δὲ τὴν αἴσθησιν λέγει, ψυχῆς καὶ σώματος κοινωνίαν πρὸς τὰ ἐκτός. Ἡ γὰρ δύναμις, ψυχῆς· τὸ δὲ ὄργανον, σώματος· ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν. Τῶν δὲ ψυχικῶν τὰ μὲν ἔστιν ὑπουργικά τε καὶ δορυφορικά, τὰ δὲ ἀρχικὰ καὶ ἡγεμονικά· ἀρχικὰ μέν, τό τε διανοητικὸν καὶ ἐπιστημονικόν· ὑπουργικὰ δέ, τὰ αἰσθητικὰ καὶ ἡ καθ' ὁρμὴν κίνησις καὶ τὸ φωνητικόν. Καὶ γὰρ ἡ κίνησις καὶ ἡ φωνὴ ὀξύτατα καὶ σχεδὸν ἀχρόνως ὑπακούει τῇ βουλήσει τοῦ λογισμοῦ. Ἅμα γὰρ καὶ κατὰ τὸ αὐτὸ θέλομέν τε καὶ κινούμεθα, οὐδενὸς ἐπιδεόμενοι μεταξὺ χρόνου τῆς τε βουλήσεως καὶ τῆς κινήσεως, ὡς ἐπὶ τῆς κινήσεως τῶν δακτύλων ἔστιν ἰδεῖν. Καὶ τῶν φυσικῶν δὲ ἔνια ὑπὸ τὴν ἡγεμονίαν ἐστὶ τοῦ διανοητικοῦ, ὡς τὰ καλούμενα πάθη.

Κεφ. Ζ'.

Περὶ ὄψεως.

Ἡ ὄψις ὁμωνύμως λέγεται, καὶ τὸ αἰσθητήριον καὶ ἡ δύναμις ἡ αἰσθητική. Ἵππαρχος δὲ **[640]** φησιν, ἀκτῖνας ἀπὸ τῶν ὀφθαλμῶν ἀποτεινομένας τοῖς πέρασιν ἑαυτῶν, καθάπερ χειρῶν ἐπαφαῖς, καθαπτούσας τοῖς ἐκτὸς σώμασι, τὴν ἀντίληψιν αὐτῶν πρὸς τὸ ὁρατικὸν ἀναδιδόναι. Οἱ δὲ γεωμέτραι κώνους τινὰς ἀναγράφουσιν, ἐκ τῆς συνεμπτώσεως τῶν ἀκτίνων γινομένους, τῶν ἐκπεμπομένων διὰ τῶν ὀφθαλμῶν. Πέμπειν γὰρ ἀκτῖνας τὸν μὲν δεξιὸν ὀφθαλμὸν ἐπὶ τὰ ἀριστερά, τὸν δὲ ἀριστερόν, ἐπὶ τὰ δεξιά· ἀπὸ δὲ τῆς συνεμπτώσεως αὐτῶν ἀποτελεῖσθαι κῶνον, ὅθεν ὁμοῦ μὲν πολλὰ περιλαμβάνειν ὁρατὰ τὴν ὄψιν, βλέπειν δὲ ἀκριβῶς ἐκεῖνα, ἔνθα ἂν συνεμπέσωσιν αἱ ἀκτῖνες. Οὕτω γοῦν πολλάκις, ὁρῶντες εἰς τοὔδαφος, οὐχ ὁρῶμεν τὸ ἐν αὐτῷ νόμισμα κείμενον ἀτενίζοντες ἐπὶ πλεῖστον, ἕως ἂν αἱ συμβολαὶ τῶν ἀκτίνων ἐν ἐκείνῳ γένωνται τῷ μέρει, ἔνθα κεῖται τὸ νόμισμα, καὶ τότε τῇ θέᾳ προσπίπτομεν αὐτοῦ, ὡς τότε πρῶτον ἀρξάμενοι προσέχειν. Οἱ δὲ Ἐπικούρειοι, εἴδωλα τῶν φαινομένων προσπίπτειν τοῖς ὀφθαλμοῖς. Ἀριστοτέλης δέ, οὐκ εἴδωλον σωματικόν, ἀλλὰ ποιότητα δι' ἀλλοιώ-

σεως τοῦ πέριξ ἀέρος ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄψεως παραγίνεσθαι. Πλάτων δέ, κατὰ συναύγειαν, τοῦ μὲν τῶν ὀφθαλμῶν φωτὸς ἐπὶ ποσὸν ἀποῤῥέοντος εἰς τὸν ὁμοιογενῆ ἀέρα, τοῦ δὲ ἀπὸ τῶν σωμάτων ἀντιφερομένου, τοῦ δὲ περὶ τὸν μεταξὺ ἀέρα, εὐδιάχυτον ὄντα καὶ εὔτρεπτον, συνεκτεινομένου τῷ πυροειδεῖ τῆς ὄψεως. Γαληνὸς δέ, συμφώνως Πλάτωνι, περὶ τῆς ὄψεως ἐν τῷ ἑβδόμῳ τῆς «Συμφωνίας» λέγει, γράφων οὕτω πως σποράδην· «Εἴπερ γὰρ εἰς τὸν ὀφθαλμὸν ἀφικνοῖτο μοῖρά τις ἢ δύναμις ἢ εἴδωλον ἢ ποιότης τῶν ὁρωμένων σωμάτων, οὐκ ἂν τοῦ βλεπομένου τὸ μέγεθος ἔγνωμεν, οἷον ὄρους, εἰ τύχοι, μεγίστου. Τηλικούτου γὰρ εἴδωλον ἐμπίπτειν **[642]** τοῖς ὀφθαλμοῖς ἡμῶν παντάπασιν ἄλογον· ἀλλὰ μὴν καὶ τὸ πνεῦμα τὸ ὀπτικὸν οὐχ οἷόν τε τοσαύτην ἰσχὺν ἐκκρινόμενον λαμβάνειν, ὡς περιχεῖσθαι παντὶ τῷ βλεπομένῳ. Λείπεται οὖν, τὸν πέριξ ἀέρα τοιοῦτον ὄργανον ἡμῖν γίνεσθαι, καθ' ὃν ὁρῶμεν χρόνον, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρον ὑπάρχει τὸ ὀπτικόν. Τοιοῦτον γάρ τι πάσχειν ἔοικεν ὁ περιέχων ἡμᾶς ἀήρ· ἥ τε γὰρ αὐγὴ τοῦ ἡλίου, ψαύουσα τοῦ ἄνω πέρατος τοῦ ἀέρος, διαδίδωσιν εἰς ὅλον τὴν δύναμιν· ἥ τε διὰ τῶν ὀπτικῶν νεύρων αὐγὴ φερομένη, τὴν μὲν οὐσίαν ἔχει πνευματικήν, ἐμπίπτουσα δὲ τῷ περιέχοντι καὶ τῇ πρώτῃ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείστου συνέχουσα ἑαυτήν, ἄχρις ἂν εἰς ἀντιτυπὲς ἐμπέσῃ σῶμα. Γίνεται γὰρ ὁ ἀὴρ ὄργανον τῷ ὀφθαλμῷ πρὸς τὴν τῶν ὁρωμένων διάγνωσιν τοιοῦτον, οἷόνπερ ἐν ἐγκεφάλῳ τὸ νεῦρον· ὥστε ὃν ἔχει λόγον ὁ ἐγκέφαλος πρὸς τὸ νεῦρον, τοῦτον ἔχειν τὸν ὀφθαλμὸν πρὸς τὸν ἀέρα ἐψυχωμένον ὑπὸ τῆς ἡλιακῆς αὐγῆς. Ὅτι πέφυκεν ὁ ἀὴρ τοῖς πλησιάζουσι σώμασι συνεξομοιοῦσθαι, δῆλον ἐκ τοῦ καὶ πυῤῥοῦ τινος ἢ κυανοῦ ἢ καὶ ἀργύρου λαμπροῦ διαφερομένου, φωτὸς ὄντος, ὑπὸ τοῦ διενεχθέντος ἀλλοιοῦσθαι τὸν ἀέρα».

Πορφύριος δὲ ἐν τῷ «Περὶ αἰσθήσεως», οὔτε κῶνον, οὔτε εἴδωλον, οὔτε ἄλλο τί φησιν αἴτιον εἶναι τοῦ ὁρᾶν· ἀλλὰ τὴν ψυχὴν αὐτήν, ἐντυγχάνουσαν τοῖς ὁρατοῖς, ἐπιγινώσκειν ἑαυτὴν οὖσαν τὰ ὁρατά, τῷ τὴν ψυχὴν συνέχειν πάντα τὰ ὄντα, καὶ εἶναι τὰ πάντα ψυχὴν συνέχουσαν σώματα διάφορα. Μίαν γὰρ βουλόμενος εἶναι πάντων ψυχὴν τὴν λογικήν, εἰκότως φησὶ γνωρίζειν ἑαυτὴν ἐν πᾶσιν οὖσιν. Ὁρᾷ δὲ ἡ ὄψις κατ' **[644]** εὐθείας γραμμάς, αἰσθάνεται δὲ κατὰ πρῶτον μὲν λόγον, τῶν χρωμάτων, συνδιαγινώσκει δὲ αὐτοῖς καὶ τὸ κεχρωσμένον σῶμα, καὶ τὸ μέγεθος αὐτοῦ, καὶ τὸ σχῆμα, καὶ τὴν χώραν, ἔνθα ἐστί, καὶ τὸ διάστημα, καὶ τὸν ἀριθμόν, κίνησίν τε καὶ στάσιν καὶ τὸ τραχὺ καὶ λεῖον, καὶ ὁμαλὸν καὶ ἀνώμαλον, καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλύ, καὶ τὴν σύστασιν εἴτε ὑδατῶδες, εἴτε γεῶδές ἐστιν, οἷον, ὑγρόν, ἢ ξηρόν.

Τὸ μὲν οὖν ἴδιον αὐτῆς αἰσθητόν ἐστι, τὸ χρῶμα. Διὰ μόνης γὰρ τῆς ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα· εὐθέως δὲ σὺν τῷ χρώματι καὶ τὸ κεχρωσμένον σῶμα καὶ τὸν τόπον, ἐν ᾧ τυγχάνει ὂν τὸ ὁρώμενον καὶ τὸ διάστημα, τὸ μεταξὺ τοῦ τε ὁρῶντος καὶ τοῦ ὁρωμένου. Ὁπό-

σαις γὰρ τῶν αἰσθήσεων συνεμφαίνεται καὶ τὸ σῶμα, ταύταις εὐθέως καὶ ὁ τόπος συνδιαγινώσκεται, ὡς τῇ ἀφῇ καὶ τῇ γεύσει· ἀλλ' αὗται μὲν τότε μόνον, ὅταν προσπελάσωσι τῷ σώματι, αἰσθάνονται πλὴν τῶν ἑξῆς διορισθησομένων· ὄψις δὲ καὶ πόῤῥωθεν. Ἐπεὶ δὲ πόῤῥωθεν ἀντιλαμβάνεται τῶν ἰδίων αἰσθητῶν, ἀναγκαίως ἐπηκολούθησε, τὸ μόνην ὁρᾶν καὶ τὸ διάστημα, τὸ δὲ μέγεθος τότε μόνην διαγινώσκειν ὅταν τὸ φαινόμενον δύνηται διὰ μιᾶς προσβολῆς περιλαβεῖν. Ἐν οἷς δὲ μεῖζόν ἐστι τὸ ὁρώμενον ἢ κατὰ μίαν προσβολὴν περιλαμβάνεσθαι, ἐν τούτοις [ἡ ὄψις] δεῖται καὶ τῆς μνήμης καὶ τῆς διανοίας. Κατὰ μέρος γὰρ αὐτὸ θεωμένη καὶ οὐχ ὑφ' ἓν ὅλον, ἀναγκαίως εἰς ἕτερον ἀφ' ἑτέρου μεταβαίνει, καὶ τὸ μὲν ἐμπίπτον ἀεὶ κατὰ τὴν μετάβασιν, αἰσθητόν ἐστι· τὰ δὲ ἔμπροσθεν ἑωραμένα ἡ μνήμη διαφυλάττει. Συνάγει δὲ ἀμφότερα ἡ διάνοια τό τε αἰσθητὸν καὶ τὸ μνημονευτόν. Τοῦ μὲν οὖν μεγέθους διχῶς ἀντιλαμβάνεται, ποτὲ μὲν μόνη, ποτὲ δὲ μετὰ μνήμης καὶ διανοίας· τοῦ δὲ ἀριθμοῦ τῶν ὁρωμένων, τοῦ ὑπὲρ τρία ἢ τέσσαρα, τοῦ κατὰ μίαν προσβολὴν μὴ ὁρωμένου, καὶ τῶν κινήσεων καὶ τῶν σχημάτων τῶν **[645]** πολυγώνων, οὐδέποτε μόνη, ἀλλ' ἀεὶ μετὰ μνήμης καὶ διανοίας. Οὐ γὰρ δύναται τὰ πέντε καὶ ἓξ καὶ ἑπτὰ καὶ πλείω χωρὶς μνήμης συναγαγεῖν. Οὕτως οὐδὲ τὰ ἑξάγωνα καὶ ὀκτάγωνα καὶ πολύγωνα σχήματα. Καὶ ἡ κίνησις δὲ κατὰ μετάβασιν γινομένη, τὸ μὲν ἔχει πρότερον, τὸ δὲ δεύτερον. Ἔνθα δὲ πρότερόν ἐστι καὶ δεύτερον καὶ τρίτον, τοῦτο μνήμη μόνη διαφυλάττει· τὸ δὲ ἄνω καὶ κάτω, καὶ τὸ ἀνώμαλον καὶ ὁμαλὸν ὡσαύτως δὲ καὶ τὸ τραχὺ καὶ τὸ λεῖον, καὶ τὸ ὀξὺ καὶ τὸ ἀμβλύ, κοινὰ τῆς ἀφῆς καὶ τῆς ὄψεώς ἐστιν, ἐπειδὴ καὶ μόναι τὸν τόπον διαγινώσκουσι. Χρῄζουσι δὲ καὶ διανοίας. Μόνον γὰρ ἐκεῖνο, τὸ κατὰ μίαν προσβολὴν προσπῖπτον τῇ αἰσθήσει, μόνης αἰσθήσεως ἔργον ἐστί· τὰ δὲ κατὰ πλείους οὐ μόνης, ἀλλὰ καὶ μνήμης μετὰ διανοίας, ὡς ἔμπροσθεν ἐδείχθη.

Τῶν δὲ διαφανῶν καὶ μέχρι τοῦ βάθους διικνεῖσθαι πέφυκεν ἡ ὄψις, ἀέρος μὲν πρώτως καὶ μάλιστα· ὅλον γὰρ διεξέρχεται· δεύτερον δὲ ὕδατος ἠρεμοῦντός τε καὶ καθαροῦ· τοὺς ἰχθῦς γοῦν νηχομένους ὁρῶμεν ἧττον δὲ διὰ ὑέλου καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων, δῆλον δέ, ὅτι πεφωτισμένων· καὶ ἔστι καὶ τοῦτο ἴδιον αὐτῆς. Μὴ ἀπατήσῃ δέ τινας, ὡς καὶ τῶν θερμῶν ἡ ἀντίληψις ὄψεώς ἐστιν, ἐπειδὴ τὸ πῦρ ὁρῶντες, ἴσμεν εὐθέως, ὅτι καὶ θερμόν ἐστιν. Ἂν γὰρ ἐπὶ τὴν πρώτην ὄψιν ἀναγάγῃς τὸν λόγον, εὑρήσεις, ὡς τότε, ὅτε πρῶτον ἡ ὄψις ἐθεάσατο τὸ πῦρ, μόνου τοῦ χρώματος καὶ σχήματος ἔσχε τὴν ἀντίληψιν· προσελθούσης δὲ καὶ τῆς ἀφῆς, ἐγνωρίσαμεν, ὅτι καὶ θερμόν ἐστιν, ὅπερ διεφύλαξεν ἡ μνήμη παραλαβοῦσα παρὰ τῆς ἀφῆς· νῦν οὖν, ὅταν θεασώμεθα πῦρ οὐδὲν ἄλλο βλέπομεν, ἢ τὸ σχῆμα καὶ τὸ χρῶμα τοῦ πυρός· ἡ δὲ διάνοια συμπαραλαμβάνει τοῖς ὁρωμένοις διὰ τῆς μνήμης καὶ τὴν θερμότητα. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μήλου. Εἰ γὰρ οὐχ ὑπὸ μόνου τοῦ χρώματος καὶ σχήματος εἰδοποιεῖται τὸ μῆλον, ἀλλὰ καὶ

τῆς ὀσμῆς, καὶ τῆς κατὰ τὴν γεῦσιν ποιότητος, οὐχί, καὶ τούτων ἡ ὄψις ἀντιλαμβανομένη, οἶδεν, ὅτι μῆλόν ἐστιν· ἀλλ' ἡ ψυχὴ τὴν μνήμην ἀποσῴζει, τὴν ἐκ τῆς ὀσφρήσεώς τε καὶ γεύσεως, ἅμα τε τῷ θεάσασθαι **[648]** συνεπινοεῖ καὶ ταῦτα τῷ σχήματι καὶ τῷ χρώματι. Ὅταν οὖν κήρινον μῆλον νομίσωμεν ἀληθινὸν εἶναι μῆλον, οὐχ ἡ ὄψις ἐστὶν ἡ ἐξαπατωμένη, ἀλλ' ἡ διάνοια. Ἡ γὰρ ὄψις ἐν τοῖς ἰδίοις αἰσθητοῖς οὐ διεσφάλη· τό τε γὰρ χρῶμα καὶ τὸ σχῆμα συνεῖδεν.

Αἱ μὲν οὖν τρεῖς τῶν αἰσθήσεων, ἥ τε ὄψις καὶ ἡ ἀκοὴ καὶ ἡ ὄσφρησις, τῶν ἔξωθεν καὶ μὴ προσπελαζόντων ἀντιλαμβάνονται διὰ μέσου τοῦ ἀέρος· ἡ δὲ γεῦσις οὐκ ἄλλως αἰσθάνεται, ἐὰν μὴ προσομιλήσῃ τῷ αἰσθητῷ, ἡ δὲ ἀφὴ ἐπαμφοτερίζει· καὶ γὰρ πλησιάζουσα τοῖς σώμασι, καὶ διὰ μέσης ἔσθ' ὅτε ῥάβδου. Ποτὲ μὲν οὖν ἡ ὄψις τῆς ἐπιμαρτυρίας χρήζει τῆς τῶν ἄλλων αἰσθήσεων, ὅταν ᾖ τὸ φαινόμενον ἐπιτετεχνημένον πρὸς ἀπάτην, ὡς ἐπὶ τῆς γραφῆς. Γραφικῆς γὰρ ἔργον, ἀπατῆσαι τὴν ὄψιν ἐξοχαῖς οὐκ οὔσαις καὶ κοιλώμασιν, εἰ τὸ πρᾶγμα τοιαύτην ἔχει τὴν φύσιν· ἔνθα χρεία πρὸς διάγνωσιν, μάλιστα μὲν τῆς ἀφῆς, ἔσθ' ὅτε δὲ καὶ τῆς γεύσεως ἢ ὀσφρήσεως, ὡς ἐπὶ τοῦ κηρίνου μήλου· ποτὲ δὲ καθ' ἑαυτὴν ἐναργῶς παρίστησι τὰ φαινόμενα, ὅταν μὴ πόῤῥωθεν ὁρᾷ· τὸν γοῦν πύργον, τὸν τετράγωνον, στρογγύλον ὁρᾷ πόῤῥωθεν· σφάλλεται δὲ καί, ὅταν δι' ἀχλύος ἢ καπνοῦ βλέπωμεν ἢ τινος τῶν παραπλησίων τῶν ἐπιθολούντων τὴν ὄψιν. Ὁμοίως καί, ὅταν δι' ὕδατος κινουμένου· καὶ γὰρ ἐν τῇ θαλάσσῃ τὴν κώπην ὡς κεκλασμένην ὁρᾷ· ὁμοίως καί, ὅταν διά τινος διαφανοῦς ὕλης βλέπῃ, ὡς ἐπὶ τῶν ἐσόπτρων καὶ τῆς ὑέλου καὶ τῶν ἄλλων τῶν τοιουτοτρόπων· ἢ ὅταν ὀξέως κινῆται τὸ ὁρώμενον· συνταράσσει γὰρ τὴν ὄψιν ἡ ταχεῖα κίνησις, ὡς στρογγύλα τὰ μὴ στρογγύλα βλέπειν, καὶ ὡς ἑστῶτα τὰ κινούμενα· ἢ ὅταν ἡ διάνοια πρὸς ἄλλοις ἀσχολῆται ὡς ἐπὶ τοῦ προθεμένου μὲν συντυχεῖν φίλῳ, καὶ συντυχόντος μέν, παρελθόντος δὲ αὐτόν, τῷ τὴν διάνοιαν αὐτοῦ πρὸς ἑτέροις εἶναι. Οὐκ ἔστι δὲ οὐδὲ τοῦτο διαμάρτημα τῆς ὄψεως, ἀλλὰ τοῦ νοῦ. Ἡ μὲν γὰρ **[649]** εἶδε, καὶ ἀπήγγειλεν· ὁ δὲ νοῦς οὐ προσέσχε τοῖς ἀπαγγελθεῖσι. Τεσσάρων δὲ μάλιστα πρὸς ἐναργῆ διάγνωσιν ἡ ὄψις χρήζει, ἀβλαβοῦς αἰσθητηρίου, συμμέτρου κινήσεως καὶ διαστήματος, ἀέρος καθαροῦ καὶ λαμπροῦ.

Κεφ. Η'.

Περὶ ἀφῆς.

Ἕκαστον μὲν τῶν ἄλλων αἰσθητηρίων διπλοῦν ὁ Δημιουργὸς κατεσκεύασε καὶ τόπῳ τινὶ καὶ μορίῳ τοῦ σώματος περιέγραψε. Καὶ γὰρ ὀφθαλμοὺς δύο, καὶ ὦτα δύο, καὶ δύο πόρους τῆς αἰσθήσεως ἐν τῇ ῥινὶ πεποίηκε, καὶ γλώττας δὲ δύο πᾶσι τοῖς ζῴοις ἐνέφυσεν· ἀλλὰ τοῖς μὲν διῃρημένας, ὡς τοῖς ὄφεσι· τοῖς δὲ συνημμένας καὶ συν-

ἡνωμένας, ὡς τοῖς ἀνθρώποις· διὰ τοῦτο καὶ δύο τὰς προσθίους κοιλίας μόνας τοῦ ἐγκεφάλου πεποίηκεν, ἵνα ἐξ ἑκατέρας κοιλίας τὰ αἰσθητικὰ νεῦρα καταπεμπόμενα, διπλᾶ ποιῇ τὰ αἰσθητήρια. Διπλᾶ δὲ αὐτὰ πεποίηκε, δι' ὑπερβάλλουσαν κηδεμονίαν· ἵνα τοῦ ἑτέρου παθόντος, τὸ περιλειπόμενον σῴζῃ τὴν αἴσθησιν. Ἀλλὰ τῶν μὲν πλείστων αἰσθητηρίων διαφθειρομένων, οὐδὲν εἰς αὐτὴν τὴν ζωὴν καταβλάπτεται τὸ ζῷον· ἀφῆς δὲ ἀπολλυμένης, συναπόλλυται καὶ τὸ ζῷον. Ἁφὴ γὰρ μόνη τῶν αἰσθήσεων κοινὴ πάντων ἐστὶ τῶν ζῴων. Πᾶν γὰρ ζῷον ἀφὴν ἔχει· τὰς δὲ ἄλλας αἰσθήσεις οὐ πάντα πάσας, ἀλλ' ἐνίας ἔνια· πάσας δὲ ἔχει, τὰ τελειότερα. Ἐπειδὴ τοίνυν ἐν τούτῳ τὸ ζῷον ἐκινδύνευε ζῷον εἶναι, ἢ μὴ εἶναι, οὐχ ἕν μόριον ὁ Δημιουργὸς ἀπεκλήρωσε τῇ ἀφῇ· ἀλλὰ πᾶν σχεδὸν τὸ σῶμα τοῦ ζῴου. Πλὴν γὰρ ὀστῶν καὶ ὀνύχων καὶ κεράτων, συνδέσμων τε καὶ τριχῶν, καὶ ἄλλων τινῶν τοιούτων, πᾶν μόριον τοῦ σώματος τῆς ἀφῆς ἀντιλαμβάνεται. Συμβέβηκεν οὖν [652] ἕκαστον τῶν αἰσθητηρίων διπλᾶς ἔχειν αἰσθήσεις, τὴν μέν, τῶν ἰδίων αἰσθητῶν· τὴν δὲ τῆς ἀφῆς, ὡς ἡ ὄψις. Καὶ γὰρ τὰ χρώματα διακρίνει, καὶ τῶν θερμῶν καὶ ψυχρῶν ἀντιλαμβάνεται· ἀλλὰ τούτων μέν, ὡς σῶμα, τῶν δὲ χρωμάτων, ὡς ὄψις. Ὡσαύτως δὲ καὶ ἡ γεῦσις καὶ ὄσφρησις καὶ ἀκοή.

Πῶς οὖν παντός ἐστι τοῦ σώματος ἡ ἀφή, εἴπερ ἀπὸ τῶν προσθίων κοιλιῶν τοῦ ἐγκεφάλου λέγομεν εἶναι τὰς αἰσθήσεις; Ἢ δῆλον ὅτι νεύρων καταπεμπομένων ἐξ ἐγκεφάλου καὶ διασπειρομένων εἰς πᾶν μόριον τοῦ σώματος, ἡ τῆς ἀφῆς αἴσθησις προσγίνεται. Ἐπειδὴ δὲ πολλάκις, ὑπ' ἀκάνθης πληγέντες τὸν πόδα, τῆς κεφαλῆς εὐθέως τὰς τρίχας φρίττομεν, ᾠήθησάν τινες, τὸ πάθος, ἢ τὴν αἴσθησιν τοῦ πάθους, εἰς τὸν ἐγκέφαλον ἀναπέμπεσθαι, καὶ οὕτως αἰσθάνεσθαι. Ἀλλ' εἴπερ ἦν ἀληθὴς οὗτος ὁ λόγος, οὐκ ἂν ἤλγει τὸ τεμνόμενον μόριον, ἀλλ' ὁ ἐγκέφαλος. Βέλτιον οὖν λέγειν, ὅτι τὸ νεῦρον ἐγκέφαλός ἐστι. Καὶ γὰρ μοῖρά τίς ἐστιν ἐγκεφάλου, διὰ παντὸς ἑαυτοῦ τὸ ψυχικὸν ἔχον πνεῦμα, ὡς ὁ πεπυρακτωμένος σίδηρος ἔχει τὸ πῦρ· διά τοι τοῦτο, ἔνθα ἂν νεῦρον αἰσθητικὸν ἐμφύηται, ἐκεῖνο τὸ μέρος αἰσθήσεως ὑπ' αὐτοῦ μεταλαμβάνει καὶ γίνεται αἰσθητικόν. Οὐδὲν δὲ ἴσως ἄτοπον λέγειν, ἐπὶ τὴν ἀρχὴν τῶν νεύρων τὸν ἐγκέφαλον ἀναπέμπεσθαι, οὐ τὸ πάθος, ἀλλὰ συναίσθησίν τινα καὶ ἀπαγγελίαν τοῦ πάθους· ἔστι δὲ ἴδιον αἰσθητὸν ἀφῆς τὸ θερμὸν καὶ ψυχρόν, τό τε μαλακόν, καὶ σκληρόν, καὶ γλίσχρον, καὶ κραῦρον, βαρύ τε καὶ κοῦφον· διὰ μόνης γὰρ τῆς ἀφῆς ταῦτα γνωρίζεται. Κοινὰ δὲ ἀφῆς καὶ ὄψεως, τό τε ὀξὺ καὶ ἀμβλύ, καὶ τὸ τραχὺ καὶ λεῖον, τό τε ξηρὸν καὶ ὑγρόν, παχύ τε καὶ λεπτόν, ἄνω καὶ κάτω καὶ γὰρ ὁ τόπος, τό τε μέγε[653]θος, ὅταν ᾖ τοιοῦτον, ὡς κατὰ μίαν προσβολὴν τῆς ἀφῆς περιλαμβάνεσθαι, καὶ τὸ πυκνὸν δὲ καὶ τὸ μανὸν καὶ τὸ στρογγύλον, ὅταν ᾖ μικρόν, ὡς καὶ ἄλλα τινὰ σχήματα. Ὁμοίως δὲ καὶ τῆς κινήσεως τοῦ πλησιάζοντος αὐτῇ σώματος αἰσθάνεται σὺν τῇ μνήμῃ καὶ τῇ διανοίᾳ. Ὡσαύτως δὲ καὶ

ἀριθμοῦ· ἀλλὰ μέχρι δυοῖν ἢ τριῶν καὶ τούτων μικρῶν καὶ ῥᾳδίως περιλαμβανομένων· μᾶλλον δὲ τῆς ἀφῆς ἡ ὄψις τούτων ἀντιλαμβάνεται, ὥσπερ καὶ τοῦ ὁμαλοῦ καὶ τοῦ ἀνωμάλου. Τοῦ γὰρ γένους ἐστὶ τοῦ τε λείου καὶ τραχέος. Σκληρότητι μὲν γὰρ ἀνωμαλία μιχθεῖσα τραχύτητα, ὁμαλότης δὲ πυκνότητι, λειότητα ποιεῖ.

Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς πολλὴν κοινωνίαν αἱ αἰσθήσεις αὗται πρὸς ἀλλήλας ἔχουσι. Καὶ γὰρ τὰ τῆς ἑτέρας διαμαρτήματα ἡ ἑτέρα διασαφεῖ. Ἐπὶ γοῦν τῆς γραφῆς ἡ μὲν ὄψις ἐξοχάς τινας ὁρᾷ, ῥινός τε καὶ τῶν ἄλλων· ἡ δὲ ἀφὴ προσελθοῦσα διήλεγξεν αὐτῆς τὸ διαμάρτημα. Ὥσπερ δὲ ἡ ὄψις ἀεὶ καὶ πάντα διὰ μέσου τοῦ ἀέρος ὁρᾷ· οὕτω καὶ ἡ ἀφὴ διὰ μέσου τῆς βακτηρίας τῶν σκληρῶν καὶ μαλακῶν καὶ ὑγρῶν αἰσθάνεται, ἀλλὰ συλλογιστικῶς, καὶ μετὰ διανοίας· ἀκριβεστάτην γὰρ ἔχει ταύτην τὴν αἴσθησιν ὁ ἄνθρωπος. Ταύτῃ γοῦν καὶ τῇ γεύσει πλέον ἔχει τῶν ἄλλων ζῴων, καίτοι ταῖς ἄλλαις τρισὶν ἡττώμενος. Ἄλλο μὲν γὰρ ζῷον κατ' ἄλλην αἴσθησιν τῶν τριῶν πλεονεκτεῖ τὸν ἄνθρωπον· ὁ δὲ κύων, ἐν ταῖς τρισὶν ἅμα· ὀξύτερον γὰρ καὶ ἀκούει καὶ βλέπει καὶ ὀσφραίνεται, ὡς δῆλον ἐκ τῶν ἰχνευόντων κυνῶν. Καὶ πᾶν μὲν τὸ σῶμα τῆς ἀφῆς ἐστιν αἰσθητήριον, ὡς καὶ πρόσθεν εἴρηται· μάλιστα δὲ τῶν χειρῶν τὰ ἔσωθεν, καὶ τούτων ἔτι μᾶλλον τὰ ἄκρα τῶν δακτύλων· ταῦτα γὰρ ὥσπερ γνώμονάς τινας τῆς ἀφῆς ἀκριβεῖς ἔχομεν. Οὐ γὰρ μόνον ἀντιληπτικὸν ὄργανον ὁ Δημιουργὸς τὰς χεῖρας κατεσκεύασεν, ἀλλὰ καὶ ἁπτικόν· διὰ τοῦτο καὶ τὸ δέρμα λεπτότερον ἔχουσι, καὶ μῦς αὐταῖς ὅλαις ἔσωθεν ὑπέστρωται, καὶ τριχῶν ἀμοιροῦσιν, ἵνα μᾶλλον τῶν ἁπτῶν ἀντιλαμβάνωνται. Τοῦ δὲ τρίχας αὐτὰς μὴ φύειν ὁ **[656]** ὑπιστορεσμένος μῦς γέγονεν αἴτιος. Τῶν δὲ χειρῶν αἱ μὲν σκληρότεραι πρὸς ἀντίληψίν εἰσιν ἰσχυρότεραι· αἱ δὲ μαλακώτεραι πρὸς τὴν ἀφὴν ἀκριβέστεραι· ὥσπερ καὶ τῶν νεύρων τὰ μὲν σκληρὰ πρὸς κίνησιν, τὰ δὲ μαλακὰ πρὸς αἴσθησίν εἰσιν ἐπιτηδειότερα. Ταῦτα γὰρ καὶ τῆς ἀφῆς ἐστιν ὄργανα· διὰ τούτων γὰρ ἡ τῆς ἀφῆς αἴσθησις γίνεται.

Κεφ. Θ'.

Περὶ γεύσεως.

Τὴν μὲν ὄψιν ἐν τοῖς ἔμπροσθεν εἴπομεν κατ' εὐθείας γραμμὰς ὁρᾶν· ἡ δὲ ὄσφρησις καὶ ἡ ἀκοὴ οὐ κατ' εὐθεῖαν μόνον, ἀλλὰ καὶ πανταχόθεν. Ἁφὴ δὲ καὶ γεῦσις οὔτε κατ' εὐθείας γραμμάς, οὔτε πανταχόθεν γνωρίζουσιν ἀλλὰ τότε μόνον, ὅταν αὐτοῖς πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς, πλὴν τῶν ἤδη διωρισμένων. Ἔστι δὲ ἡ γεῦσις τῶν χυμῶν ἀντιληπτική· ὄργανα δὲ αὐτῆς ἡ γλῶσσα, καὶ ταύτης μᾶλλον τὸ ἄκρον, ἔτι τε σὺν τούτοις ἡ ὑπερῴα, ἐν οἷς ἐστι τὰ ἐξ ἐγκεφάλου φερόμενα νεῦρα πεπλατυσμένα καὶ ἀπαγγέλλοντα τὴν γενομένην ἀντίληψιν πρὸς τὸ ἡγεμονικόν. Τῶν δὲ χυμῶν αἱ γευστικαὶ καλούμεναι

ποιότητες εἰσὶν αὗται· γλυκύτης, ὀξύτης, δριμύτης, στρυφνότης, αὐστηρότης, πικρότης, ἁλμυρότης, λιπαρότης. Τούτων γάρ ἐστιν ἡ γεῦσις διαγνωστική. Κατὰ ταύτας δὲ τὰς ποιότητας καὶ τὸ ὕδωρ ἄποιον λέγεται, τῷ μηδεμίαν τούτων ἐμφαίνειν ἐν τῇ γεύσει ποιότητα. Κατὰ γὰρ τὰς ἄλλας, οἷον ψυχρότητα καὶ ὑγρότητα σύμφυτον ἔχει τὴν ποιότητα. Στρυφνότης δὲ καὶ αὐστηρότης, τῷ μᾶλλον καὶ ἧττον στύφειν, ἀλλήλων διαφέρουσιν. Αἱ μὲν οὖν ἁπλαῖ γευστικαὶ ποιότητες αὗται μόναι σχεδόν εἰσι· σύνθετοι δέ, μυρίαι. Καθ' ἕκαστον γὰρ εἶδος ζῴου καὶ φυτοῦ ἰδιάζουσαι ποιότητές εἰσιν. Ἄλλης γάρ, ἂν οὕτω τύχῃ, χοιρείου ποιότητος ἀντιλαμβανόμεθα, καὶ ἄλλης αἰγείου. Διὸ καὶ μὴ μαθόντες, ὁποῖόν ἐστι τὸ προσενεχθὲν κρέας, ἐν τῇ γεύσει γνωρίζομεν· τοῦτο δὲ οὐκ ἂν ἦν, εἰ μὴ διάφορος ἦν ἑκάστου τῶν **[657]** γευστῶν ἡ ποιότης. Ὅθεν οὐκ ἂν τις αὐτὰς γενικῶς περιλάβοι, ἀπείρους οὔσας, καὶ πάντως ἀλλήλων διαφερούσας. Καὶ γὰρ ἐν οἷς ἐπικρατεῖ μία τις τῶν ἁπλῶν ποιοτήτων, καὶ ἐν τούτοις γνώριμος ἡ κατ' εἶδος τῶν γευστῶν διαφορά. Ἰσχάδος γοῦν καὶ ἀσταφίδος καὶ φοίνικος, τούτων μία μὲν ἐπικρατεῖ ποιότης, ἡ κατὰ γλυκύτητα, ἀλλ' ἡ γεῦσις διακρίνει τῶν εἰδῶν τὸ διάφορον.

Κεφ. Ι'.

Περὶ ἀκοῆς.

Ἡ δὲ ἀκοὴ τῶν φωνῶν καὶ τῶν ψόφων ἐστὶν αἰσθητική· διαγινώσκει δὲ αὐτῶν τὴν ὀξύτητα καὶ τὴν βαρύτητα, λειότητά τε καὶ τραχύτητα καὶ μέγεθος. Ὄργανα δὲ καὶ ταύτης τὰ νεῦρα, τὰ ἐξ ἐγκεφάλου, τὰ μαλακά, καὶ τῶν ὤτων ἡ κατασκευή· μάλιστα δὲ αὐτῶν τὸ χονδρῶδες γένος. Πρὸς γὰρ ψόφους καὶ ἤχους ἐπιτήδειός ἐστιν ὁ χόνδρος. Μόνος δὲ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα, τῶν ἄλλων πάντων ζῴων, τῶν ἐχόντων ὦτα, κινούντων αὐτά.

Κεφ. ΙΑ'.

Περὶ ὀσφρήσεως.

Ἡ ὄσφρησις γίνεται μὲν διὰ τῶν ρινῶν, περαίνεται δὲ εἰς τὰ πέρατα τῶν προσθίων τοῦ ἐγκεφάλου κοιλιῶν. Αὗται γὰρ ἀτμοειδέσταται τὴν φύσιν οὖσαι, τῶν ἀτμῶν ῥᾳδίως ἀντιλαμβάνονται. Λέλεκται γὰρ καὶ πρόσθεν, ὡς ἕκαστον τῶν αἰσθητηρίων καθ' ὁμοιότητά τινα καὶ οἰκειότητα, τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται. **[660]** Οὐ μήν, ὥσπερ τοῖς ἄλλοις αἰσθητηρίοις νεῦρον αἰσθητικὸν κατέπεμψεν ὁ ἐγκέφαλος, οὕτω καὶ τῇ ὀσφρήσει· ἀλλὰ τοῖς πέρασιν ἑαυτοῦ τῶν νεύρων ἀναπληροῖ τὴν χρείαν, καὶ τὴν τῶν ἀτμῶν ἀνάδοσιν δέχεται. Τῶν δὲ ἀτμῶν ἡ γενικωτάτη διαφορὰ εὐωδία τέ ἐστι καὶ δυσωδία, καὶ τὸ

μέσον τούτων, ὃ μήτε εὐῶδές ἐστι, μήτε δυσῶδες. Γίνεται δὲ εὐωδία, τῶν ὑγρῶν τῶν ἐν τοῖς σώμασιν ἀκριβῶς πεφθέντων· μέσως δέ, ἡ μέση διάθεσις· καταδεέστερον δὲ ἢ μηδόλως, δυσωδία.

Κεφ. ΙΒ'.

Περὶ τοῦ διανοητικοῦ.

Τοῦ μὲν οὖν φανταστικοῦ ἥ τε δύναμις καὶ τὰ ὄργανα καὶ τὰ μόρια καὶ τῶν μορίων ἡ κοινωνία τε καὶ διαφορά, τὸν ἐνδεχόμενον τρόπον ὡς ἐν βραχέσιν ἱκανῶς εἴρηται· τοῦ δὲ διανοητικοῦ εἰσι γενικῶς μέν, αἵ τε κρίσεις καὶ συγκαταθέσεις καὶ ἀποφυγαὶ καὶ ὁρμαί· εἰδικῶς δὲ αἵ τε νοήσεις τῶν ὄντων καὶ αἱ ἀρεταί, καὶ ἐπιστῆμαι καὶ τῶν τεχνῶν οἱ λόγοι, καὶ τὸ βουλευτικόν, καὶ προαιρετικόν· τοῦτο δέ ἐστι τὸ καὶ διὰ τῶν ὀνείρων θεσπίζον ἡμῖν τὸ μέλλον, ἥνπερ μόνην ἀληθῆ μαντείαν οἱ Πυθαγόρειοι λέγουσιν εἶναι, τοῖς Ἑβραίοις ἀκολουθήσαντες· ὄργανον δὲ καὶ τούτου ἡ μέση κοιλία τοῦ ἐγκεφάλου. καὶ τὸ ψυχικὸν πνεῦμα τὸ ἐν αὐτῇ.

Κεφ. ΙΓ'.

Περὶ τοῦ μνημονευτικοῦ.

Τὸ δὲ μνημονευτικόν ἐστι μνήμης καὶ ἀναμνήσεως αἴτιόν τε καὶ ταμιεῖον· ἔστι δὲ μνήμη, ὡς μὲν **[661]** Ὠριγένης φησίν, φαντασία ἐγκαταλελειμμένη ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινομένης· ὡς δὲ Πλάτων, σωτηρία αἰσθήσεώς τε καὶ νοήσεως. Ἡ γὰρ ψυχὴ τῶν μὲν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων ἀντιλαμβάνεται, καὶ γίνεται δόξα· τῶν δὲ νοητῶν, διὰ τοῦ νοῦ, καὶ γίνεται νόησις. Ὅταν οὖν τοὺς τύπους, ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζῃ μνημονεύειν λέγεται. Ἔοικε δὲ νόησιν λέγειν ὁ Πλάτων ἐν τούτοις, οὐ τὴν κυρίως νόησιν, ἀλλὰ τὴν διανόησιν. Τὰ μὲν γὰρ αἰσθητὰ μνημονεύεται καθ' ἑαυτά, τὰ δὲ νοητὰ κατὰ συμβεβηκός, ἐπειδὴ καὶ τῶν διανοητῶν ἡ μνήμη ἐκ προλαβούσης φαντασίας περιγίνεται· τὰ δὲ κυρίως νοητά, ὅ τι μὲν ἐμάθομεν ἢ ἠκούσαμεν, μεμνήμεθα· τῆς δὲ οὐσίας αὐτῶν μνήμην οὐκ ἔχομεν· οὐ γὰρ ἐκ προηγησαμένης φαντασίας ἡ τῶν νοητῶν ἀνάληψις, ἀλλ' ἐκ μαθήσεως ἢ φυσικῆς ἐννοίας. Εἰ δὲ μνημονεύειν λεγόμεθα, ἃ πρότερον εἴδομεν ἢ ἠκούσαμεν ἢ ἄλλως πως ἔγνωμεν (τὸ δὲ πρότερον τὴν ἀναφορὰν ἔχει πρὸς τὸν παρελθόντα χρόνον), δῆλον, ὡς μνημονευτά ἐστι τὰ γινόμενα καὶ φθειρόμενα, τὰ ἐν χρόνῳ συνιστάμενα· καὶ ἔστι μὲν τῶν απόντων ἡ μνήμη, οὐ μὴν ὑπὸ τῶν ἀπόντων γίνεται. Ἀνάμνησις δὲ λέγεται, ὅταν λήθη μεσολαβήσῃ τὴν μνήμην. Ἔστι γὰρ ἀνάμνησις, μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις· γίνεται ἐξίτηλος ὑπὸ τῆς λήθης· λήθη δέ ἐστι μνήμης ἀποβολή· ἀλλ' ἡ μὲν διηνεκής, ἡ δὲ ἐπὶ ποσόν,

ἧς ἐστιν ἡ ἀνάμνησις. Ἑτέρα δέ ἐστιν ἀνάμνησις, ἥτις οὐκ ἔστι λήθη τῶν ἐξ αἰσθήσεως καὶ νοήσεως, ἀλλὰ τῶν φυσικῶν ἐννοιῶν· φυσικὰς δὲ λέγομεν ἐννοίας, τὰς ἀδιδάκτως πᾶσι προσούσας, ὡς τό, εἶναι Θεόν· ταύτην δὲ ὁ Πλάτων ἀνάμνησιν εἶναι λέγει τῶν ἰδεῶν, τί δέ ἐστιν ἡ ἰδέα, ἐν τοῖς ἑξῆς ἐροῦμεν. Τὸ μὲν οὖν φανταστικὸν παραδίδωσι τῷ [664] διανοητικῷ τὰ φαινόμενα· τὸ διανοητικὸν ἢ διαλογιστικὸν παραλαβὸν καὶ κρῖναν παραπέμπει τῷ μνημονευτικῷ. Ὄργανον δὲ καὶ τούτου ἡ ὄπισθεν κοιλία τοῦ ἐγκεφάλου, ἣν καὶ παρεγκεφαλίδα καὶ παρεγκρανίδα καλοῦσι, καὶ τὸ ἐν αὐτῷ ψυχικὸν πνεῦμα. Ἐπειδὴ δὲ τῶν μὲν αἰσθήσεων ἀρχὰς καὶ ῥίζας, τὰς ἔμπροσθεν εἶναι κοιλίας φαμὲν τοῦ ἐγκεφάλου, τοῦ δὲ διανοητικοῦ, τὴν μέσην, τοῦ δὲ μνημονευτικοῦ, τὴν ὄπισθεν, ἀναγκαῖόν ἐστιν ἐπιδεῖξαι, εἰ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἵνα μὴ δόξωμεν ἀλόγως πιστεύειν τοῖς λεγομένοις.

Ἱκανωτάτη δὲ ἀπόδειξις ἡ ἐξ αὐτῆς τῆς τῶν μορίων ἐνεργείας λαμβανομένη. Τῶν μὲν γὰρ προσθίων κοιλιῶν καθ' ὅντινα δήποτε τρόπον βλαβεισῶν, αἱ μὲν αἰσθήσεις παραποδίζονται, τὸ δὲ διανοητικὸν ἔτι μένει σῳζόμενον· τῆς δὲ μέσης κοιλίας μόνης παθούσης, ἡ μὲν διάνοια σφάλλεται, τὰ δὲ αἰσθητήρια μένει φυλάττοντα τὴν κατὰ φύσιν αἴσθησιν· ἐὰν δὲ καὶ αἱ πρόσθιοι καὶ ἡ μέση κοιλία πάθωσιν, ὁ λογισμὸς ἅμα ταῖς αἰσθήσεσι παρακόπτει· τῆς δὲ παρεγκεφαλίδος παθούσης, ἡ μνήμη μόνη παραπόλλυται, τῆς αἰσθήσεως καὶ τῆς διανοίας εἰς οὐδὲν καταβλαπτομένων, ἐὰν δὲ σὺν τοῖς προσθίοις καὶ ἡ μέση καὶ ἡ ὄπισθεν πάθῃ τι, καὶ ἡ αἴσθησις καὶ ὁ λογισμὸς καὶ ἡ μνήμη ὁμοῦ παραφθείρονται, πρὸς τῷ καὶ τὸ πᾶν κινδυνεύειν ἀπολέσθαι ζῷον. Γίνεται δὲ τοῦτο δῆλον καὶ δι' ἄλλων μὲν πολλῶν παθῶν τε καὶ συμπτωμάτων, μάλιστα δὲ ἐκ τῆς φρενίτιδος. Τῶν γὰρ φρενιτιζόντων οἱ μὲν τὰς αἰσθήσεις διασῴζουσι, τῆς διανοίας μόνης βλαβείσης. [665] Τοιοῦτον ἀναγράφει Γαληνὸς φρενιτίσαντα, ὅς, ἐριουργοῦ τινος ἐργαζομένου παρ' αὐτῷ διαναστὰς καὶ λαβὼν ὑέλινα σκεύη, ἐπί τε τὰς θυρίδας ὁρμήσας, ἠρώτα τοὺς παριόντας, ἕκαστον τῶν σκευῶν ἐξ ὀνόματος καλῶν, εἰ θέλουσιν αὐτὸ ῥιφῆναι κάτω· τῶν δὲ παρεστώτων βούλεσθαι φησάντων, πρῶτον ἠκόντισε τῶν σκευῶν ἕκαστον· εἶτα ἤρετο τοὺς παρόντας εἰ καὶ τὸν ἐριουργὸν βούλοιντο ῥιφῆναι· τῶν δέ, παιδιὰν νομισάντων εἶναι τὸ πρᾶγμα, καὶ διὰ τοῦτο θέλειν φησάντων, λαβὼν ὤθησεν ἄνωθεν κάτω τὸν ἐριουργόν. Οὗτος τὰς μὲν αἰσθήσεις ὑγίαινεν· ᾔδει γάρ, ὅτι σκεύη ταῦτα καὶ ἐριουργὸς οὗτος· ἐνόσει δὲ τὴν διάνοιαν. Ἄλλοι δὲ διάκενον ἕλκουσι φαντασίαν, ὁρᾶν οἰόμενοι τὰ μὴ ὁρώμενα· τὰ δὲ ἄλλα φρονοῦσι κατὰ λόγον. Οὗτοι τὰς προσθίους μόνας κοιλίας ἐβλάβησαν, τῆς μέσης μεινάσης. Ἐκ δὲ τῶν παθῶν τῶν παρακολουθούντων ἑκάστῳ μορίῳ, τὰ τῆς ἐνεργείας αὐτῶν ἐμποδίζεται. Εἰς ἐκείνην γὰρ τὴν ἐνέργειαν καταβλάπτεται τὸ ζῷον, ἣν πέφυκεν ἐνεργεῖν τὸ πεπονθὸς μόριον, ὡς καὶ τοῦ ποδὸς παθόντος, εἰς τὸ περιπατεῖν ἐμποδιζόμεθα. Ταύτην γὰρ ὁ ποὺς ἔχει τὴν ἐνέργειαν.

Κεφ. ΙΔ'.

Περὶ τοῦ ἐνδιαθέτου λόγου καὶ τοῦ προφορικοῦ.

Αὕτη μὲν οὖν μία διαίρεσις τῆς ψυχικῆς δυνάμεως, ᾗ συνδιαιρεῖται μέρη τινὰ τοῦ σώμα[668]τος· ἑτέρα δὲ διαίρεσις καθ' ἕτερον τρόπον τοῦ λογικοῦ τῆς ψυχῆς, ὅ τε καλούμενος ἐνδιάθετος λόγος καὶ ὁ προφορικός. Ἔστι δὲ ἐνδιάθετος μὲν λόγος, τὸ κίνημα τῆς ψυχῆς, τὸ ἐν τῷ διαλογιστικῷ γινόμενον, ἄνευ τινὸς ἐκφωνήσεως. Ὅθεν πολλάκις καὶ σιωπῶντες, λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα· καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα· κατὰ τοῦτο δὲ μάλιστα λογικοὶ πάντες ἐσμέν. Οὐ γὰρ οὕτω κατὰ τὸν προφορικὸν λόγον, ὡς κατὰ τοῦτον. Καὶ γὰρ οἱ ἐκ γενετῆς κωφοί, καὶ οἱ διὰ πάθος ἢ νόσημα τὴν φωνὴν ἀποβαλόντες, οὐδὲν ἧττον λογικοί εἰσιν. Ὁ δὲ προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ τοῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει· ὄργανα δὲ τῆς φωνῆς πολλά. Οἵ τε γὰρ ἐν τοῖς μεσοπλεύροις ἔσωθεν μύες καὶ ὁ θώραξ καὶ ὁ πνεύμων, ἥ τε τραχεῖα ἀρτηρία καὶ ὁ λάρυγξ, καὶ τούτων μάλιστα τὸ χονδρῶδες, καὶ τὰ παλινδρομοῦντα νεῦρα καὶ ἡ γλωττὶς καὶ πάντες οἱ κινοῦντες ταῦτα τὰ μόρια μύες, τῆς ἐκφωνήσεώς εἰσιν ὄργανα· τῆς δὲ διαλέκτου, τὸ στόμα. Ἐν τούτῳ γὰρ διαπλάττεται καὶ σχηματίζεται καὶ οἱονεὶ μορφοῦται, ἡ διάλεκτος· τῆς μὲν γλώσσης καὶ τοῦ γαργαρεῶνος πλήκτρου λόγον ἐπεχόντων· τῆς δὲ ὑπερῴας, ἠχείου· τῶν δὲ ὀδόντων καὶ τῆς ποιᾶς τοῦ στόματος διανοίξεως ὡς ἐν λύρᾳ, τὴν τῶν χορδῶν ἀναπληρούντων χρείαν, συντελούσης τι καὶ τῆς ῥινὸς πρὸς εὐφωνίαν ἤτοι καλλιφωνίαν, ὡς δῆλον ἐκ τῶν ᾀδόντων.

Κεφ. ΙΕ'.

Ἑτέρα διαίρεσις τῆς ψυχῆς.

Διαιροῦσι δὲ καὶ ἄλλως εἰς δυνάμεις ἢ εἴδη ἢ [669] μέρη τὴν ψυχήν, εἴς τε τὸ φυτικόν, ὃ καὶ θρεπτικὸν καὶ παθητικὸν καλεῖται, καὶ εἰς τὸ αἰσθητικὸν καὶ εἰς τὸ λογικόν. Τῶν δὲ ὀργάνων ἑκάστου τούτων τὰ μὲν εἴρηται, τὰ δὲ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Ζήνων δὲ ὁ Στωϊκὸς ὀκταμερῆ φησιν εἶναι τὴν ψυχήν, διαιρῶν αὐτὴν εἴς τε τὸ ἡγεμονικόν, καὶ εἰς τὰς πέντε αἰσθήσεις, καὶ εἰς τὸ φωνητικὸν καὶ τὸ σπερματικόν. Παναίτιος δὲ ὁ φιλόσοφος τὸ μὲν φωνητικὸν τῆς καθ' ὁρμὴν κινήσεως μέρος εἶναι βούλεται, λέγων ὀρθότατα· τὸ δὲ σπερματικόν, οὐ τῆς ψυχῆς μέρος ἀλλὰ τῆς φύσεως. Ἀριστοτέλης δέ, ἐν μὲν τοῖς «Φυσικοῖς» πέντε εἶναι λέγει τὰ μέρη τῆς ψυχῆς, τό τε φυτικὸν καὶ τὸ αἰσθητικὸν καὶ τὸ κινητικὸν κατὰ τόπον, καὶ τὸ ὀρεκτικὸν καὶ τὸ διανοητικόν· φυτικὸν λέγων τὸ τρέφειν καὶ αὔξειν καὶ γεννᾶν ποιοῦν καὶ διαπλάσσον τὰ σώματα· καλεῖ δὲ τὸ φυτικὸν καὶ θρεπτικόν, τὸ πᾶν ἀπὸ τοῦ κρατίστου μέρους καλῶν, τοῦ τρέφοντος, ἀφ' οὗ καὶ τὰ ἄλλα μέρη τοῦ φυτικοῦ τὴν ὕπαρξιν ἔχει. Οὕτω μὲν ἐν τοῖς «Φυσικοῖς»· ἐν δὲ τοῖς «Ἠθικοῖς»

εἰς δύο τὰ πρῶτα καὶ γενικώτατα διαιρεῖ τὴν ψυ[672]χήν, εἴς τε τὸ λογικὸν καὶ τὸ ἄλογον· ὑποδιαιρεῖ δὲ τὸ ἄλογον, εἴς τε τὸ ἐπιπειθὲς λόγῳ, καὶ εἰς τὸ μὴ κατήκοον λόγῳ. Περὶ μὲν οὖν τοῦ λογικοῦ ἐν τοῖς προλαβοῦσιν εἴρηται· περὶ δὲ τοῦ ἀλόγου νῦν διαληψόμεθα.

Κεφ. ΙϚ'.

Περὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ὃ καὶ παθητικὸν καλεῖται.

Τινὲς καθ' ἑαυτὴν εἶναι λέγουσι τὴν ἀλογίαν, ὡς ἄλογον ψυχὴν οὖσαν, καὶ οὐ μέρος τῆς λογικῆς. Πρῶτον μέν, ὅτι καὶ καθ' ἑαυτὴν ἐν τοῖς ἀλόγοις ζῴοις εὑρίσκεται· ἐξ οὗ δῆλον, ὅτι τελεία τίς ἐστι, καὶ οὐ μέρος ἄλλης· εἶθ' ὅτι τῶν ἀτοπωτάτων ἐστί, τῆς λογικῆς μέρος εἶναι τὸ ἄλογον. Ἀριστοτέλης δὲ καὶ μέρος εἶναι λέγει καὶ δύναμιν, καὶ διαιρεῖ εἰς δύο, ὡς ἔφαμεν· καλεῖ δὲ ταῦτα κοινῶς, καὶ ὀρεκτικόν· τούτου δέ ἐστι καὶ ἡ καθ' ὁρμὴν κίνησις. Ἡ γὰρ ὄρεξις κινήσεώς ἐστιν ἀρχή. Ὀρεχθέντα γὰρ τὰ ζῷα ἐπὶ τὴν καθ' ὁρμὴν ᾄττει κίνησιν. Τοῦ δὲ ἀλόγου τὸ μὲν οὐ πείθεται λόγῳ, τὸ δὲ ἐπιπειθές ἐστι λόγῳ· πάλιν δὲ τὸ ἐπιπειθὲς λόγῳ διαιρεῖται εἰς δύο, εἴς τε τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμικόν. Ἔστι δὲ ὄργανα τοῦ μὲν ἐπιθυμητικοῦ, τοῦ δι' αἰσθήσεως, τὸ ἧπαρ· τοῦ δὲ θυμικοῦ, ἡ καρδία, σκληρὸν μόριον καὶ κίνησιν εὔτονον ἐπιδεχόμενον, εἰς σκληρὰν ὑπηρεσίαν καὶ σύντονον ὁρμὴν τεταγμένον, ὥσπερ τὸ ἧπαρ, ἁπαλὸν σπλάγχνον, τῆς ἁπαλῆς ἐπιθυμίας ὄργανον γέγονε. Καλεῖται δὲ ταῦτα ἐπιπειθῆ λόγῳ, ὅτι πέφυκε πείθεσθαι λόγῳ καὶ ὑποτάσσεσθαι καὶ κινεῖσθαι, [673] ὡς ἂν ὁ λόγος κελεύῃ, ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων ἀνθρώπων. Ἔστι δὲ καὶ ταῦτα τὰ πάθη συστατικὰ τῆς ζῳώδους οὐσίας. Ἄνευ γὰρ τούτων οὐκ ἔστι συστῆναι τὴν ζωήν. Ἐπεὶ δὲ τὸ πάθος ὁμωνύμως λέγεται, διασταλτέον πρότερον τὴν ὁμωνυμίαν. Λέγεται γὰρ πάθος καὶ τὸ σωματικόν, ὡς τὰ νοσήματα καὶ ἕλκη· λέγεται πάθος, καὶ τὸ ψυχικόν, περί οὗ νῦν ἐστιν ὁ λόγος ἥτε ἐπιθυμία καὶ ὁ θυμός· ἔστι δὲ κοινῶς μὲν καὶ γενικῶς ζῴου πάθος, ᾧ ἕπεται ἡδονὴ ἢ λύπη. Ἕπεται γὰρ τῷ πάθει λύπη, καὶ οὐκ αὐτὸ τὸ πάθος ἐστὶ λύπη. Εἰ γὰρ τοῦτο ἦν, πᾶν τὸ πάσχον καὶ ἤλγει· νῦν δὲ τὰ ἀναίσθητα πάσχει μέν, οὐκ ἀλγεῖ δέ· οὐκ ἄρα τὸ πάθος ἐστὶν ἄλγημα, ἀλλ' ἡ τοῦ πάθους αἴσθησις. Δεῖ δὲ τοῦτο καὶ ἀξιόλογον εἶναι, ἵνα τῇ αἰσθήσει ὑποπέσῃ.

Τῶν δὲ ψυχικῶν παθῶν ὅρος οὗτος· Πάθος ἐστὶ κίνησις τῆς ὀρεκτικῆς δυνάμεως αἰσθητὴ ἐπὶ φαντασίᾳ ἀγαθοῦ ἢ κακοῦ. Καὶ ἄλλως· Πάθος ἐστὶ κίνησις ἄλογος τῆς ψυχῆς δι' ὑπόληψιν καλοῦ ἢ κακοῦ. Τὸ δὲ γενικὸν πάθος οὕτως ὁρίζονται· Πάθος ἐστὶ κίνησις ἐν ἑτέρῳ ἐξ ἑτέρου. Ἐνέργεια δέ ἐστι κίνησις δραστικὴ κατὰ φύσιν· δραστικὸν δὲ λέγεται, τὸ ἐξ ἑαυτοῦ κινούμενον. Οὕτως οὖν καὶ ὁ θυμός, ἐνέργεια μὲν ἐστι τοῦ θυμοειδοῦς· πάθος δέ, τῶν δύο μερῶν τῆς ψυχῆς, καὶ προσ-

ἔτι τοῦ σώματος ἡμῶν παντός, ὅταν ὑπὸ τοῦ θυμοῦ βιαίως ἄγηται πρὸς τὰς πράξεις. Ἐξ ἑτέρου γὰρ ἐν ἑτέρῳ γέγονεν ἡ κίνησις, ὅπερ ἐλέγομεν εἶναι πάθος. Καὶ καθ' ἕτερον δὲ τρόπον, ἡ ἐνέργεια πάθος λέγεται, ὅταν ᾖ παρὰ φύσιν. Ἐνέργεια μὲν γάρ ἐστι κατὰ φύσιν κίνησις· πάθος δὲ παρὰ φύσιν. Καὶ κατὰ τοῦτον οὖν τὸν λόγον ἡ ἐνέργεια, ὅταν μὴ κατὰ φύσιν κινῆται, λέγεται πάθος, εἴτε ἐξ αὐτοῦ κινοῖτο, εἴτε ἐξ ἑτέρου. Τῆς γοῦν καρδίας ἡ μὲν κατὰ τοὺς σφυγμοὺς κίνησις, ἐνέργειά ἐστιν· ἡ δὲ κατὰ τοὺς παλμούς, πάθος. Ἐξ αὐτῆς μὲν **[676]** γάρ ἐστι καὶ ἡ κατὰ τοὺς παλμοὺς κίνησις, ἀλλ' οὐ κατὰ φύσιν· ἐξ αὐτῆς δὲ καὶ ἡ τῶν σφυγμῶν, ἀλλὰ κατὰ φύσιν. Οὐδὲν οὖν θαυμαστόν, ἕν καὶ ταὐτὸν πρᾶγμα, καὶ πάθος καὶ ἐνέργειαν ὀνομάζεσθαι. Καθ' ὃ μὲν γὰρ κινήσεις εἰσὶν ἐξ αὐτοῦ τοῦ παθητικοῦ τῆς ψυχῆς, ἐνέργειαί τινές εἰσι· καθ' ὃ δὲ ἄμετροι καὶ οὐ κατὰ φύσιν, οὐκ ἐνέργειαι, ἀλλὰ πάθη. Οὕτως οὖν ἡ κίνησις τοῦ ἀλόγου, πάθος ἐστί κατ' ἄμφω τὰ σημαινόμενα. Οὐ πᾶσα δὲ κίνησις τοῦ παθητικοῦ, πάθος καλεῖται, ἀλλ' αἱ σφοδρότεραι καὶ εἰς αἴσθησιν προβαίνουσαι. Αἱ γὰρ μικραὶ καὶ ἀνεπαίσθητοι, οὐδέπω πάθη. Δεῖ γὰρ ἔχειν τὸ πάθος καὶ μέγεθος ἀξιόλογον. Διὸ πρόσκειται τῷ ὅρῳ τοῦ πάθους τό, κίνησις αἰσθητή. Αἱ γὰρ μικραὶ κινήσεις, λανθάνουσαι τὴν αἴσθησιν, οὐ ποιοῦσι πάθος, ὡς εἴρηται.

Κεφ. ΙΖ'.

Περὶ τοῦ ἐπιθυμητικοῦ.

Διαιρεῖται μὲν οὖν, ὡς ἔφαμεν, τὸ ἄλογον τῆς ψυχῆς, τὸ ἐπιπειθὲς λόγῳ, εἰς δύο, τό τε ἐπιθυμητικὸν καὶ τὸ θυμικόν· πάλιν δὲ τὸ ἐπιθυμητικὸν διαιρεῖται εἰς δύο, εἰς ἡδονὰς καὶ λύπας· ἐπιτυγχάνουσα μὲν γὰρ ἡ ἐπιθυμία, ἡδονὴν ἐμποιεῖ· ἀποτυγχάνουσα δέ, λύπην. Πάλιν δὲ καθ' ἕτερον τρόπον, ἡ ἐπιθυμία διαιρουμένη, τέσσαρα σὺν ἑαυτῇ τὰ πάντα εἴδη ποιεῖ. Ἐπεὶ γὰρ τῶν ὄντων τὰ μὲν ἔστιν ἀγαθά, τὰ δὲ φαῦλα· καὶ τὰ μὲν ἤδη πάρεστι, τὰ δὲ προσδοκᾶται· κατὰ τούτους τοὺς τρόπους, τῶν δύο εἰς δύο πολυπλασιαζομένων, τὰ τῆς ἐπιθυμίας εἰς τέσσαρα διαιρεῖται. Ἔστι γὰρ ἀγαθὸν καὶ κακόν· καὶ πάλιν παρὸν καὶ προσδοκώμενον. Προσδοκώμενον γὰρ ἀγαθόν, ἐπιθυμία ἐστίν· ἤδη δὲ παρόν, ἡδονή. Πάλιν προσδοκώμενον μὲν κακόν, φόβος· παρὸν δέ, λύπη. Περὶ τὰ ἀγαθὰ μὲν γὰρ στρέφεται ἡδονὴ καὶ ἐπιθυμία· περὶ τὰ φαῦλα δέ, φόβος καὶ λύπη. Διό τινες τὸ πάθος εἰς τέσσαρα διαιροῦσιν, ἐπιθυμίαν, ἡδονήν, φόβον καὶ λύπην. Ἀγαθὰ δὲ καὶ φαῦλα, ἢ τὰ ὄντα, ἢ τὰ νομιζόμενα. Ἐγγίνεται δὲ τὰ φαῦλα πάθη τῇ **[677]** ψυχῇ διὰ τριῶν τούτων· διὰ κακῆς ἀγωγῆς, ἐξ ἀμαθίας, ὑπὸ καχεξίας. Μὴ ἀχθέντες γὰρ καλῶς ἐκ παίδων, ὡς δύνασθαι κρατεῖν τῶν παθῶν, εἰς τὴν ἀμετρίαν αὐτῶν ἐκπίπτομεν· ἐκ δὲ τῆς ἀμαθίας, φαῦλαι κρίσεις τῷ λογιστικῷ τῆς ψυχῆς ἐμφύονται, ὡς οἴεσθαι τὰ φαῦλα χρηστὰ εἶναι,

καὶ τὰ χρηστὰ φαῦλα· γίνεται δέ τινα καὶ ἐκ τῆς τοῦ σώματος καχεξίας· Ὀργίλοι γάρ εἰσιν οἱ πικρόχολοι· καὶ καταφερεῖς οἱ θερμοὶ καὶ ὑγροὶ τὴν κρᾶσιν. Θεραπευτέον δὲ τὸ μὲν κακὸν ἔθος ἔθει καλῷ, τὴν δὲ ἀμαθίαν μαθήσει καὶ ἐπιστήμῃ· τὴν δὲ καχεξίαν ἰατέον σωματικῶς, μεθιστάντας αὐτήν, ὡς οἷόν τε εἰς μέσην κρᾶσιν ἁρμοζούσῃ διαίτῃ καὶ γυμνασίᾳ καὶ φαρμάκοις, ἐὰν καὶ τούτων δεηθῶμεν.

Κεφ. ΙΗ'.

Περὶ ἡδονῶν.

Τῶν ἡδονῶν, αἱ μέν εἰσι ψυχικαί, αἱ δὲ σωματικαί· ψυχικαὶ μέν, αἱ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτήν, ὡς αἱ περὶ τὰ μαθήματα καὶ τὴν θεωρίαν. Αὗται γὰρ καὶ αἱ τοιαῦται μόνης εἰσὶ τῆς ψυχῆς. Σωματικαὶ δέ εἰσιν, αἱ μετὰ κοινωνίας τοῦ σώματος καὶ τῆς ψυχῆς γινόμεναι, καὶ διὰ τοῦτο σωματικαὶ καλούμεναι, ὡς αἱ περὶ τὰς τροφὰς καὶ τὰς συνουσίας. Μόνου δὲ τοῦ σώματος οὐκ ἂν εὕροι τις ἰδίας ἡδονάς, ἀλλὰ πάθη, οἷον τομὰς καὶ ῥεύσεις καὶ τὰς κατὰ κρᾶσιν ποιότητας. Πᾶσα γὰρ ἡδονὴ μετὰ αἰσθήσεως. Ψυχικὴν δὲ τὴν αἴσθησιν ἐδείξαμεν. Καὶ δῆλον, ὡς τῶν πολλαχῶς λεγομένων ἐστὶν ἡ ἡδονή. Ὑφ' ἕτερον γὰρ καὶ ἕτερον γένος εἰσίν, ὡς αἱ σπουδαῖαι ἡδοναὶ καὶ αἱ φαῦλαι· καὶ αἱ μὲν ψευδεῖς, αἱ δὲ ἀληθεῖς· καὶ αἱ μὲν τῆς διανοίας μόνης, κατ' ἐπιστήμην εἰσίν· αἱ δὲ μετὰ σώματος κατ' αἴσθησιν· καὶ αὐτῶν δὲ τῶν κατ' αἴσθησιν, αἱ μέν εἰσι φυσικαί, αἱ δὲ οὔ· καὶ τῇ μὲν ἡδονῇ, τῇ ἐν τῷ πίνειν, **[680]** ἀντίκειται ἡ ἐν τῷ διψῆν λύπη· τῇ δὲ κατὰ θεωρίαν, οὐδέν. Ταῦτα οὖν πάντα δείκνυσι τὴν ἡδονὴν ὁμώνυμον. Τῶν δὲ σωματικῶν καλουμένων ἡδονῶν αἱ μέν εἰσιν ἀναγκαῖαι ἅμα καὶ φυσικαί, ὧν χωρὶς ζῆν ἀδύνατον· ὡς αἱ τροφαί, αἱ τῆς ἐνδείας ἀναπληρωτικαί, καὶ τὰ ἐνδύματα τὰ ἀναγκαῖα· αἱ δὲ φυσικαὶ μέν, οὐκ ἀναγκαῖαι δέ, ὡς αἱ κατὰ φύσιν καὶ κατὰ νόμον μίξεις. Αὗται γὰρ εἰς μὲν τὴν διαμονὴν τοῦ παντὸς γένους συντελοῦσι· δυνατὸν δὲ καὶ χωρὶς αὐτῶν ἐν παρθενίᾳ ζῆν· αἱ δὲ οὔτε ἀναγκαῖαι, οὔτε φυσικαί, ὡς ἡ μέθη καὶ ἡ λαγνεία [καὶ ἡ φιλαργυρία] καὶ αἱ πλησμοναὶ τὴν χρείαν ὑπερβαίνουσαι.

Οὔτε γὰρ εἰς διαδοχὴν τοῦ γένους ἡμῖν συμβάλλονται, ὡς ἡ κατὰ νόμον συνουσία, οὔτε εἰς σύστασιν τῆς ζωῆς, ἀλλὰ καὶ προσβλάπτουσι. Τῷ τοίνυν κατὰ Θεὸν ζῶντι μόνας μεταδιωκτέον τὰς ἀναγκαίας ἅμα καὶ φυσικὰς ἡδονάς· τῷ δὲ μετ' ἐκεῖνον, ἐν δευτέρᾳ τάξει τῶν ἀρετῶν τεταγμένῳ, ταύτας τε καὶ τὰς φυσικὰς μέν, οὐκ ἀναγκαίας δέ, μετιτέον μετὰ τοῦ προσήκοντος καὶ μέτρου καὶ τρόπου καὶ καιροῦ καὶ τόπου· τὰς δὲ ἄλλας φευκτέον παντὶ τρόπῳ. Ἁπλῶς δὲ ἡγητέον, ταύτας εἶναι καλὰς ἡδονάς, τὰς μὴ συμπεπλεγμένας λύπῃ, μήτε μεταμέλειαν ἐμποιούσας, μήτε βλάβης ἑτέρας γεννητικάς, μήτε τοῦ μετρίου πέρα χωρούσας, μήτε τῶν σπουδαίων ἡμᾶς ἔργων ἀφελκούσας ἐπὶ

πολὺ ἢ καταδουλούσας. Κυρίως δέ εἰσιν ἡδοναί, αἱ τῇ κατανοήσει τοῦ Θείου καὶ ταῖς ἐπιστήμαις καὶ ταῖς ἀρεταῖς ἐπιγιγνόμεναί πως ἢ συμπεπλεγμέναι, ἅσπερ ἐν τοῖς κατὰ πρῶτον λόγον περισπουδάστοις θετέον, οὐκ εἰς τὸ εἶναι ἁπλῶς, οὐδὲ εἰς τὴν διαμονὴν τοῦ γένους, ἀλλ' εἰς τὸ εὖ εἶναι, καὶ σπουδαίοις καὶ θεοφιλέσιν εἶναι συντελούσας καὶ εἰς αὐτὴν τοῦ ἀνθρώπου τὴν κατὰ ψυχὴν καὶ τὸ νοερὸν τελειότητα, αἵπερ οὔτε θεραπεῖαι τινῶν παθῶν εἰσιν, ὡς αἱ τῆς ἐνδείας ἀναπληρωτικαί, οὔθ' ὅλως λύπην ἔχουσι προηγουμένην ἢ ἑπομένην, ἢ ἀντικειμένην· ἀλλ' εἰσὶ καθα**[681]**ραὶ καὶ ἄμικτοι πάσης ὑλικῆς συμπλοκῆς, ψυχικαὶ μόνον οὖσαι.

Καὶ γὰρ κατὰ Πλάτωνα, τῶν ἡδονῶν αἱ μέν εἰσι ψευδεῖς, αἱ δὲ ἀληθεῖς· ψευδεῖς μέν, ὅσαι μετ' αἰσθήσεως γίνονται καὶ δόξης οὐκ ἀληθοῦς, καὶ λύπας ἔχουσι συμπεπλεγμένας· ἀληθεῖς δέ, ὅσαι τῆς ψυχῆς εἰσι μόνης αὐτῆς καθ' ἑαυτὴν μετ' ἐπιστήμης καὶ νοῦ καὶ φρονήσεως, καθαραὶ καὶ ἀνεπίμικτοι λύπης, αἷς οὐδὲ μία μετάνοια παρακολουθεῖ ποτε. Καλοῦσι δὲ τὰς ἐπακολουθούσας τῇ θεωρίᾳ καὶ ταῖς καλαῖς πράξεσιν ἡδονάς, οὐ πάθη, ἀλλὰ πείσεις. Τινὲς δὲ κυρίως τὴν τοιαύτην ἡδονήν, χαρὰν λέγουσιν. Ὁρίζονται δὲ τὴν ἡδονήν, γένεσιν εἰς φύσιν αἰσθητήν. Ἔοικε δὲ οὗτος ὁ ὅρος, τῆς σωματικῆς μόνης ἡδονῆς εἶναι. Αὕτη γὰρ ἀναπλήρωσίς τίς ἐστι καὶ ἰατρεία τῆς σωματικῆς ἐνδείας, καὶ τῆς προσγενομένης διὰ τὴν ἔνδειαν λύπης. Ριγοῦντες γὰρ ἢ διψῶντες, τὴν ἐκ τοῦ ρίγους καὶ τῆς δίψης θεραπεύοντες λύπην, ἐν τῷ θάλπεσθαι καὶ πίνειν ἡδόμεθα. Κατὰ συμβεβηκὸς οὖν εἰσιν ἀγαθαί, καθ' ἑαυτάς, οὐδὲ φύσει. Ὡς γὰρ τὸ ὑγιάζεσθαι κατὰ συμβεβηκός ἐστιν ἀγαθόν, τὸ δὲ ὑγιαίνειν φύσει καὶ καθ' ἑαυτό, οὕτω καὶ αὗται κατὰ συμβεβηκός εἰσιν ἀγαθαί, ἰατρεῖαί τινες οὖσαι· αἱ δὲ τῆς θεωρίας ἡδοναὶ καθ' ἑαυτάς εἰσιν ἀγαθαὶ καὶ φύσει· οὐ γὰρ ἐπ' ἐνδείᾳ γίνονται. Δῆλον οὖν ἐντεῦθεν, ὡς οὐ πᾶσα ἡδονὴ τῆς ἐνδείας ἐστὶν ἀναπληρωτική. Εἰ δὲ τοῦτο, οὐχ ὑγιὴς ὁ ὅρος, ὁ λέγων, γένεσιν εἰς φύσιν αἰσθητὴν εἶναι τὴν ἡδονήν. Οὐ γὰρ πάσας περιλαμβάνει τὰς ἡδονὰς ἀλλὰ παραλείπει τὴν ἐκ τῆς θωρίας. Καὶ Ἐπίκουρος δέ, τὴν ἡδονὴν ὁριζόμενος, παντὸς τοῦ λυποῦντος ὑπεξαίρεσιν, τὸ αὐτό φησι τοῖς λέγουσι, γένεσιν εἰς φύσιν αἰσθητήν. Τὴν γὰρ ἀπαλλαγὴν τοῦ λυποῦντος, ἡδονὴν εἶναί φησιν. Ἐπειδὴ δὲ οὐδεμία γένεσις τοῖς οἰκείοις ἀποτε**[684]**λέσμασιν ὁμογενής ἐστιν ἢ συγγενής, οὐδὲ τὴν γένεσιν τῆς ἡδονῆς, ἡδονὴν ἡγητέον, ἀλλὰ παρὰ τὴν ἡδονὴν ἄλλο τι· ἐν τῷ γίνεσθαι μὲν γὰρ ἡ γένεσίς ἐστιν· οὐδὲν δὲ τῶν γινομένων ἅμα γίνεται καὶ γέγονεν· ἀλλὰ δῆλον, ὅτι κατὰ μέρος· τὸ δὲ ἡδόμενον ἀθρόως ἥσθη· οὐκ ἄρα γένεσις ἡ ἡδονή.

Ἔτι, πᾶσα γένεσις οὐκ ὄντος ἐστίν· ἡ δὲ ἡδονὴ τῶν ἤδη ὄντων· οὐκ ἔστιν ἄρα γένεσις ἡ ἡδονή. Ἔτι, γένεσις μέν, ταχεῖα καὶ βραδεῖα λέγεται· ἡδονὴ δὲ οὔ. Ἔτι, τῶν ἀγαθῶν, τὰ μὲν ἕξις ἐστί, τὰ δὲ ἐνέργεια, τὰ δὲ ὄργανα· ἕξις μέν, ὡς ἀρετή. ἐνέργεια δέ, ὡς ἡ κατ'

αὐτὴν πρᾶξις. Καὶ πάλιν, ἕξις μέν, ἡ ὁρατική· ἐνέργεια δέ, τὸ ὁρᾷν· ὄργανα δέ, δι' ὧν ἐνεργοῦμεν, ὡς ὀφθαλμὸς καὶ πλοῦτος καὶ τὰ τοιαῦτα. Πᾶσαι δὲ αἱ περὶ τὰ ἀγαθὰ καὶ φαῦλα ψυχικαὶ δυνάμεις, ἕξεών τινών εἰσι δυνάμεις. Εἴπερ οὖν ἀγαθόν ἐστιν ἡδονὴ ἢ φαῦλον, ἐν τούτοις ἔσται μόνοις· ἀλλ' ἕξις μὲν οὐκ ἔστιν. Οὔτε γάρ, ὡς ἀρετή· οὐ γὰρ ἂν οὕτω ῥᾳδίως μετέπιπτεν εἰς τὴν ἐναντίαν ἑαυτῇ λύπην· οὔτε, ὡς ἡ ἀντικειμένη τῇ στερήσει· κατὰ ταὐτὸν γὰρ ἕξιν καὶ στέρησιν ἀδύνατον εἶναι· ἅμα δέ τινες ἥδονται καὶ λυποῦνται, ὡς οἱ κνώμενοι· οὐκ ἔστιν ἄρα ἕξις ἡ ἡδονή. Ἀλλ' οὐδὲ ὄργανον. Τὰ γὰρ ὄργανα καὶ δι' ἄλλα, καὶ οὐ δι' ἑαυτά· ἡ δὲ ἡδονή, οὐ δι' ἄλλο, ἀλλὰ δι' ἑαυτήν· οὐκ ἄρα οὐδὲ ὄργανον. Λείπεται δὴ ἐνέργειαν αὐτὴν εἶναι. Ὅθεν Ἀριστοτέλης αὐτὴν ὁρίζεται, ἐνέργειαν τῆς κατὰ φύσιν ἕξεως ἀνεμπόδιστον. Τὰ γὰρ ἐμπόδια τῆς κατὰ φύσιν ἐνεργείας, λύπη· ἀλλὰ καὶ ἡ εὐδαιμονία, ἐνέργειά ἐστιν ἀνεμπόδιστος τῆς κατὰ φύσιν ἕξεως. Συμβαίνει δὴ κατὰ τὸν ὅρον τοῦτον, τὴν εὐδαιμονίαν ἡδονὴν εἶναι καὶ διεσφάλθαι τὸν ὅρον.

[685] Διορθούμενος οὖν ὡρίσατο τὴν ἡδονήν, τέλος εἶναι τῶν τοῦ ζῴου κατὰ φύσιν ἀνεμποδίστων ἐνεργειῶν, ὡς συμπεπλέχθαι καὶ συνυπάρχειν τῇ εὐδαιμονίᾳ τὴν ἡδονήν, ἀλλ' οὐχ ἡδονὴν εἶναι τὴν εὐδαιμονίαν. Οὐ πᾶσα δὲ ἐνέργεια κίνησίς ἐστιν· ἀλλ' ἔστι τις καὶ δι' ἀκινησίας ἐνέργεια, καθ' ἣν ὁ πρῶτος ἐνεργεῖ Θεός· τὸ γὰρ πρῶτον κινοῦν ἀκίνητον. Τοιαύτη δὲ καὶ ἡ τοῦ θεωρεῖν ἐν ἀνθρώποις ἐνέργεια· διὰ γὰρ ἀκινησίας. Καὶ γὰρ τὸ θεωρούμενον ἓν καὶ ταὐτὸν ἀεὶ καὶ ἡ διάνοια τοῦ θεωροῦντος ἕστηκε· περὶ ἓν καὶ ταὐτὸν ἀεὶ καταγίνεται. Εἰ δὲ τῆς θεωρίας ἡ ἡδονή, μεγίστη τε οὖσα καὶ κυριωτάτη καὶ ἀληθής, δι' ἀκινησίας γίνεται, δῆλον, ὡς αἱ δι' ἐλαττόνων κινήσεων γινόμεναι, ὅσῳ δι' ἐλαττόνων, τοσούτῳ καὶ κρείττους καὶ μείζους εἰσί. Συνδιαιροῦνται δὲ ταῖς ἐνεργείας αἱ ἡδοναὶ κατ' εἶδος. Ὅσα γὰρ ἐνεργειῶν εἴδη, τοσαῦτα καὶ ἡδονῶν· καὶ τῶν μὲν καλῶν καλαί, τῶν δὲ φαύλων φαῦλαι· καὶ δῆλον, ὡς καθ' ἑκάστην αἴσθησιν ἕτεραι τῷ εἴδει καὶ ἡδοναί. Ἕτεραι γὰρ ἁφῆς καὶ γεύσεως, καὶ ἕτεραι τῆς ὄψεως καὶ τῆς ἀκοῆς καὶ τῆς ὀσφρήσεως· καθαρώτεραι δέ εἰσι τῶν αἰσθήσεων, ὅσαι μὴ προσπελάζουσαι τοῖς αἰσθητοῖς ἥδουσιν, ὡς ὄψις καὶ ἀκοὴ καὶ ὄσφρησις. Καὶ τῶν διανοητικῶν δὲ εἴδη δύο, καὶ τούτων τὸ μὲν ἔστι πρακτικόν, τὸ δὲ θεωρητικόν. Δῆλον οὖν, ὅτι καὶ τῶν ἡδονῶν τῶν παρεπομένων ταῖς ἐνεργείαις ταύταις εἴδη δύο. Καὶ τούτων δὲ καθαρώτερον τὸ θεωρητικὸν τοῦ πρακτικοῦ. Τοῦ δὲ ἀνθρώπου ἴδιαι, καθ' ὃ ἄνθρωπος, αἱ διανοητικαί. Κοιναὶ γάρ, καθ' ὃ ζῷον, αἱ αἰσθητικαὶ καὶ πρὸς τὰ ἄλλα ζῷα. Ἐπειδὴ δὲ τῶν αἰσθητικῶν ἡδονῶν οἱ μὲν ἄλλαις, οἱ δὲ ἄλλαις ἥδονται, οὐχ αἱ τοῖς φαύλοις, ἀλλ' αἱ τοῖς σπουδαίοις καλαὶ φαινόμεναι, καὶ καθ' ἑαυτάς εἰσι καλαί. Κριτὴς γὰρ ὀρθὸς ἐπὶ παντὸς πράγματος οὐχ ὁ τυχών, ἀλλ' ὁ ἐπιστήμων καὶ κατὰ φύσιν διακείμενος.

Κεφ. ΙΘ'.

[688] *Περὶ λύπης.*

Τῆς δὲ λύπης εἴδη τέσσαρα, ἄχος, ἄχθος, φθόνος, ἔλεος. Ἔστι δὲ ἄχος, λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος δέ, λύπη βαρύνουσα· φθόνος δέ, λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεος δέ, λύπη ἐπ' ἀλλοτρίοις κακοῖς. Πᾶσα δὲ λύπη κακὸν τῇ ἑαυτῆς φύσει. Εἰ γὰρ καὶ ὁ σπουδαῖος λυπηθήσεταί ποτε, χρηστῶν ἀνδρῶν διαφθειρομένων, ἢ τέκνων, ἢ πόλεως πορθουμένης, ἀλλ' οὐ προηγουμένως, οὐδὲ κατὰ πρόθεσιν, ἀλλὰ κατὰ περίστασιν. Καὶ ἐν τούτοις δὲ ὁ μὲν θεωρητικὸς ἀπαθὴς ἔσται παντάπασιν, ἀλλοτριώσας ἑαυτὸν τῶν τῇδε, καὶ συνάψας Θεῷ· ὁ δὲ σπουδαῖος μετριοπαθὴς ἐν αὐταῖς καὶ οὐχ ὑπερβάλλων, οὐδὲ αἰχμαλωτιζόμενος ὑπ' αὐτῶν· ἀλλὰ μᾶλλον κρατῶν αὐτῶν. Ἀντίκειται δὲ ἡ λύπη, ὡς μὲν κακὸν καλῷ, τῇ μετρίᾳ ἡδονῇ· ὡς δὲ κακὸν κακῷ, τῇ ὑπερβαλλούσῃ ἡδονῇ. Ἐν ταῖς σωματικαῖς δὲ μόναις αἱ ὑπερβολαὶ γίνονται· αἱ γὰρ θεωρητικαί, ἄκραι τινὲς οὖσαι, καὶ τὸ τέλειον ἔχουσαι, τὴν ὑπερβολὴν οὐκ ἐπιδέχονται. Οὐδὲ γὰρ ἀντίκειται αὐταῖς λύπη, οὐδ' ἐπὶ θεραπείᾳ προηγησαμένης λύπης γίνονται.

Κεφ. Κ'.

Περὶ φόβου.

Διαιρεῖται δὲ καὶ ὁ φόβος εἰς ἕξ, εἰς ὄκνον, εἰς αἰδῶ, εἰς αἰσχύνην, εἰς κατάπληξιν, εἰς ἔκπληξιν, [689] εἰς ἀγωνίαν· ἔστι δὲ ὄκνος μέν, φόβος μελλούσης ἐνεργείας· κατάπληξις δέ, φόβος ἐκ μεγάλης φαντασίας· ἔκπληξις δέ, φόβος ἐξ ἀσυνήθους φαντασίας· ἀγωνία δέ, φόβος διαπτώσεως, τουτέστιν ἀποτυχίας· φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως, ἀγωνιῶμεν· αἰδὼς δέ, φόβος ἐπὶ προσδοκίᾳ ψόγου· κάλλιστον δὲ τοῦτο τὸ πάθος· αἰσχύνη δέ, φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ. Οὐδὲ τοῦτο δὲ ἀνέλπιστον εἰς σωτηρίαν· ταύτῃ δὲ διαφέρει αἰδὼς αἰσχύνης, ὅτι ὁ μὲν αἰσχυνόμενος, ἐφ' οἷς ἔπραξε, καταδύεται· ὁ δὲ αἰδούμενος φοβεῖται περιπεσεῖν ἀδοξίᾳ τινί. Καλοῦσι δὲ οἱ παλαιοὶ πολλάκις καὶ τὴν αἰδῶ αἰσχύνην, καὶ τὴν αἰσχύνην αἰδῶ, καταχρώμενοι τοῖς ὀνόμασι. Γίνεται δὲ ὁ φόβος κατὰ περίψυξιν, τοῦ θερμοῦ παντὸς συντρέχοντος εἰς τὴν καρδίαν, ἐπὶ τὸ ἀρχικόν, καθάπερ καὶ ὁ δῆμος, ὅταν φοβῆται, καταφεύγει πρὸς τοὺς ἄρχοντας. Τῆς δὲ λύπης ὄργανον, τὸ στόμα τῆς κοιλίας. Τοῦτο γάρ ἐστι τὸ δήξεως αἰσθανόμενον ἐν ταῖς λύπαις, ὡς ὁ Γαληνὸς ἐν τῷ τρίτῳ τῆς «Ἀποδεικτικῆς» φησιν οὕτω πως· «Τοῖς λυπουμένοις οὐκ ὀλίγον εἰς τὴν γαστέρα καταῤῥεῖ ξανθῆς χολῆς, ὃ τὴν δῆξιν αὐτοῖς παρέχει, καὶ οὐ πρότερον παύονται λυπούμενοι καὶ δακνόμενοι, πρὶν ἐξεμέσαι τὴν χολήν». Γίνεται γὰρ ἡ δῆξις αὐτοῖς ὑποκάτω τοῦ κατὰ τὰ μέσα στέρνα χόνδρου, τοῦ ξιφοειδοῦς ὀνομαζομένου.

Πολὺ δὲ ἀνωτέρω κεῖται ἡ καρδία· τοῦ γὰρ διαφράγματος ἡ μὲν γαστὴρ κατωτέρω ἐστίν, ἡ δὲ καρδία ἀνωτέρω. Συνήθως δὲ οἱ παλαιοὶ καρδίαν καὶ τὸ στόμα τῆς γαστρὸς καλοῦσιν, ὡς Ἱπποκράτης, καὶ Θουκυδίδης ἐν τῷ λοιμῷ λέγων οὕτως· «Καὶ ὁπότε εἰς τὴν καρδίαν στηρίξαι, ἀνέστρεφέ τε αὐτὴν καὶ ἀποκαθάρσεις χολῆς [692] πᾶσαι, ὁπόσαι ἀπὸ ἰατρῶν ὠνομασμέναι εἰσίν, ἐπῄεσαν». Τὸ γὰρ ἀναστρεφόμενον, τὸ στόμα τῆς γαστρός ἐστιν, ἀναγκαζόμενον ἐμεῖν· οὐ τὸ σπλάγχνον, ἡ καρδία.

Κεφ. ΚΑ'.

Περὶ θυμοῦ.

Θυμὸς δέ ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος, ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως γινομένη. Διὸ καὶ χολὴ λέγεται καὶ χόλος. Ἔστι δ' ὅτε καὶ ὁ θυμὸς ἔστιν ὄρεξις ἀντιτιμωρήσεως. Ἀδικούμενοι γάρ, ἢ νομίζοντες ἀδικεῖσθαι, θυμούμεθα, καὶ γίνεται τότε μικτὸν τὸ πάθος ἐξ ἐπιθυμίας καὶ θυμοῦ. Εἴδη δὲ τοῦ θυμοῦ τρία, ὀργή, ἣ καὶ χολὴ καὶ χόλος καλεῖται, μῆνις, καὶ κότος. Θυμὸς μὲν γὰρ ἀρχὴν καὶ κίνησιν ἔχων, ὀργὴ καὶ χολὴ καὶ χόλος λέγεται· μῆνις δέ, χολὴ εἰς παλαίωσιν ἀγομένη· εἴρηται γὰρ παρὰ τὸ μένειν καὶ τῇ μνήμῃ παραδεδόσθαι· κότος δὲ ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν· εἴρηται δὲ καὶ οὗτος παρὰ τὸ κεῖσθαι. Ἔστι δὲ ὁ θυμὸς τὸ δορυφορικὸν τοῦ λογισμοῦ. Ὅταν γὰρ οὗτος ἄξιον κρίνῃ τὸ γενόμενον ἀγανακτήσεως, τότε ὁ θυμὸς ἐπεξέρχεται, ἐὰν κατὰ φύσιν, τὴν οἰκείαν τάξιν φυλάττωσιν.

Κεφ. ΚΒ'.

Περὶ τοῦ ἀλόγου τοῦ μὴ κατηκόου λόγῳ.

Τὸ μὲν οὖν ἐπιπειθὲς λόγῳ τοῦτον ἔχει τὸν τρόπον. Τοῦ δὲ μὴ πειθομένου λόγῳ, ἔστι τό τε θρεπτι[693]κὸν καὶ γεννητικὸν καὶ σφυγμικόν. Καλεῖται δὲ φυσικὸν μέν, τὸ θρεπτικὸν καὶ γεννητικόν, ζωτικὸν δέ, τὸ σφυγμικόν.

Κεφ. ΚΓ'.

Περὶ τοῦ θρεπτικοῦ.

Τοῦ θρεπτικοῦ φυσικαὶ δυνάμεις εἰσὶ τέσσαρες, ἑλκτική, καθεκτική, ἀλλοιωτική, ἀποκριτική· ἕκαστον γὰρ τῶν μορίων τοῦ ζῴου φυσικῶς ἕλκει πρὸς ἑαυτὸ τὴν οἰκείαν τροφήν, καὶ ἑλκῦσαν κατέχει, καὶ κατασχὸν εἰς ἑαυτὸ μεταβάλλει, καὶ οὕτω τὸ περιττὸν ἐξωθεῖ. Καὶ

αὗταί εἰσιν αἱ δυνάμεις αἱ τὴν τροφὴν τῶν μορίων τοῦ σώματος διοικοῦσαι, ἐξ ὧν ἡ αὔξησις, ἥ τε κατὰ μῆκος καὶ πλάτος γίνεται. Ἐκκρίνεται δὲ τὰ περιττὰ διὰ γαστρός, δι' οὔρων, δι' ἐμέτων, δι' ἱδρώτων, διὰ στόματος, διὰ ῥινῶν, δι' ὤτων, δι' ὀφθαλμῶν, διὰ τῆς ἐκπνοῆς, διὰ τῶν ἀδήλων πόρων. Αἱ μὲν οὖν ἄλλαι ἐκκρίσεις πρόδηλοι· δι' ὤτων δέ, ἡ καλουμένη κυψέλη, ἥτις ἐστὶ ῥύπος τῶν ὤτων· διὰ δὲ τῶν ὀφθαλμῶν, δάκρυα καὶ λῦμαι· διὰ δὲ τῆς ἐκπνοῆς, τὸ λιγνυῶδες τῆς θερμότητος τῆς καρδίας. Ἀδήλους δὲ πόρους φασί, τὴν διαπνοὴν παντὸς τοῦ σώματος, καθ' ἣν ἐκ τοῦ βάθους καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν ἀτμοὶ πλεῖστοι διὰ τῆς μανότητος τοῦ δέρματος διεξέρχονται. Ὄργανα δὲ τοῦ θρεπτικοῦ, τό τε στόμα καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὸ ἧπαρ, αἵ τε φλέβες πᾶσαι, τά τε ἔντερα καὶ αἱ χολαὶ ἀμφότεραι, καὶ οἱ νεφροί. Τὸ γὰρ στόμα πρῶτον προκατασκευάζει τῇ γαστρὶ τὴν τροφήν, εἰς λεπτὰ κατατέμνον αὐτὴν διὰ τῶν ὀδόντων καὶ τῆς γλώττης. Μεγίστην γὰρ καὶ ἡ γλῶττα χρείαν παρέχεται τῇ διαμασήσει, συνάγουσα τὴν τροφὴν καὶ τοῖς ὀδοῦσιν ὑποβάλλουσα, καθάπερ αἱ ἀλετρίδες διὰ τῆς χειρὸς τὸν σῖτον ταῖς μύλαις. Τρόπον γάρ τινα καὶ ἡ γλῶττα χείρ ἐστι τῆς διαμασήσεως.

Οὕτω δὲ κατεργασθεῖσα ἡ τροφή, παραπέμπεται τῇ κοιλίᾳ διὰ τοῦ στομάχου· ὁ γὰρ στόμαχος οὐ μόνον αἰσθητήριόν ἐστι τῆς ἐνδείας, ἀλλὰ καὶ δίοδος τῶν σιτίων. Ἀνατρέχει γὰρ ἐν τῇ καταπόσει καὶ ἐπισπᾶται τὴν τροφήν, καὶ παραπέμπει τῇ **[696]** κοιλίᾳ. Ἡ δὲ κοιλία παραλαβοῦσα χωρίζει τὸ χρηστὸν καὶ τὸ τρόφιμον ἀπὸ τοῦ λιθώδους καὶ ξυλώδους καὶ ἀτρόφου· καὶ τὸ μὲν χρηστόν, εἰς χυμοὺς μεταβάλλουσα, ἀναπέμπει τῷ ἥπατι διὰ τῶν φλεβῶν τῶν ἑλκουσῶν ἀπ' αὐτῆς καὶ διοχετευουσῶν εἰς τὸ ἧπαρ, αἵτινες φλέβες ῥίζαις ἐοίκασι τοῦ ἥπατος, ἑλκούσαις ἀπὸ τῆς γαστρὸς τὴν τροφήν, ὡς ἀπὸ τῆς γῆς ἕλκουσιν αἱ τῶν φυτῶν ῥίζαι. Ἔοικε γὰρ ἡ μὲν κοιλία τῇ γῇ, τῇ παρεχούσῃ τὴν τροφὴν τοῖς φυτοῖς· ῥίζαις δέ, αἱ φλέβες, αἱ ἐπὶ τὰς πύλας καὶ τὰ σιμὰ τοῦ ἥπατος ἀνάγουσαι τὸν χυμόν, ἀπό τε τῆς γαστρὸς καὶ τῶν ἐντέρων διὰ τοῦ μεσαραίου· πρέμνῳ δέ, τὸ ἧπαρ αὐτό· κλάδοις δὲ καὶ ἀκρέμοσιν, αἱ φλέβες αἱ κατασχιζόμεναι τῆς κοίλης φλεβός, τῆς ἀποφυομένης ἐκ τῶν κυρτῶν τοῦ ἥπατος. Τὸ γὰρ ἧπαρ δεξάμενον ἐκ τῆς κοιλίας τὸν χυμὸν συμπέσσει τε καὶ ἐξομοιεῖ ἑαυτῷ. Ὁμοιοτάτην δὲ ἔχον τὴν σάρκα τῷ αἵματι, εἰκότως εἰς αἷμα μεταβάλλει τὸν χυμόν. Τὸ δὲ αἷμα καθαίρεται διά τε τοῦ σπληνὸς καὶ τῆς χοληδόχου κύστεως καὶ τῶν νεφρῶν· τοῦ μὲν σπληνὸς τὸ τρυγῶδες ἕλκοντος καὶ τροφὴν οἰκείαν ποιουμένου· τῆς δὲ χοληδόχου κύστεως τὸ δριμύ, τὸ ἐναπομεῖναν τοῖς χυμοῖς ἐκ τῆς τροφῆς· τῶν δὲ νεφρῶν, τὸ ὀῤῥῶδες μετὰ τοῦ παραλειπομένου δριμέος, ὡς καθαρὸν λοιπὸν καὶ χρηστὸν τὸ αἷμα γενόμενον, εἰς τροφὴν διανέμεσθαι τοῖς ἄλλοις πᾶσι μορίοις τοῦ σώματος διὰ τῶν κατασπειρομένων εἰς αὐτὰ φλεβῶν· καὶ οὕτως ἕκαστον τῶν μορίων ἕλκον τὸ αἷμα, καὶ κατέχον καὶ μεταβάλλον εἰς τὴν ἰδίαν φύσιν, τὸ περιττὸν

παραπέμπει τοῖς γειτνιῶσι μορίοις, τροφὴν ἐπιτήδειον ἐκείνοις γενόμενον. Καὶ τοῦτον τὸν τρόπον πάντα τὰ μόρια ἐξ αἵματος τρέφεται καὶ αὔξει καὶ διαμένει, χορηγοῦντος αὐτὸ τοῦ ἥπα[697]τος. Λέγεται δὲ τοῦτο τὸ μέρος τοῦ ἀλόγου μὴ πείθεσθαι λόγῳ, ἐπειδήπερ οὐ κατὰ γνώμην οὐδὲ κατὰ προαίρεσιν, ἀλλὰ φυσικῶς τὸ ἴδιον ἔργον ἀποτελεῖ.

Κεφ. ΚΔ'.

Περὶ σφυγμῶν.

Ἡ δὲ σφυγμικὴ κίνησις καλεῖται μὲν καὶ ζωτικὴ δύναμις. Ἔχουσα δὲ τὴν καρδίαν ἀρχήν, καὶ μάλιστα τὴν ἀριστερὰν αὐτῆς κοιλίαν, τὴν πνευματικὴν καλουμένην, τὴν ἔμφυτον καὶ ζωτικὴν θερμότητα διανέμει παντὶ μορίῳ τοῦ σώματος διὰ τῶν ἀρτηριῶν, καθάπερ τὸ ἧπαρ διὰ τῶν φλεβῶν τὴν τροφήν. Θερμαινομένης γοῦν τῆς καρδίας [παρὰ φύσιν], εὐθέως καὶ τὸ ζῷον ὅλον [παρὰ φύσιν] θερμαίνεται, καὶ ψυχομένης, ψύχεται. Τὸ γὰρ ζωτικὸν πνεῦμα παρ' αὐτῆς διὰ τῶν ἀρτηριῶν εἰς πᾶν τὸ σῶμα κατασπείρεται. Συγκατασχίζεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον ἀλλήλοις τὰ τρία ταῦτα, φλέψ, ἀρτηρία, νεῦρον, ἐκ τῶν τριῶν ἀρχῶν τῶν διοικουσῶν τὸ ζῷον· ἐξ ἐγκεφάλου μέν, ἀρχῆς ὄντος κινήσεώς τε καὶ αἰσθήσεώς, τὸ νεῦρον· ἐξ ἥπατος δέ, ἀρχῆς ὄντος αἵματός τε καὶ τοῦ θρεπτικοῦ, ἡ φλέψ, τὸ ἀγγεῖον τοῦ αἵματος· ἐκ δὲ τῆς καρδίας, ἀρχῆς οὔσης τοῦ ζωτικοῦ, ἡ ἀρτηρία, τὸ ἀγγεῖον τοῦ πνεύματος· συνόντα δὲ ἀλλήλοις τὰς παρ' ἀλλήλων ὠφελείας καρποῦνται. Ἡ μὲν γὰρ φλὲψ τροφὴν χορηγεῖ τῷ νεύρῳ καὶ τῇ ἀρτηρίᾳ· ἡ δὲ ἀρτηρία μεταδίδωσι τῇ φλεβὶ θερμασίας φυσικῆς καὶ πνεύματος ζωτικοῦ· τὸ δὲ νεῦρον αἴσθησιν παρέχει τε καὶ τῷ παντὶ σώματι. Ὅθεν οὔτε ἀρτηρίαν ἔστιν εὑρεῖν χωρὶς αἵματος λεπτοῦ, οὔτε φλέβα χωρὶς πνεύματος ἀτμώδους οὔτε νεῦρον χωρὶς αἰσθήσεως· διαστέλλεται δὲ σφοδρῶς καὶ συστέλλεται ἡ ἀρτηρία καθ' ἁρμονίαν τινὰ καὶ λόγον, τὴν ἀρχὴν ἔχουσα τῆς κινήσεως ἐκ τῆς καρδίας· ἀλλὰ διαστελλομένη μέν, ἐκ τῶν παρακειμένων φλεβῶν ἕλκει τῇ βίᾳ τὸ λεπτὸν αἷμα· ὅπερ ἀναθυμιώμενον τροφὴ γίνεται τῷ ζωτικῷ πνεύματι· συστελλομένη δέ, τὸ αἰθαλῶδες τὸ ἐν αὐτῇ κενοῖ διὰ παντὸς τοῦ σώματος καὶ τῶν [700] ἀδήλων πόρων, ὡς διὰ τοῦ στόματος καὶ τῆς ῥινὸς ἡ καρδία τὸ λιγνυῶδες ἐν ταῖς ἐκπνοαῖς ἀνωθεῖται.

Κεφ. ΚΕ'.

Περὶ τοῦ γεννητικοῦ ἢ σπερματικοῦ.

Καὶ τὸ γεννητικὸν δὲ τοῦ μέρους ἐστὶ τοῦ μὴ κατηκόου λόγῳ. Ἀβουλήτως γὰρ ἐν ταῖς ὀνειρώξεσι προΐεμεν τὴν γονήν. Καὶ ἡ ἐπιθυμία δὲ τῆς συνουσίας φυσική. Ἄκοντες γὰρ ἐπ' αὐτὴν κινούμεθα.

Ἡ δὲ πρᾶξις ὁμολογουμένως ἐφ' ἡμῖν καὶ ψυχική. Καὶ γὰρ διὰ τῶν καθ' ὁρμὴν ὀργάνων συντελεῖται, καὶ ἀποσχέσθαι καὶ κρατῆσαι τῆς ὁρμῆς ἐφ' ἡμῖν ἐστιν. Ὄργανα δὲ τῆς σπερματικῆς δυνάμεως πρῶτον μὲν αἱ φλέβες καὶ αἱ ἀρτηρίαι. Ἐν ταύταις γὰρ τὸ θορῶδες πρῶτον ὑγρὸν τίκτεται, μεταβληθέντος, τοῦ αἵματος, καθάπερ ἐν τοῖς τιτθοῖς τὸ γάλα. Τροφὴ γὰρ τῶν ἀγγείων τούτων ἐστὶν ὁ χυμὸς οὗτος. Καὶ γὰρ τὴν ἀρχὴν ἐκ σπέρματος ἡ γένεσις αὐτοῖς ἐστιν. Ἐκπέσσουσι μὲν οὖν αἱ ἀρτηρίαι καὶ αἱ φλέβες τὸ αἷμα εἰς τὸ θορῶδες ὑγρόν, ἵνα τρέφωνται. τὸ δὲ περιττεῦον τῆς τροφῆς αὐτῶν γίνεται γονή. Ἀναφέρεται γὰρ πρῶτον μὲν διὰ περιόδου πολλῆς εἰς τὴν κεφαλήν· πάλιν δὲ ἀπὸ τῆς κεφαλῆς καταφέρεται διὰ δύο φλεβῶν καὶ δύο ἀρτηριῶν. Ὅθεν, ἐὰν τις ἐκτέμῃ τὰς φλέβας τὰς παρὰ τὰ ὦτα καὶ τὰς παρὰ τὰς καρωτίδας, ἄγονον ποιεῖ τὸ ζῷον. Αὗται **[701]** δὲ αἱ φλέβες καὶ ἀρτηρίαι γίνονται τὸ ἑλικοειδὲς καὶ κιρσοειδὲς πλέγμα παρὰ τὸ ὄσχεον, ἔνθα τὸ θορῶδες ὑγρὸν ἐμπίπτει εἰς ἑκάτερον τῶν διδύμων· [μία ἀρτηρία καὶ μία φλέψ, πλήρεις σπέρματος]· ἐν τούτοις δὲ τελέως ἀποσπερματοῦται, καὶ διὰ τοῦ κιρσοειδοῦς παραστάτου τοῦ μετὰ τοὺς διδύμους ἐκκρίνεται μετὰ πνεύματος, διότι καὶ ἀρτηρία ἐστὶν ἡ παραπέμπουσα. Ὅτι δὲ καὶ ἀπὸ φλεβὸς φέρεται, δῆλόν ἐστιν ἐκ τῆς λαγνείας. Ὅταν γὰρ ἐπὶ πολὺ συνουσιάσωσι καὶ καταναλώσωσι τὸν σπερματικὸν καὶ θορώδη χυμόν, τότε ὑπὸ τῆς βιαίας ὁλκῆς αἷμα καθαρὸν ἐκκρίνουσι. Καὶ αἱ γυναῖκες δὲ πάντα τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι μόρια, ἀλλ' ἔνδον καὶ οὐκ ἔξω.

Ἀριστοτέλης μὲν οὖν καὶ Δημόκριτος οὐδὲν βούλονται συντελεῖν τὸ τῆς γυναικὸς σπέρμα πρὸς γένεσιν τέκνων. Τὸ γὰρ προϊέμενον ἐκ τῶν γυναικῶν, ἱδρῶτα τοῦ μορίου μᾶλλον ἢ γονὴν εἶναι βούλονται· Γαληνός δέ, καταγινώσκων Ἀριστοτέλους, λέγει σπερμαίνειν μὲν τὰς γυναῖκας καὶ τὴν μῖξιν ἀμφοτέρων τῶν σπερμάτων ποιεῖν τὸ κύημα· διὸ καὶ τὴν συνουσίαν μῖξιν λέγεσθαι οὐ μὴν τελείαν γονήν, ὡς τὴν τοῦ ἀνδρός, ἀλλ' ἔτι ἄπεπτον καὶ ὑγροτέραν. Τοιαύτη δὲ οὖσα τῆς γυναικὸς ἡ γονή, τροφὴ γίνεται τῆς τοῦ ἀνδρός. Ἐξ αὐτῆς δὲ καὶ μέρος τι τοῦ χορείου τοῦ **[704]** περὶ τὰς κεραίας τῆς μήτρας, συμπήγνυται, καὶ ὁ καλούμενος ἀλλαντοειδής, δοχεῖον ὢν τῶν περιττωμάτων τοῦ ἐμβρύου. Καθ' ἕκαστον δὲ γένος ζῴου, τότε προσίεται ἡ θήλεια τὸν ἄῤῥενα, ὅταν δύνηται κυΐσκεσθαι. Τὰ τοίνυν ἀεὶ δυνάμενα κυΐσκεσθαι, ἀεὶ προσίεται τὴν συνουσίαν, ὡς ἀλεκτορίδες καὶ περιστεραὶ καὶ ἄνθρωποι. Ἀλλὰ τὰ μὲν ἄλλα κύοντα, τὴν σύνοδον ἀποφεύγει· γυνὴ δὲ ἀεὶ προσδέχεται. Αἱ γὰρ ἀλεκτορίδες, τῷ καθ' ἑκάστην σχεδὸν ἡμέραν τίκτειν, καθ' ἑκάστην σχεδὸν προσίενται τὴν συνουσίαν· αἱ δὲ γυναῖκες, ὡς ἐν τοῖς ἄλλοις τὸ αὐτεξούσιον ἔχουσιν, οὕτω καὶ ἐν τῇ συνουσίᾳ τῇ μετὰ τὴν σύλληψιν. Τὰ γὰρ ἄλογα τῶν ζῴων οὐκ ἀφ' ἑαυτῶν, ἀλλ' ὑπὸ τῆς φύσεως κανονίζεται καὶ μέτρα καὶ καιρὸν ὡρισμένον δέχεται.

Κεφ. ΚΣΤ'.

Ἄλλη διαίρεσις τῶν διοικουσῶν δυνάμεων τὸ ζῷον.

Διαιροῦσι δὲ καὶ ἄλλως τὰς κατὰ τὸ ζῷον δυνάμεις. Καὶ τὰς μὲν λέγουσι ψυχικάς, τὰς δὲ φυσικάς, τὰς δὲ ζωτικάς· ψυχικὰς μὲν τὰς κατὰ προαίρεσιν· φυσικὰς δὲ καὶ ζωτικάς, τὰς ἀπροαιρέτους. Καὶ εἰσὶ ψυχικαὶ μέν, δύω, ἥ τε καθ' ὁρμὴν κίνησις καὶ ἡ αἴσθησις. Τῆς δὲ καθ' ὁρμὴν κινήσεως εἴδη τρία, τό τε μεταβατικὸν καὶ κινητικὸν τοῦ σώματος παντὸς καὶ τὸ φωνητικὸν καὶ τὸ ἀναπνευστικόν. Ἐν ἡμῖν γὰρ ταῦτα καὶ ποιεῖν καὶ μὴ ποιεῖν. Φυσικαὶ δὲ καὶ ζωτικαί, αἱ [705] οὐκ ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἑκόντων καὶ ἀκόντων γινόμεναι, ὡς ἡ θρεπτικὴ καὶ αὐξητικὴ καὶ σπερματική, φυσικαὶ οὖσαι· καὶ ἡ σφυγμική, ζωτικὴ οὖσα. Τὰ δὲ ὄργανα, τῶν μὲν ἄλλων ἔμπροσθεν εἴρηται· τῆς δὲ κατὰ προαίρεσιν κινήσεως νῦν ἐροῦμεν.

Κεφ. ΚΖ'.

Περὶ τῆς καθ' ὁρμὴν ἢ μετὰ κατὰ προαίρεσιν κινήσεως, ἥτις ἐστὶ τοῦ ὀρεκτικοῦ.

Ἔστιν οὖν τῆς κατὰ προαίρεσιν ἢ καθ' ὁρμὴν κινήσεως ἀρχὴ μέν, ὁ ἐγκέφαλος καὶ ὁ νωτιαῖος μυελός, ἐγκεφάλου μέρος ὢν καὶ αὐτός· ὄργανα δέ, τὰ ἐκ τούτων πεφυκότα νεῦρα καὶ οἱ σύνδεσμοι καὶ οἱ μύες. Οἱ δὲ μύες συνεστήκασιν ἔκ τε σαρκῶν καὶ νευρωδῶν ἰνῶν καὶ τενόντων, συμπεπλεγμένων ταῖς τῶν νεύρων ἰσίν. Ὅθεν τινὲς ᾠήθησαν αὐτοὺς αἰσθητικοὺς εἶναι, διὰ τὴν γινομένην ἐκ τῶν συμπεπλεγμένων αὐτοῖς νεύρων αἴσθησιν. Ἔστιν οὖν ὁ τένων σύνθετος ἔκ τε συνδέσμου καὶ νεύρων λεπτῶν. Διαφέρει δὲ νεύρου τένων, ὅτι πᾶν μὲν νεῦρον αἰσθητικόν ἐστι καὶ στρογγύλον καὶ ἁπαλώτερον καὶ ἀπ' ἐγκεφάλου τὴν ἀρχὴν ἔχει· ὁ δὲ τένων καὶ σκληρότερος καὶ ἐξ ὀστέου καὶ ἀναίσθητος καθ' ἑαυτόν, καὶ ἔσθ' ὅτε πλατύς. Εἰσὶ δὲ αἱ μὲν χεῖρες ἀντιληπτικὸν ὄργανον καὶ πρὸς τὰς τέχνας ἐπιτηδειότατον. Ἐάν γάρ τις ἀφέλῃ τὰς χεῖρας, ἢ τῶν χειρῶν μόνους τοὺς δακτύλους, εἰς πάσας σχεδὸν τὰς τέχνας ἀχρηστότατον ποιεῖ τὸν ἄνθρωπον. Διὸ καὶ μόνον ἄνθρωπος, ἐπειδὴ λογικός ἐστι καὶ τεχνῶν δεκτικός, χεῖρας ἔσχε παρὰ τοῦ Δημιουργοῦ. Οἱ δὲ πόδες μεταβατικὸν ὄργανον. Τὴν γὰρ κατὰ τόπον κίνησιν διὰ τούτων ποιούμεθα. Μόνος δὲ ἄνθρωπος καθέζεται, μηδενὸς ἐρείσματος δεόμενος. Μόνος γὰρ πρὸς δύο γωνίας ὀρθὰς κάμπτει [708] τὰ σκέλη, κατά τε τὸ ἰσχίον καὶ τὴν ἰγνύν, τὴν μὲν ἐπὶ τὰ ἔνδον, τὴν δὲ ἐπὶ τὰ ἔξω. Ὅσα τοίνυν διὰ νεύρων καὶ μυῶν κινεῖται, ταῦτα πάντα ψυχικά τέ ἐστι καὶ κατὰ προαίρεσιν ἀποτελεῖται.

Τούτων δὲ καὶ τὰς αἰσθήσεις καὶ τὴν φωνὴν ἐδείξαμεν εἶναι. Αὕτη μὲν οὖν ἐστιν ἡ κατὰ λόγον τῶν τε ψυχικῶν καὶ φυσικῶν ἔργων διάγνωσις. Ὁ δὲ Δημιουργὸς κατὰ τὴν ἄκραν ἑαυτοῦ προμήθειαν συνέπλεξε

τοῖς φυσικοῖς τὰ ψυχικά, καὶ ἀνάπαλιν. Ἐπειδὴ γὰρ ἡ ἔκκρισις τῶν περιττωμάτων, τῆς ἀποκριτικῆς ἐστι δυνάμεως, ἥτις μία τῶν φυσικῶν ἐστι δυνάμεων, ἵνα μὴ ἀπροαιρέτως ἀσχημονῶμεν, ἔνθα οὐ δεῖ, καὶ ὅτε οὐ δεῖ, καὶ ἐφ' ὧν οὐ δεῖ προϊέμενοι, πυλωρούς τινας ἐπέστησε ταῖς ἐκκρίσεσι τοὺς μῦς, καὶ οὕτως ἐποίησε τὰ τῆς φύσεως ἔργα ψυχικά. Τὰς γοῦν ἐκκρίσεις ἐπέχειν διὰ τοῦτο δυνάμεθα, καὶ πολλάκις, καὶ ἐπὶ πολύ. Καταπέμπεται δὲ τὰ μὲν αἰσθητικὰ καὶ μαλακὰ νεῦρα ἀπό τε τῆς μέσης καὶ τῶν ἔμπροσθεν κοιλιῶν τοῦ ἐγκεφάλου, τὰ δὲ σκληρότερα καὶ κινητικά, ἀπὸ τῆς ὄπισθεν κοιλίας καὶ τοῦ νωτιαίου μυελοῦ· σκληρότερα δὲ μᾶλλόν ἐστι τὰ ἐκ τοῦ νωτιαίου, καὶ τούτων δὲ ἔτι μᾶλλον, τὰ ἐκ τῶν κάτωθεν μερῶν τοῦ νωτιαίου. Ὅσῳ γὰρ πλέον ἀποχωρεῖ τοῦ ἐγκεφάλου ὁ νωτιαῖος, τοσούτῳ πλέον αὐτός τε σκληρότερος γίνεται, καὶ τὰ νεῦρα, τὰ ἐξ αὐτοῦ φυόμενα. Ὥσπερ δὲ τὰς αἰσθήσεις διπλᾶς ἐλάβομεν, οὕτω καὶ τὰς ἐκφύσεις τῶν νεύρων διπλᾶς ἔχομεν. Ἕκαστος γὰρ σφόνδυλος τοῦ νωτιαίου συζυγίαν ἐκπέμπει νεύρων, ἧς τὸ μὲν ἐπὶ τὰ δεξιὰ μέρη τοῦ σώματος χωρεῖ, θάτερον δὲ ἐπὶ τὰ ἀριστερά. Σχεδὸν γὰρ ὅλον ἡμῶν τὸ σῶμα εἰς δύο μεμέρισται, εἰς δεξιὰ καὶ ἀριστερά. Οὕτω καὶ πόδες καὶ χεῖρες καὶ τῶν ἄλλων ἕκαστον, ὡς καὶ τῶν αἰσθητηρίων.

Κεφ. ΚΗ'.

Περὶ ἀναπνοῆς.

Καὶ ἡ ἀναπνοὴ δὲ τῶν ψυχικῶν ἐστιν ἔργων. **[709]** Καὶ γὰρ μύες εἰσὶν οἱ διαστέλλοντες τὸν θώρακα, τὸ κυριώτατον τῆς ἀναπνοῆς ὄργανον, καὶ ἡ ἀθρόα καὶ στεναγμώδης ἀναπνοή, ἐπὶ ταῖς μεγάλαις λύπαις γινομένη, ψυχικὴν δείκνυσι τὴν ἐνέργειαν· ἐφ' ἡμῖν δὲ καὶ αἱ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς μεταβολαί. Ἀλγοῦντες γάρ τι τῶν ἀναπνευστικῶν μορίων, ἢ τῶν συγκινουμένων αὐτοῖς, οἷον τοῦ διαφράγματος, ἢ τοῦ ἥπατος, ἢ τοῦ σπληνός, ἢ τῆς κοιλίας καὶ τῶν λεπτῶν ἐντέρων καὶ τοῦ κόλου, μικρὸν καὶ πυκνὸν ἀναπνέομεν· μικρὸν μέν, ἵνα μὴ σφοδρότερον πλήττωμεν τὸ ἀλγοῦν μόριον· πυκνόν δέ, ἵνα τὸ λεῖψαν κατὰ τὸ μέγεθος ἡ πυκνότης ἀναπληρώσῃ. Καὶ γὰρ ὅταν ἀλγῶμεν τὸ σκέλος, ἐπ' ὀλίγον ἐκτείνομεν αὐτὸ βαδίζοντες, διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καὶ τὴν ἀναπνοήν. Ὥσπερ οὖν καὶ τὸ βαδίζειν ψυχικόν, οὕτω καὶ τὸ τῆς ἀναπνοῆς. Ἀλλ' ἡσυχάζοντες μέν, καὶ μὴ βαδίζοντες, ἐπὶ πλεῖστον χρόνον ζῆν δυνάμεθα· τὴν δὲ ἀναπνοὴν οὐδὲ δέκατον ὥρας μέρος ἐπισχεῖν οἷόν τε. Καταπνιγόμενον γὰρ τὸ ἐν ἡμῖν θερμὸν ἐκ τῆς αἰθάλης, κατασβέννυται, καὶ παραχρῆμα θάνατον ἐπάγει. Καὶ γὰρ εἰ φλόγα τις σκεπάσει ἐν ἀγγείῳ τινὶ διαπνοὴν οὐκ ἔχοντι, ἀποσβέσειεν ἂν αὐτὴν καταπνιγεῖσαν ἀπὸ τῆς λιγνύος. Διὰ ταύτην οὖν τὴν ἀνάγκην καὶ κοιμωμένων ἡμῶν οὐδὲν ἧττον ἐνεργεῖ κατὰ τοῦτο τὸ μέρος ἡ ψυχή, εἰδυῖα, ὡς, εἰ τὸ βραχύτατον ῥαθυμήσειε, διαφθείρεται τὸ ζῷον.

Πάλιν οὖν ἐνταῦθα τὸ ψυχικὸν συνεπλάκη τῷ φυσικῷ. Δι' ἀρτηρίας γὰρ ποιεῖται τὴν ἐνέργειαν τῆς ἀναπνοῆς, ὀργάνου φυσικοῦ καὶ ἀεὶ κινουμένου, ἵνα μηδέποτε ἐπιλίπῃ τὸ ἔργον αὐτῆς, ὡς οὐδὲ τῶν ἄλλων ἀρτηριῶν. Ὅθεν τινές, οὐ συνιέντες, φυσικὴν ἐνόμισαν εἶναι τὴν ἀναπνοήν. Τρία δὲ τῆς ἀναπνοῆς ἐστιν αἴτια, χρεία, δύναμις, ὄργανα. Χρεία μὲν διττή, [712] φυλακή τε τῆς ἐμφύτου θερμασίας, καὶ θρέψις τοῦ ψυχικοῦ πνεύματος. Ἀλλ' ἡ μὲν φυλακὴ τῆς κατὰ φύσιν θερμότητος διά τε τῆς εἰσπνοῆς καὶ τῆς ἐκπνοῆς συνίσταται· τῆς μὲν εἰσπνοῆς ψυχούσης καὶ μετρίως ἀναῤῥιπιζούσης τὸ θερμόν· τῆς δὲ ἐκπνοῆς τὸ λιγνυῶδες τῆς καρδίας ἐκχεούσης. Ἡ δὲ θρέψις τοῦ ψυχικοῦ πνεύματος διὰ μόνης τῆς ἀναπνοῆς. Ἕλκεται γάρ τις ἀέρος μοῖρα κατὰ τὰς διαστολὰς τῆς καρδίας εἰς αὐτήν.

Δύναμις δέ, ἡ ψυχική. Αὕτη γάρ ἐστιν ἡ κινοῦσα τὰ ὄργανα τῆς ἀναπνοῆς διὰ τῶν μυῶν, καὶ πρῶτον τὸν θώρακα. Τούτῳ δὲ συγκινεῖται ὁ πνεύμων καὶ αἱ τραχεῖαι ἀρτηρίαι, μέρος οὖσαι τοῦ πνεύμονος. Τῆς γὰρ τραχείας ἀρτηρίας τὸ μὲν χονδρῶδες, τῆς φωνῆς ἐστιν ὄργανον· οἱ δὲ ὑμενώδεις αὐτῆς δεσμοὶ τῆς ἀναπνοῆς· τὸ δὲ ἐξ ἀμφοτέρων τούτων, αὐτὴ ἡ ἀρτηρία, φωνητικόν τε ἅμα καὶ ἀναπνευστικὸν ὄργανον. Ἔστιν οὖν ὁ πνεύμων, πλέγμα συγκείμενον ἐκ τεσσάρων, ἔκ τε τῆς τραχείας ἀρτηρίας, καὶ τῆς λείας, καὶ φλεβός, καὶ τῆς ἀφρώδους σαρκὸς αὐτοῦ τοῦ πνεύμονος, ἥτις σὰρξ ἀναπληροῖ, δίκην στοιβῆς, τὰς μεταξὺ χώρας τοῦ πλέγματος τῶν τε δύο ἀρτηριῶν καὶ τῆς φλεβός, ὥστε τούτων ἕδραν αὐτὴν καὶ δεσμὸν γενέσθαι. Συμπέσσει δὲ ἡ σὰρξ τοῦ πνεύμονος φυσικῶς τὸ πνεῦμα, καθάπερ τὸ ἧπαρ τὸν ἐκ τῆς κοιλίας χυμόν· καὶ διὰ τοῦτο, ὥσπερ τὸ ἧπαρ ἄκροις τοῖς λοβοῖς ἑαυτοῦ περιέχει τὴν γαστέρα, θερμασίας δεομένην, οὕτω καὶ ὁ πνεύμων μέσην περιλαμβάνει τὴν καρδίαν, δεομένην τῆς ἐκ τῆς ἀναπνοῆς περιψύξεως. Συνάπτεται δὲ τῇ τραχείᾳ ἀρτηρίᾳ κατὰ τὸ συνεχὲς ὁ βρόγχος, συγκείμενος ἐκ [713] μεγάλων τριῶν χόνδρων· τούτῳ δὲ ὁ φάρυγξ· εἶτα τὸ στόμα καὶ ἡ ῥίς. Δι' ἀμφοτέρων γὰρ ἕλκομεν ἔξωθεν τὸν ἀέρα· χωρεῖ δὲ ἐντεῦθεν διὰ τοῦ ἠθμοειδοῦς ἢ σπογγοειδοῦς ὀστοῦ, ὅπερ κατετρήθη, ἵνα ἐν ταῖς ὑπερβολαῖς, ταῖς κατὰ ποιότητα, τοῦ ἀέρος μηδὲν ὁ ἐγκέφαλος βλάπτηται, ἀθρόου τοῦ πνεύματος ἐμπίπτοντος εἰς αὐτόν. Συνεχρήσατο δὲ καὶ ἐνταῦθα τῇ ῥινὶ πρός τε τὴν ἀναπνοὴν καὶ τὴν ὄσφρησιν ὁ Δημιουργός, ὡς τῇ γλώττῃ πρός τε τὴν φωνὴν καὶ τὴν γεῦσιν καὶ τὴν διαμάσησιν. Τὰ μὲν οὖν κυριώτατα μόρια πρός τε τὴν ὕπαρξιν αὐτὴν καὶ πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας ταῖς ψυχικαῖς συνδιήρηται δυνάμεσιν. Εἰ δέ τι καὶ παραλέλειπται ἐκ τῶν ἤδη λεχθέντων εὐσύνοπτον ἔσται. Ὥσπερ δὲ πάντων τῶν γενομένων τὰ μὲν δι' ἑαυτὰ γέγονε, τὰ δὲ καὶ δι' ἑαυτὰ καὶ δι' ἕτερα, τὰ δὲ δι' ἕτερα μόνον, τὰ δὲ κατὰ συμβεβηκὸς παρυπέστη· οὕτω κἀπὶ τῶν μορίων τοῦ ζῴου τὴν αὐτὴν εὑρήσεις ἀκολουθίαν.

Τὰ μὲν γὰρ εἰρημένα πάντα τῶν τριῶν ἀρχῶν ὄργανα, τῶν διοι-

κουσῶν τὸ ζῷον δι' ἑαυτὰ γέγονε. Ταῦτα γὰρ προηγουμένως καὶ κατὰ πρῶτον λόγον κατεσκεύασται, ἃ καὶ κατὰ φύσιν κυρίως λέγεται, καὶ ἐν τῇ μήτρᾳ ἐξ αὐτοῦ τοῦ σπέρματος λαμβάνει τὴν γένεσιν, ὡς τὰ ὀστέα. Ἡ δὲ ξανθὴ χολὴ καὶ δι' ἑαυτὴν καὶ δι' ἄλλο. Καὶ γὰρ καὶ πρὸς πέψιν συντελεῖ, καὶ κινεῖ τὴν ἔκκρισιν, καὶ γίνεται κατὰ ταῦτα τρόπον τινὰ τῶν θρεπτικῶν ἕν τι μόριον· οὐ μὴν ἀλλὰ καὶ θερμασίαν τινὰ παρέχει τῷ σώματι, καθάπερ ἡ ζωτικὴ δύναμις. Τούτων μὲν οὖν ἕνεκα δι' ἑαυτὴν δοκεῖ γεγονέναι· τῷ δὲ καθαίρειν τὸ αἷμα, δι' ἄλλο πως δοκεῖ γεγονέναι. Καὶ ὁ **[716]** σπλὴν δὲ οὐ μικρὰ πρὸς πέψιν συμβάλλεται. Ὀξώδης γὰρ ὢν καὶ στρυφνὸς τὴν φύσιν, καὶ τὴν ἔκκρισιν τοῦ περιττεύοντος χυμοῦ τοῦ μέλανος εἰς τὴν γαστέρα προχέων, στύφει τε αὐτὴν καὶ τονοῖ καὶ πρὸς τὰς πέψεις διεγείρει. Πρὸς τούτοις δὲ καὶ καθαίρει τὸ ἧπαρ. Διὸ καὶ αὐτὸς δοκεῖ πως διὰ τὸ αἷμα γεγονέναι. Καὶ οἱ νεφροὶ δὲ τοῦ τε αἵματος καθάρσιόν εἰσι καὶ τῆς ὀρέξεως τῆς κατὰ τὴν συνουσίαν αἴτιοι. Αἱ γὰρ φλέβες, ἃς ἐλέγομεν ἐμπίπτειν εἰς τοὺς διδύμους, διὰ τῶν νεφρῶν διεξέρχονται· κἀκεῖθεν ἀρύονται δριμύτητά τινα, τὴν ἐρεθίζουσαν τὴν ὄρεξιν, ὥσπερ καὶ τὸν κνησμὸν ἡ δριμύτης ὑπὸ τὸ δέρμα γενομένη ποιεῖ. Ὅσῳ δὲ τῶν διδύμων ἡ σὰρξ ἁπαλωτέρα τοῦ δέρματός ἐστι, τοσούτῳ πλέον ὑπὸ τῆς δριμύτητος δακνόμενοι, ἐμμανῆ ποιοῦσι τῆς ἐκκρίσεως τῆς γονῆς τὴν ἐπιθυμίαν. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα τρόπον τινὰ καὶ δι' ἑαυτὰ καὶ δι' ἄλλα γέγονεν. Οἱ δὲ ἀδένες καὶ ἡ σὰρξ δι' ἄλλα μόνον. Οἱ μὲν γὰρ ἀδένες ὄχημα καὶ στήριγμα τῶν ἀγγείων εἰσίν, ἵνα μὴ διαρραγῇ μετέωρα φερόμενα ἐν ταῖς βιαίοις κινήσεσιν. Ἡ δὲ σὰρξ σκέπασμα γέγονε τῶν ἄλλων μορίων, ἵνα καὶ θέρους ἀναψύχῃ τὸ ζῷον, νοτίαν ἔσωθεν ἐκπέμπουσα, καί, χειμῶνος τὴν τῶν πιλητῶν ἐρίων αὐτοῖς παρέχῃ χρείαν. Καὶ τὸ δέρμα δὲ σκέπασμα γέγονε καὶ τῆς ἁπαλῆς σαρκὸς καὶ τῶν ἄλλων πάντων τῶν ἐντοσθίων· ἔστι δὲ τὴν φύσιν σάρξ, ὑπό τε τοῦ περιέχοντος καὶ τῶν προσομιλούντων σωμάτων τυλωθεῖσα. Τὰ δὲ ὀστᾶ στήριγμα τοῦ παντὸς σώματός ἐστι, καὶ μάλιστα ἡ ῥάχις, ἣν καὶ τρόπιν τοῦ ζῴου φασὶν εἶναι.

Οἱ ὄνυχες δὲ καὶ κοινῇ μὲν πᾶσι τοῖς ἔχουσι παρ**[717]**έχονται χρείαν, τὴν τοῦ κνήθεσθαι, καὶ ἰδίαν δὲ παρὰ ταύτην ἄλλην ἄλλῳ. Πολλοῖς μὲν γὰρ τῶν ζῴων ἀμυντήριον ἐδόθησαν, ὡς τοῖς γαμψώνυξι καὶ εἰσὶν ὥσπερ ὄργανον τοῦ θυμικοῦ· πολλοῖς δὲ ἀμυντήριόν τε ἅμα καὶ στήριγμα τῆς βάσεως, ὡς τοῖς ἵπποις καὶ παντὶ μονώνυχι καὶ ἀνθρώποις δέ, οὐ μόνον πρὸς τὸ κνήθεσθαι καὶ διαφορεῖν τὴν δριμύτητα τοῦ δέρματος, ἀλλὰ καὶ πρὸς τὴν τῶν λεπτῶν ἀντίληψιν· τὰ γὰρ πάνυ λεπτὰ δι' αὐτῶν ἐπαίρομεν· καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὄπισθεν ἀντιβαίνοντες, στηρίζουσι τὴν λαβὴν αὐτῶν. Αἱ γὰρ τρίχες κατὰ συμβεβηκὸς παρυπέστησαν. Τῶν γὰρ ἀτμῶν τῶν καπνωδεστάτων τῶν ἀναπεμπομένων ἐκ τοῦ σώματος, πῆξίν τινα λαμβανόντων, κατὰ συμβεβηκὸς συνίστανται. Οὐδὲ ταύτας δὲ παντάπασιν ἀχρήστους ἐποίησεν ὁ

Δημιουργός· ἀλλά, καίπερ κατὰ συμβεβηκὸς γενομένας, εἰς σκέπην τε καὶ κάλλος συντελεῖν τοῖς ζῴοις παρεσκεύασε· σκέπην μὲν αἰξὶ καὶ προβάτοις, κόσμον δὲ τοῖς ἀνθρώποις· τισὶ δὲ ζῴοις κόσμον τε ἅμα καὶ σκέπην, ὡς τῷ λέοντι.

Κεφ. ΚΘ'.

Περὶ ἑκουσίου καὶ ἀκουσίου.

Ἐπειδὴ πολλάκις ἐμνημονεύσαμεν ἑκουσίου καὶ ἀκουσίου, ἀνάγκη καὶ περὶ τούτων διαλαβεῖν, ἵνα τῆς ἀκριβοῦς αὐτῶν γνώσεως μὴ διασφαλλώμεθα. Δεῖ δὲ τὸν μέλλοντα περὶ ἀκουσίου καὶ ἑκουσίου λέγειν, πρότερον ἐκθέσθαι κανόνας τινὰς καὶ γνώμονας, δι' ὧν γνώριμον ἔσται, εἴτε ἑκούσιον, εἴτε ἀκούσιόν ἐστι τὸ γινόμενον. Ἐπεὶ τοίνυν πᾶν ἀκούσιον ἐν πράξει τινί ἐστι, καὶ τὸ νομιζόμενον δὲ ἀκούσιον καὶ αὐτὸ ἐν πράξει ἐστί· δειχθήσεται τοῦτο μετ' οὐ πολύ· τινὲς δὲ καὶ τὸ ὄντως ἀκούσιον, οὐ μόνον ἐν τῷ πάσχειν, ἀλλὰ καὶ ἐν τῷ πράττειν τίθενται· ὁριστέον πρὸ τῶν ἄλλων, τί ἐστι πρᾶξις. Πρᾶξίς ἐστιν ἐνέργεια λογική. Ταῖς δὲ πράξεσιν ἔπαινος ἢ ψόγος ἕπεται· καὶ αἱ μὲν αὐτῶν μεθ' ἡδονῆς, αἱ δὲ μετὰ λύπης πράττονται· **[720]** καὶ αἱ μὲν εἰσὶν αἱρεταὶ τῷ πράττοντι, αἱ δὲ φευκταί· καὶ τῶν αἱρετῶν αἱ μὲν ἀεὶ αἱρεταί, αἱ δὲ κατά τινα χρόνον· ὁμοίως δὲ καὶ τῶν φευκτῶν. Καὶ πάλιν, αἱ μὲν τῶν πράξεων ἐλεοῦνται καὶ συγγνώμης ἀξιοῦνται, αἱ δὲ μισοῦνται καὶ κολάζονται. Ἔστωσαν οὖν γνώμονες τοῦ μὲν ἑκουσίου, τὸ πάντως ἐπακολουθεῖν ἔπαινον ἢ ψόγον, καὶ τὸ μεθ' ἡδονῆς πράττεσθαι, καὶ τὸ αἱρετὰς εἶναι τὰς πράξεις, τοῖς πράττουσιν ἢ ἀεί, ἢ τότε, ὅτε πράττονται. Τοῦ δὲ ἀκουσίου γνώμονες, τὸ συγγνώμης ἢ ἐλέους ἀξιοῦσθαι, καὶ τὸ μετὰ λύπης πράττεσθαι, καὶ τὸ μὴ εἶναι αἱρετάς. Τούτων οὕτω διορισθέντων, λέγωμεν πρότερον περὶ τοῦ ἀκουσίου.

Κεφ. Λ'.

Περὶ ἀκουσίου.

Τοῦ ἀκουσίου τὸ μὲν κατὰ βίαν, τὸ δὲ δι' ἄγνοιάν ἐστι. Τῶν τοίνυν κατὰ βίαν ἀκουσίων ἡ ποιητικὴ ἀρχὴ ἔξωθέν ἐστι. Ἄλλο γάρ τι τῆς βίας αἴτιόν ἐστι, καὶ οὐχ ἡμεῖς. Ὅρος τοίνυν τοῦ κατὰ βίαν ἀκουσίου ἐστίν, οὗ ἡ ἀρχὴ ἔξωθεν, μηδὲν συμβαλλομένου κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέντος. Ἀρχὴ δὲ εἴρηται ἐνταῦθα ἡ ποιητικὴ αἰτία. Ζητεῖται δέ, εἰ καὶ ταῦτα ἀκούσιά ἐστιν, οἷον αἱ ἀποβολαὶ τῶν φορτίων, ἃς ποιοῦνται οἱ ναῦται χειμῶνι περιπεσόντες, ἢ ὅταν τις αἰσχρὸν πρᾶγμα καταδέξηται παθεῖν ἢ πρᾶξαι, ὑπὲρ τοῦ σῶσαι φίλους ἢ πατρίδα. Ἐοίκασι δὲ μᾶλλον εἶναι ἑκούσιοι. Διὰ τοῦτο γὰρ πρόσκειται τῷ ὅρῳ, τῷ μηδὲν συμβαλλομένῳ κατ' οἰκείαν ὁρμὴν τοῦ βιασθέντος. Ἐπὶ γὰρ τοῖς τοιούτοις ἑκόντες αὐτοὶ δι' ἑαυτῶν κινοῦσι τὰ ὀργανικὰ

μόρια, καὶ οὕτω ῥίπτουσιν εἰς τὴν θάλασσαν τὰ φορτία. Ὁμοίως δὲ καὶ οἱ αἰσχρὸν ἢ δεινόν τι ὑπομένοντες διὰ μεῖζον καλόν, ὡς Ζήνων, ὁ ἀποφαγὼν ἑαυτοῦ τὴν γλῶτταν καὶ ἀποπτύσας Διονυσίῳ [721] τῷ τυράννῳ, ὑπὲρ τοῦ μηδόλως αὐτῷ ἐξειπεῖν τὰ ἀπόῤῥητα· ὁμοίως δὲ καὶ Ἀνάξαρχος ὁ φιλόσοφος ὑπομείνας πτίσσεσθαι ὑπὸ Νικοκρέοντος τοῦ τυράννου ὑπὲρ τοῦ μὴ προδοῦναι τοὺς φίλους. Καθόλου οὖν, ὅταν ἢ διὰ φόβον μειζόνων κακῶν ἕληταί τις τὸ ἔλαττον κακὸν ἢ δι' ἐλπίδα μείζονος καλοῦ καταδέξηταί τις τὸ ἔλαττον κακόν, ὃ οὐκ ἔστιν ἄλλως κατορθῶσαι, οὐκ ἀκούσιον ὑπομένει πάθος ἢ πρᾶξιν· ποιεῖ γὰρ κατὰ προαίρεσιν καὶ κατ' ἐκλογήν, καὶ τότε εἰσὶν αἱρεταί, ὅταν πράττωνται καθ' ἑαυτὰς οὐκ οὖσαι αἱρεταί. Εἰσὶν οὖν μικταὶ ἐξ ἀκουσίου καὶ ἑκουσίου· ἀκουσίου μέν, καθ' ἑαυτάς, ἑκουσίου δὲ τότε, διὰ περίστασιν. Ἄνευ γὰρ περιστάσεως οὐδεὶς ἂν ἕλοιτο ταῦτα πρᾶξαι. Δηλοῖ δὲ καὶ ὁ ἐπὶ ταῖς τοιαύταις πράξεσι γενόμενος ἔπαινος ἢ ψόγος, ὅτι ἑκούσιαί εἰσιν. Ἀκουσίων γὰρ ἔργων οὐδεὶς ἔπαινος ἢ ψόγος ἔσται. Οὐκ ἔστι δὲ ῥᾴδιον διακρῖναι, ποῖον ἀντὶ ποίου αἱρετέον.

Δεῖ δὲ ὡς ἐπὶ τὸ πολὺ πρὸ τῶν αἰσχρῶν αἱρεῖσθαι τὰ λυπηρά, ὡς Σωσάννα καὶ Ἰωσὴφ ἐποίησαν, οὐκ ἀεὶ μέντοι. Ὠριγένης γοῦν, διὰ τὸ μὴ περιπεσεῖν τῇ αἰσχύνῃ τῇ τῶν Αἰθιόπων, ἐπιθύσας, τοῦ παντὸς ἐξέπεσεν. Οὕτως οὐκ ἔστιν εὔκολος ἡ τῶν τοιούτων διάγνωσις. Ἔτι δὲ καὶ τούτου χαλεπώτερόν ἐστι τὸ ἐμμεῖναι τοῖς δόξασιν. Οὐ γὰρ ὁμοίως ἐκπλήσσει τὰ δεινὰ προσδοκώμενα καὶ ἐπαγόμενα. Ἀλλ' ἐνίοτε κρίναντες ἐξιστάμεθα τῆς κρίσεως, ἐν τοῖς δεινοῖς γενόμενοι, ὡς ἐπί [724] τινων συμβέβηκεν ἐν τῷ μαρτυρεῖν. Τὴν ἀρχὴν γὰρ καρτερήσαντες, περὶ τὸ τέλος ἐνέδωκαν, ἐν τῇ πείρᾳ τῶν χαλεπῶν ἀπομαλακισθέντες. Μηδεὶς δὲ νομίσῃ τῆς ἀκολασίας τὴν ἐπιθυμίαν ἢ τὸν θυμὸν τῶν ἀκουσίων εἶναι πλημμελημάτων, ἐπειδὴ καὶ ταῦτα τὴν ἀρχὴν ἔξωθεν ἔχει τὴν ποιητικήν. Τό τε γὰρ κάλλος τῆς πόρνης ἐξοίστρησεν ἐπὶ τὴν ἀκολασίαν τὸν ἑωρακότα, καὶ ὁ παροξύνας ἐκίνησε τὸν θυμόν. Εἰ γὰρ καὶ τὴν ἀρχὴν ἔξωθεν ἔχουσιν, ἀλλ' αὐτοὶ δι' ἑαυτῶν καὶ τῶν ὀργανικῶν μορίων ἐνεργοῦσι, καὶ οὐχ ὑποπίπτουσι τῷ ὅρῳ τοῦ ἀκουσίου, ὁπότε καὶ τῆς ἀρχῆς τὴν αἰτίαν ἑαυτοῖς παρέχονται, διὰ φαύλην ἀγωγὴν ὑπὸ τῶν παθῶν ῥᾳδίως αἰχμαλωτιζόμενοι. Ψέγονται γοῦν οἱ ταῦτα πράττοντες, ὡς ἑκούσιον κακὸν ὑπομένοντες. Ὅτι δὲ ἑκούσιόν ἐστι, δῆλον. Ἥδονται γὰρ ἐπὶ τῇ πράξει· τὸ δὲ ἀκούσιον λυπηρὸν ἐδείχθη. Περὶ μὲν οὖν τοῦ ἀκουσίου τοῦ βίᾳ ταῦτα, περὶ δὲ τοῦ δι' ἄγνοιαν εἰπεῖν ὑπολέλειπται.

Κεφ. ΛΑ'.

Περὶ τοῦ δι' ἄγνοιαν ἀκουσίου.

Πολλὰ πράττομεν δι' ἄγνοιαν, ἐφ' οἷς μετὰ τὴν πρᾶξιν χαίρομεν, ὡς ὅταν τις ἄκων μὲν ἐχθρὸν φονεύσῃ, χαίρῃ δὲ ἐπὶ τῷ φόνῳ. Ταῦτ'

οὖν καὶ τὰ τοιαῦτα καλοῦσιν οὐχ ἑκούσια, οὐ μέντοι καὶ ἀκούσια. Καὶ πάλιν πράττομέν τινα δι' ἄγνοιαν, καὶ ἐπὶ τοῖς γενομένοις λυπούμεθα. Ταῦτα δὲ ἐκάλεσαν ἀκούσια, ὅσοις πραχθεῖσιν ἐπακολουθεῖ λύπη. Τῶν οὖν δι' ἄγνοιαν δύο ἐστὶν εἴδη· ἓν μὲν τὸ οὐχ ἑκούσιον, ἕτερον δὲ τὸ ἀκούσιον. Πρόκειται δὲ νῦν εἰπεῖν περὶ μόνου τοῦ ἀκουσίου. Τὸ γὰρ οὐχ ἑκούσιον τοῖς ἑκουσίοις μᾶλλον ὑπάγεται, μικτὸν ὑπάρχον. Τὴν μὲν γὰρ ἀρχὴν ἀκούσιον ἔχει· τὸ δὲ τέλος, ἑκούσιον. Ἐξ ἀποβάσεως γὰρ ἑκούσιον γέγονε τὸ ἀκούσιον. Διὸ καὶ οὕτως ὁρίζονται τὸ ἀκούσιον· Ἀκούσιόν ἐστι τό, πρὸς τῷ μὴ ἑκούσιον εἶναι, ἐπίλυπον ὂν καὶ ἐν μεταμελείᾳ. Πάλιν, ἄλλο μέν ἐστι τὸ δι' ἄγνοιάν τι ποιεῖν, ἄλλο δέ, **[725]** ἀγνοοῦντα. Ἐὰν γὰρ ἐφ' ἡμῖν ᾖ τῆς ἀγνοίας τὸ αἴτιον, ἀγνοοῦντες μὲν ποιοῦμεν, οὐ δι' ἄγνοιαν δέ. Ὁ γὰρ μεθύων καὶ θυμούμενος καὶ ποιῶν τι φαῦλον, ὁ μὲν τὴν μέθην, ὁ δὲ τὴν ὀργὴν αἰτίαν ἔχει τῶν ὑπ' αὐτοῦ γινομένων, ἅπερ ἑκούσια ἦν. Ἐξῆν γὰρ αὐτῷ μὴ μεθυσθῆναι. Αὐτὸς οὖν ἑαυτῷ τῆς ἀγνοίας γέγονεν αἴτιος. Ταῦτα οὖν οὐ δι' ἄγνοιαν λέγεται ποιεῖν, ἀλλ' ἀγνοῶν πράττειν, ἅπερ οὐκ ἔστιν ἀκούσια, ἀλλ' ἑκούσια. Διὸ καὶ ψέγονται παρὰ τῶν χρηστῶν οἱ ταῦτα πράττοντες. Εἰ γὰρ μὴ ἐμεθύσθη, οὐκ ἂν ἐποίησεν· ἑκὼν δὲ ἐμεθύσθη, ἑκὼν ἄρα ταῦτα ἐποίησε. Δι' ἄγνοιαν δὲ ταῦτα πράττομεν, ὅταν μὴ αὐτοὶ παρέχωμεν τὴν αἰτίαν τῆς ἀγνοίας, ἀλλ' οὕτω συνέβη· οἷον, ἐν τῷ τόπῳ τις τῷ συνήθει τοξεύων, τὸν πατέρα παριόντα κατὰ τύχην βαλών, ἀπέκτεινεν. Ἐκ τῶν εἰρημένων οὖν ἀποδείκνυται, ὅτι οὐχ ὁ ἀγνοῶν τὰ συμφέροντα, οὐδ' ὁ νομίζων εἶναι τὰ φαῦλα χρηστά, πάθος ἀκούσιον ὑπομένει. Τῆς γὰρ αὐτοῦ μοχθηρίας ἐστὶν ἡ ἄγνοια· ψέγεται γοῦν καὶ οὗτος· τῶν δὲ ἑκουσίων ὁ ψόγος. Οὐκ ἄρα τῶν καθόλου καὶ γενικῶν, ἢ τῶν κατὰ προαίρεσιν, ἀκούσιός ἐστιν ἡ ἄγνοια, ἀλλὰ τῶν ἐν μέρει. Τὰ μὲν γὰρ καθ' ἕκαστα ἄκοντες, τὰ δὲ καθόλου ἑκόντες ἀγνοοῦμεν.

Τούτων οὕτω διωρισμένων, ἑξῆς ῥητέον ποῖά ἐστι τὰ καθ' ἕκαστα. Ταῦτα δέ ἐστιν, ἃ καλεῖται παρὰ τοῖς ῥήτορσι περιστατικὰ μόρια· τίς, τίνα, τί, τίνι, ποῦ, πότε, πῶς, διατί. Οἷον, πρόσωπον, πρᾶγμα, ὄργανον, τόπος, χρόνος, τρόπος, αἰτία. Πρόσωπον μέν, τὸ ποιοῦν ἢ περὶ τίνα ἡ πρᾶ**[728]**ξις· οἷον, εἰ πατέρα υἱὸς ἐτύπτησεν ἀγνοῶν· πρᾶγμα δέ, αὐτὸ τὸ πραχθέν, εἰ ῥαπίσαι θέλων ἐτύφλωσεν· ὄργανον δέ, εἰ λίθον ἠκόντισε, νομίσας εἶναι κίσσηριν· τόπος δέ, εἰ ἐν τῷ περικλᾶν στενωπόν, ἔκρουσεν ἀγνοῶν τὸν ἀπαντήσαντα· χρόνος δέ, εἰ ἐν νυκτί, νομίσας πολέμιον τὸν φίλον, ἐφόνευσεν· τρόπος δέ, εἰ πλήξας ἠρέμα καὶ μὴ ῥαγδαίως, ἐφόνευσεν· ἠγνόησε γάρ, εἰ πληγεὶς ἠρέμα τελευτήσει· αἰτία δέ, εἰ ὁ μὲν ἔδωκε φάρμακον, ὡς ὑγιάζον, ἀπέθανε δὲ ὁ λαβών, τῷ τὸ φάρμακον εὑρεθῆναι δηλητήριον. Ἀλλὰ ταῦτα μὲν ἅμα πάντα οὐδ' ἂν μαινόμενός τις ἀγνοήσειεν· ὁ δὲ τὰ πλεῖστα τούτων ἢ τὰ κυριώτερα ἀγνοήσας, οὗτος δι' ἄγνοιαν πεποίηκε. Κυριώτατα δέ ἐστιν ἐν τούτοις τό, οὗ ἕνεκα, καὶ τί τὸ πραττόμενον, τουτέστιν ἡ αἰτία καὶ τὸ πρᾶγμα.

Κεφ. ΛΒ'.

Περὶ τοῦ ἑκουσίου.

Τοῦ ἀκουσίου ὄντος διττοῦ, τοῦ τε δι' ἄγνοιαν καὶ τοῦ κατὰ βίαν, τὸ ἑκούσιον ἀμφοτέροις ἀντίκειται. Ἔστι γὰρ τὸ μήτε βίᾳ, μήτε δι' ἄγνοιαν γινόμενον. Καὶ ἔστιν οὐ βίᾳ μέν, οὗ ἡ ἀρχὴ ἐν αὐτοῖς· οὐ δι' ἄγνοιαν δέ, εἰ μὴ τῶν καθ' ἕκαστά τι εἴη ἀγνοούμενον, δι' ὧν καὶ ἐν οἷς ἡ πρᾶξις. Συνθέντες οὖν ἑκάτερον, ὁριζόμεθα τὸ ἑκούσιον, οὗ ἡ ἀρχὴ ἐν αὐτῷ, εἰδότι τὰ καθ' ἕκαστα, ἐν οἷς ἡ πρᾶξις. Ζητεῖται δέ, εἰ τὰ φύσει γινόμενα ἑκούσιά ἐστιν· οἷον, ἡ πέψις καὶ ἡ αὔξησις. Δείκνυται δὲ ταῦτα μήτε ἑκούσια, μήτε ἀκούσια. Τὸ γὰρ ἑκούσιον καὶ ἀκούσιον ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν· ἡ δὲ πέψις καὶ ἡ αὔξησις οὐκ ἐφ' ἡμῖν. Ὅθεν, εἰ καὶ τὰ καθ' ἕκαστα μὴ ἀγνοοῦμεν, τῷ μὴ ἐφ' ἡμῖν **[729]** αὐτὰ εἶναι, οὔτε ἑκούσιά ἐστιν, οὔτε ἀκούσια. Τὰ δὲ διὰ θυμὸν καὶ ἐπιθυμίαν ἐδείχθη ἑκούσια. Καὶ γὰρ κατορθούμενα ἐπαινεῖται, καὶ ἁμαρτανόμενα ψέγεται ἢ μισεῖται· καὶ ἡδονὴ καὶ λύπη αὐτοῖς ἐπακολουθεῖ, καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς ἐστιν. Ἐν αὐτοῖς γὰρ ἦν τὸ μὴ ὑπὸ τῶν παθῶν ῥᾳδίως ἁλίσκεσθαι. Διὰ γὰρ τῶν ἐθῶν τὰ τοιαῦτα κατορθοῦται.

Ἄλλως τε, εἰ ταῦτα ἀκούσια, οὐδὲν τῶν ἀλόγων ζῴων ἑκουσίως τι πράττει, ἀλλ' οὐδὲ τὰ παιδία· νῦν δὲ οὐχ οὕτως ἔχει· ὁρῶμεν γὰρ ἑκουσίως αὐτὰ ἐπὶ τὴν τροφὴν ἐρχόμενα, καὶ οὔτε βίᾳ (αὐτὰ γάρ ἐστι τὰ δι' ἑαυτῶν ὁρμῶντα), οὔτε δὴ ἀγνοοῦντα· τὴν γὰρ τροφὴν οὐκ ἀγνοεῖ. Θεωρήσαντα γοῦν τροφήν, ἥδεται καὶ ὡς ἐπὶ πρᾶγμα γνώριμον ὁρμᾷ, καὶ ἀποτυγχάνοντα λυπεῖται. Ἑκουσίου δὲ γνώμονες, ἐπιτυγχάνοντος μέν, ἡδονή, ἀποτυγχάνοντος δέ, λύπη· ἐξ ὧν δῆλον, ὡς ἑκούσιον ἔχει τὴν ἐπιθυμίαν καὶ τὸν θυμόν· καὶ γὰρ ὁ θυμὸς μεθ' ἡδονῆς γίνεται. Καὶ ἄλλως, ἐάν τις τὰ διὰ θυμὸν καὶ ἐπιθυμίαν ἑκούσια μὴ λέγῃ, ἀναιρεῖ τὰς ἠθικὰς ἀρετάς. Ἐν μεσότητι γὰρ αὗται τῶν παθῶν εἰσιν. Εἰ δὲ ἀκούσια τὰ πάθη, ἀκούσιοι καὶ αἱ πράξεις αἱ κατὰ τὰς ἀρετάς. Καὶ γὰρ αὗται κατὰ πάθος γίνονται. Οὐδεὶς δὲ τὸ κατὰ λογισμὸν καὶ προαίρεσιν καὶ κατ' οἰκείαν ὁρμὴν καὶ ἔφεσιν, μετὰ τοῦ γνωρίζειν τὰ καθ' ἕκαστα, ἀκούσιον λέγει. Ἐδείχθη δὲ καὶ ἡ ἀρχὴ ἐν αὐτοῖς· ἑκούσια ἄρα. Ἐπειδὴ δὲ πολλαχοῦ τῆς προαιρέσεως ἐμνημονεύσαμεν, καὶ τοῦ ἐφ' ἡμῖν, διαληπτέον καὶ περὶ προαιρέσεως.

Κεφ. ΛΓ'.

Περὶ προαιρέσεως.

Τί ἄρα ἐστὶν ἡ προαίρεσις; Ἆρα τὸ ἑκού**[732]**σιον, ἐπειδὴ πᾶν τὸ κατὰ προαίρεσιν καὶ ἑκούσιόν ἐστιν; Ἀλλ' οὐκ ἀντιστρέφει, ὅπερ ἐγένετο ἄν, εἰ ταὐτὸν ἦν ἑκούσιον καὶ προαίρεσις· νῦν δὲ ἐπὶ πλέον εὑρίσκομεν τὸ ἑκούσιον. Πᾶσα μὲν γὰρ προαίρεσις ἑκούσιος· οὐ πᾶν δὲ τὸ ἑκούσιον ἐν προαιρέσει. Καὶ γὰρ τὰ παιδία καὶ τὰ ἄλογα ἑκουσίως μὲν ποιεῖ,

οὐ μὴν καὶ προαιρούμενα. Καὶ ὅσα δὲ διὰ θυμὸν πράττομεν, μὴ προβουλευσάμενοι, ταῦτα ἑκουσίως μὲν ποιοῦμεν, οὐ μὴν καὶ κατὰ προαίρεσιν. Ἀλλὰ καὶ ὁ φίλος ἡμῖν ἐξαίφνης ἐπέστη· ἑκουσίως μέν, ὡς ἥδεσθαι· οὐ μὴν δὲ προῃρημένοις. Καὶ ὁ θησαυρὸν ἀπροσδοκήτως εὑρών, ἑκουσίως μὲν ἑρμαίῳ περιέτυχεν, οὐ προαιρουμένως δέ. Ἐκ πάντων οὖν συνάγεται, τὸ μὴ ταὐτὸν εἶναι τὸ ἑκούσιον τῇ προαιρέσει. Ἆρ' οὖν ὄρεξίς ἐστιν ἡ προαίρεσις; Ἀλλ' οὐδὲ τοῦτο. Διαιρεῖται γὰρ ἡ ὄρεξις εἰς τρία, εἰς ἐπιθυμίαν καὶ θυμὸν καὶ βούλησιν. Ἀλλ' ὅτι μὲν οὔτε θυμός, οὔτε ἐπιθυμία ἐστὶν ἡ προαίρεσις, φανερὸν ἐκ τοῦ μὴ εἶναι κοινωνίαν τοῖς ἀνθρώποις πρὸς τὰ ἄλογα κατὰ προαίρεσιν, ἀλλὰ κατ' ἐπιθυμίαν καὶ θυμόν. Εἰ γὰρ κατὰ ταῦτα μὲν κοινωνοῦμεν, κατὰ προαίρεσιν δὲ διαφέρομεν, δῆλον, ὡς ἄλλο μέν τι προαίρεσις, ἄλλο δὲ θυμὸς καὶ ἐπιθυμία. Δείκνυσι δὲ καὶ ὁ ἀκρατής, κρατούμενος μὲν ὑπὸ τῆς ἐπιθυμίας, καὶ πράττων κατ' αὐτήν, μὴ μέντοι κατὰ προαίρεσιν. Ἀντιβαίνει γὰρ ἐπ' αὐτοῦ ἡ προαίρεσις τῇ ἐπιθυμίᾳ. Εἰ δὲ ταὐτὸν ἦσαν, οὐκ ἐμάχοντο. Καὶ ὁ ἐγκρατὴς δέ, πράττων κατὰ προαίρεσιν, οὐ πράττει κατ' ἐπιθυμίαν. Ὅτι δὲ οὔτε βούλησίς ἐστιν ἡ προαίρεσις, δῆλον ἐντεῦθεν. Οὐ πᾶσιν, οἷς ἁρμόζει τὸ προαιρεῖσθαι, τούτοις ἁρμόζει καὶ τὸ βούλεσθαι.

Φαμὲν γὰρ βούλεσθαι ὑγιαίνειν, προαιρεῖσθαι δὲ ὑγιαίνειν οὐδεὶς ἂν εἴποι· καὶ βούλεσθαι πλουτεῖν, οὐκ ἔτι δὲ καὶ προαιρεῖσθαι πλουτεῖν λέγεται. Ἔτι τὸ μὲν βούλεσθαι καὶ ἐπὶ τῶν ἀδυνάτων τάττεται· τὸ δὲ προαιρεῖσθαι, ἐπὶ μόνων τῶν ἐφ' ἡμῖν. Οὕτω γοῦν φαμεν· Βούλομαι ἀθάνατος **[733]** γενέσθαι· Προαιροῦμαι δὲ ἀθάνατος γενέσθαι, οὔ φαμεν. Ἡ μὲν γὰρ βούλησις τοῦ τέλους ἐστίν· ἡ δὲ προαίρεσις τῶν πρὸς τὸ τέλος, κατὰ τὴν αὐτὴν ἀναλογίαν, ἣν ἔχει τὸ βουλητὸν πρὸς τὸ βουλευτόν. Βουλητὸν μὲν γάρ, τὸ τέλος· βουλευτὰ δέ, τὰ πρὸς τὸ τέλος. Ἔτι ταῦτα μόνα προαιρούμεθα, ἃ δι' ἡμῶν οἰόμεθα δύνασθαι γενέσθαι· βουλόμεθα δὲ καὶ τὰ μὴ δι' ἡμῶν οἷά τε γενέσθαι, ὡς τὸ νικῆσαί τινα στρατηγόν. Ὅτι μὲν οὖν οὔτε θυμός, οὔτε ἐπιθυμία, οὔτε βούλησίς ἐστιν ἡ προαίρεσις, αὐτάρκως ἀποδέδεικται. Ὅτι δὲ οὐδὲ δόξα, δῆλον γίνεται καὶ διὰ τῶν αὐτῶν ἀποδείξεων, καὶ δι' ἑτέρων. Ἡ γὰρ δόξα οὐ μόνον τῶν ἐφ' ἡμῖν, ἀλλὰ καὶ τῶν ἀϊδίων ἐστίν. Ἔτι, δόξαν μὲν ἀληθῆ λέγομεν καὶ ψευδῆ· προαίρεσιν δὲ οὐ λέγομεν ἀληθῆ καὶ ψευδῆ. Καὶ ἡ μὲν δόξα, τῶν καθόλου· ἡ δὲ προαίρεσις, τῶν καθ' ἕκαστα· περὶ γὰρ τῶν πρακτῶν ἡ προαίρεσις· ταῦτα δέ, τὰ καθ' ἕκαστα. Ἀλλ' οὐδὲ βούλευσίς ἐστιν ἡ προαίρεσις, οἷον βουλή. Βούλευσις μὲν γὰρ ἐστι ζήτησις περὶ τῶν αὐτῷ πρακτῶν· προαιρετὸν δέ, τὸ ἐκ τῆς βουλεύσεως προκριθέν. Δῆλον οὖν, ὅτι ἡ μὲν βούλευσις ἐπὶ τοῖς ἔτι ζητουμένοις, ἡ δὲ προαίρεσις ἐπὶ τοῖς ἤδη προκεκριμένοις. Τί μὲν οὖν οὐκ ἔστιν ἡ προαίρεσις, εἴρηται· τί δέ ἐστιν, εἴπωμεν.

Ἔστιν οὖν μικτόν τι ἐκ βουλῆς, καὶ κρίσεως, καὶ ὀρέξεως· καὶ οὔτε ὄρεξις καθ' ἑαυτήν, οὔτε κρίσις, οὔτε βουλὴ μόνη, ἀλλ' ἐκ τούτων τὸ

συγκείμενον. Ὡς γὰρ λέγομεν τὸ ζῷον ἐκ ψυχῆς καὶ σώματος συγκεῖσθαι, μήτε δὲ σῶμα εἶναι καθ' ἑαυτὸ τὸ ζῷον, μήτε ψυχὴν μόνην, ἀλλὰ τὸ συναμφότερον, οὕτω καὶ τὴν προαίρεσιν. Ὅτι μὲν οὖν βουλή τίς ἐστι καὶ βούλευσις μετ' ἐπικρίσεως, εἰ [736] καὶ μὴ αὐτοβουλή, φανερὸν καὶ ἐκ τῆς ἐτυμολογίας. Προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ ἑτέρου αἱρετόν. Οὐδεὶς δὲ προκρίνει τι, μὴ βουλευσάμενος, οὐδὲ αἱρεῖται, μὴ κρίνας. Ἐπειδὴ δὲ οὐ πάντα, τὰ δόξαντα ἡμῖν εὖ ἔχειν εἰς ἔργον ἀγαγεῖν προθυμούμεθα, τότε προαίρεσις καὶ προαιρετὸν γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλῆς, ὅταν προσλάβῃ τὴν ὄρεξιν. Ἀναγκαίως οὖν ἡ προαίρεσις περὶ ταὐτά ἐστιν, περὶ ἃ καὶ ἡ βουλή. Συνάγεται δὴ ἐκ τούτων, προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν, ἢ βούλευσιν ὀρεκτικὴν τῶν ἐφ' ἡμῖν. Τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι. Ἐπειδὴ δὲ τὴν προαίρεσιν ἔφαμεν περὶ ταὐτὰ εἶναι, περὶ ἃ καὶ ἡ βουλή, διασαφήσωμεν, περὶ τίνα καταγίνεται ἡ βουλή, καὶ περὶ τίνων βουλευόμεθα.

Κεφ. ΛΔ'.

Περὶ τίνων βουλευόμεθα.

Πρὶν εἰπεῖν, περὶ τίνων βουλευόμεθα, βέλτιον διορίσαι, τίνι διαφέρει βουλὴ ζητήσεως. Οὐ γὰρ ταὐτόν ἐστι βουλὴ καὶ ζήτησις, εἰ καὶ ὁ βουλευόμενος ζητῶν τι βουλεύεται, ἀλλὰ πολὺ διαφέρει. Ζητοῦμεν γάρ, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος· οὐδεὶς δὲ λέγει· Βουλεύομαι, εἰ μείζων ἐστὶ τῆς γῆς ὁ ἥλιος. Ἔστι γὰρ ἡ ζήτησις γένος τῆς βουλῆς. Καὶ γὰρ ἐπὶ πλέον λέγεται. Πᾶσα μὲν γὰρ βουλὴ ζήτησίς τίς ἐστιν, οὐ πᾶσα δὲ ζήτησις, βουλή. Δέδεικται δὲ τοῦτο. Τὸ δὲ σκέπτεσθαι ποτὲ μὲν ἐπὶ τοῦ βουλεύεσθαι λέγομεν, ὡς Σκέπτομαι, εἰ δεῖ πλεῦσαι· ποτὲ δέ, ἐπὶ τοῦ κατανοεῖν, ὡς Σκέπτομαι τὰ μαθήματα, οὐ Βουλεύομαι τὰ μαθήματα. Ταρασσόμεθα δὲ πολλάκις, ἀδιακρίτως ἀκούοντες τῶν ὀνομάτων, νομίζοντες ταὐτὸν τὸ μὴ ταὐτόν. Τῆς οὖν διαφορᾶς τούτων φανερᾶς γενομένης, ῥητέον [737] λοιπόν, περὶ τίνων βουλευόμεθα. Βουλευόμεθα οὖν περὶ τῶν ἐφ' ἡμῖν καὶ δι' ἡμῶν δυναμένων γενέσθαι, καὶ ἄδηλον ἐχόντων τὸ τέλος, τουτέστι δυναμένων καὶ οὕτω καὶ ἄλλως γενέσθαι. Τὸ μὲν οὖν ἐφ' ἡμῖν εἴρηται, ἐπειδὴ περὶ τῶν πρακτῶν μόνον βουλευόμεθα. Ταῦτα γὰρ ἐφ' ἡμῖν. Οὐ γὰρ περὶ τῆς θεωρητικῆς καλουμένης φιλοσοφίας βουλευόμεθα. Οὔτε γὰρ περὶ Θεοῦ, οὔτε περὶ τῶν ἐξ ἀνάγκης γινομένων· ἐξ ἀνάγκης δὲ λέγω, τὰ ἀεὶ ὡσαύτως γινόμενα, οἷον, τοῦ κύκλου τοῦ ἐνιαυτοῦ· οὔτε περὶ τῶν οὐκ ἀεὶ μὲν ὄντων, ἀεὶ δὲ ὁμοίως γινομένων, οἷον, δύσεως καὶ ἀνατολῆς ἡλίου· οὔτε περὶ τῶν φύσει μέν, οὐκ ἀεὶ δὲ ὁμοίως γινομένων, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον, οἷον, περὶ τοῦ πολιοῦσθαι τὸν ἑξηκοντούτην ἢ γενειάσκειν τὸν εἰκοσαετῆ· ἀλλ' οὐδὲ περὶ τῶν φύσει μέν, ἄλλοτε δὲ ἄλλως ἀορίστως γινομένων, οἷον, περὶ ὄμβρων, ἢ αὐχμῶν, ἢ χαλάζης· ἀλλ'

οὐδὲ περὶ τῶν ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἅπερ ἐστὶ τῶν ἐπ' ἔλαττον ἐνδεχομένων.

Διὰ ταῦτα μὲν οὖν, τὸ ἐφ' ἡμῖν, εἴρηται, τὸ δέ, δι' ἡμῶν, ἐπειδήπερ οὐ περὶ πάντων ἀνθρώπων, οὐδὲ περὶ παντὸς πράγματος βουλευόμεθα, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μόνον καὶ δι' ἡμῶν γινομένων. Οὐ γὰρ βουλευόμεθα, πῶς οἱ πολέμιοι ἢ οἱ μακρὰν ἀπῳκισμένοι καλῶς πολιτεύοιντο, καίτοι τοῦτο παρ' ἐκείνοις βουλευτόν ἐστιν. Ἀλλ' οὐδὲ περὶ πάντων τῶν δι' ἡμῶν γινομένων, καὶ ἐφ' ἡμῖν ὄντων βουλευόμεθα· ἀλλὰ δεῖ προσκεῖσθαι καὶ τό, ἄδηλον ἐχόντων τὸ τέλος. Ἐὰν γὰρ ᾖ φανερὸν καὶ ὁμολογούμενον, οὐκ ἔτι βουλευόμεθα· οὐδὲ γὰρ περὶ τῶν κατ' ἐπιστήμην ἢ τέχνην ἔργων ἢ πράξεων ἡ βουλή. Ὡρισμένοι γὰρ τούτων οἱ λόγοι, πλὴν ὀλί[740]γων τεχνῶν, τῶν καλουμένων στοχαστικῶν, οἷον, ἰατρικῆς, καὶ γυμναστικῆς, καὶ κυβερνητικῆς. Οὐ περὶ τούτων γὰρ βουλευόμεθα μόνον, ἀλλὰ περὶ τῶν ἐφ' ἡμῖν μὲν καὶ δι' ἡμῶν, ἄδηλον δὲ τὸ τέλος ἐχόντων καὶ δυναμένων καὶ οὕτω καὶ ἄλλως πραχθῆναι. Ἐδείχθη δέ, ὡς οὐδὲ περὶ τοῦ τέλους, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος ἡ βουλή. Βουλευόμεθα γάρ, οὐ πλουτῆσαι, ἀλλ' ὅπως καὶ δι' ὧν πλουτήσομεν· συνελόντι δὲ εἰπεῖν, περὶ τούτων μόνων βουλευόμεθα, περὶ τῶν ἐπίσης ἐνδεχομένων. Καὶ περὶ τούτου δεῖ διαλαβεῖν, ἵνα μηδὲν ἐλλείπῃ τῷ λόγῳ πρὸς σαφήνειαν. Δυνάμεις δὲ λέγονται, καθ' ἃς δυνάμεθά τι ποιεῖν. Παντὸς γάρ, οὗ ποιοῦμεν, δύναμιν ἔχομεν· ὧν δὲ δύναμιν οὐκ ἔχομεν, τούτων οὐδὲ τὰς πράξεις. Ἔχεται οὖν ἡ μὲν πρᾶξις δυνάμεως, ἡ δὲ δύναμις οὐσίας· ἥ τε γὰρ πρᾶξις ἀπὸ δυνάμεως, καὶ ἡ δύναμις ἀπὸ τῆς οὐσίας, καὶ ἐν οὐσίᾳ.

Τρία οὖν ταῦτά ἐστιν, ὡς ἔφαμεν, ἀλλήλων ἐχόμενα, δυνάμενον, δύναμις, δυνατόν. Δυνάμενον μέν, ἡ οὐσία· δύναμις δέ, ἀφ' ἧς ἔχομεν τὸ δύνασθαι· δυνατὸν δέ, τὸ κατὰ δύναμιν πεφυκὸς γίγνεσθαι. Τῶν δὲ δυνατῶν τὰ μέν ἐστιν ἀναγκαῖα, τὰ δὲ ἐνδεχόμενα. Ἀναγκαῖα μέν, ἅπερ ἀδύνατον κωλυθῆναι, ἢ ὧν καὶ τὸ ἀντικείμενον ἀδύνατόν ἐστιν· ἐνδεχόμενον δέ, τὸ δυνάμενον κωλυθῆναι, ἢ οὗ καὶ τὸ ἀντικείμενον δυνατόν ἐστιν· οἷον, ἀναγκαῖόν ἐστιν ἀναπνεῖν ἄνθρωπον ζῶντα· τούτου καὶ τὸ ἀντικείμενον ἀδύνατόν ἐστι, τὸ μὴ ἀναπνεῖν ζῶντα· ἐνδεχόμενον δέ, τὸ σήμερον ὄμβρον γενέσθαι· ἀλλὰ καὶ τὸ ἀντικείμενον αὐτῷ δυνατὸν τὸ μὴ γενέσθαι σήμερον ὄμβρον. Πάλιν δὲ τῶν ἐνδεχομένων τὰ μέν, ὡς ἐπὶ πολὺ λέγεται, τὰ δέ, ὡς ἐπ' ἔλαττον, τὰ δέ, ὡς ἐπίσης· ἐπὶ [741] πολὺ μέν, ὡς τὸν ἑξηκοντούτην πολιοῦσθαι· ἐπ' ἔλαττον δέ, ὥς τινα ἑξηκονταετῆ μὴ πολιοῦσθαι· ἐπίσης δέ, τὸ περιπατῆσαι καὶ μὴ περιπατῆσαι, καὶ ἁπλῶς πρᾶξαί τι καὶ μὴ πρᾶξαι. Περὶ τούτων οὖν, τῶν ἐπίσης ἐνδεχομένων, μόνον βουλευόμεθα. Ἔστι δὲ ἐπίσης ἐνδεχόμενον, ὃ αὐτό τε δυνάμεθα, καὶ τὸ ἀντικείμενον αὐτῷ· εἰ γὰρ μὴ ἀμφότερα ἐδυνάμεθα, αὐτό τε καὶ ἀντικείμενον, οὐκ ἂν ἐβουλευόμεθα. Οὔτε γὰρ περὶ τῶν ὁμολογουμένων, οὔτε περὶ τῶν ἀδυνάτων τις βουλεύεται. Εἰ δὲ τὸ ἕτερον μόνον τῶν ἀντικειμένων ἐδυνάμεθα, τοῦτο

μὲν ἦν ὁμολογούμενον καὶ οὐδαμῶς ἀμφίβολον· τὸ δὲ ἀντικείμενον, ἀδύνατον.

Κεφ. ΛΕ'.

Περὶ εἱμαρμένης.

Οἱ τῇ περιφορᾷ τῶν ἄστρων τὴν αἰτίαν τῶν γινομένων πάντων ἐπιγράφοντες, οὐ μόνον ταῖς κοιναῖς ἐννοίαις ἀπομάχονται, ἀλλὰ καὶ πᾶσαν πολιτείαν ἄχρηστον ἀποφαίνουσιν. Ἄτοποι μὲν γὰρ οἱ νόμοι, περιττὰ δὲ τὰ δικαστήρια κολάζοντα τοὺς μηδὲν αἰτίους, παράλογοι δὲ οἱ ψόγοι καὶ οἱ ἔπαινοι· ἀνόητοι δὲ καὶ αἱ εὐχαί, πάντων καθ' εἱμαρμένην γινομένων· ἐξορίζονται δὲ καὶ Πρόνοια μετὰ τῆς εὐσεβείας, πρὸς τῷ καὶ τὸν ἄνθρωπον ὄργανον μόνον εὑρίσκεσθαι τῆς ἄνωθεν περιφορᾶς· ὑπὸ ταύτης γὰρ κινεῖσθαι πρὸς τὰς πράξεις, οὐ μόνον τὰ μέρη τοῦ σώματος, ἀλλὰ καὶ τὰ τῆς ψυχῆς διανοήματα· καὶ ὅλως, οἱ ταῦτα λέγοντες, τῷ ἐφ' ἡμῖν συναναιροῦσι καὶ τὴν τοῦ ἐνδεχομένου φύσιν· καὶ οὕτως οὐδὲν ἄλλο, ἢ τῷ παντὶ λυμαίνονται. Ἄδικοι δὲ καὶ αὐτοὶ οἱ ἀστέρες, τοὺς μὲν μοιχούς, τοὺς δὲ φονέας ἀπεργαζόμενοι· καὶ πρό γε **[744]** τούτων ὁ δημιουργὸς αὐτῶν Θεὸς τὴν αἰτίαν αὐτῶν ἀποφέρεται, εἰ ταῦτα κατεσκεύασεν, ἃ τῶν κακῶν ἡμῖν τὴν ἐπιφορὰν ἐξ ἀνάγκης ἐπιτίθησιν· ὡς μὴ μόνον ἐπὶ τῆς πολιτείας ἵστασθαι τὴν τούτων ἀτοπίαν, ἀλλὰ καὶ τῶν μεγίστων κακῶν αἴτιον ἀποβαίνειν τὸν Θεόν, πρὸς τῷ καὶ ἀδύνατον ἀποδείκνυσθαι τὴν ὑπόθεσιν αὐτῶν. Ἀλλὰ ταῦτα μὲν οὔτε ἀκούειν ἀναγκαῖον, πρόδηλον ἔχοντα τὴν βλασφημίαν καὶ τὴν ἀτοπίαν. Οἱ δὲ λέγοντες, ὅτι καὶ τὸ ἐφ' ἡμῖν καὶ τὸ καθ' εἱμαρμένην σῴζεται (ἑκάστῳ γὰρ τῶν γενομένων δεδόσθαι τι καθ' εἱμαρμένην, ὡς τῷ ὕδατι τὸ ψύχειν, καὶ ἑκάστῳ τῶν φυτῶν τὸ τοιόνδε καρπὸν φέρειν, καὶ τῷ λίθῳ τὸ κατωφερές, καὶ τῷ πυρὶ τὸ ἀνωφερές, οὕτω καὶ τῷ ζῴῳ τὸ συγκατατίθεσθαι καὶ ὁρμᾶν· ὅταν δὲ ταύτῃ τῇ ὁρμῇ μηδὲν ἀντιπέσῃ τῶν ἔξωθεν καὶ καθ' εἱμαρμένην, τότε τὸ περιπατεῖν τέλεον ἐφ' ἡμῖν εἶναι, καὶ πάντως περιπατήσομεν)· οἱ ταῦτα λέγοντες (εἰσὶ δὲ τῶν Στωϊκῶν, Χρύσιππός τε καὶ Φιλοπάτωρ, καὶ ἄλλοι πολλοὶ καὶ λαμπροὶ) οὐδὲν ἕτερον ἀποδεικνύουσιν, ἢ πάντα καθ' εἱμαρμένην γίνεσθαι.

Εἰ γὰρ καὶ τὰς ὁρμὰς παρὰ τῆς εἱμαρμένης φασὶν ἡμῖν δεδόσθαι, καὶ ταύτας ποτὲ μὲν ἀπὸ τῆς εἱμαρμένης ἐμποδίζεσθαι, ποτὲ δὲ μή· δῆλον, ὡς πάντα καθ' εἱμαρμένην γίνεται, καὶ τὰ δοκοῦντα ἐφ' ἡμῖν εἶναι. Καὶ πάλιν τοῖς αὐτοῖς λόγοις χρησόμεθα πρὸς αὐτούς, δεικνύντες τῆς δόξης τὴν ἀτοπίαν. Εἰ γάρ, τῶν αὐτῶν αἰτίων περιεστηκότων, ὥς φασιν αὐτοί, πᾶσα ἀνάγκη, τὰ αὐτὰ **[745]** γίνεσθαι, καὶ οὐχ οἷόν τε, ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἄλλως γενέσθαι, διὰ τὸ ἐξ αἰῶνος οὕτως ἀποκεκληρῶσθαι αὐτά· ἀνάγκη καὶ τὴν ὁρμὴν τὴν τοῦ ζῴου πάντῃ καὶ πάντως τῶν αὐτῶν αἰτίων περιεστηκότων οὕτω γενέσθαι· εἰ δὲ καὶ ἡ ὁρμὴ ἐξ ἀνάγκης ἐπακολουθεῖ, ποῦ λοιπὸν τὸ ἐφ' ἡμῖν; Ἐλεύθερον γὰρ εἶναι

δεῖ τὸ ἐφ' ἡμῖν· ἦν δ' ἂν ἐλεύθερον, εἰ τῶν αὐτῶν περιεστηκότων, ἐφ' ἡμῖν ἦν τὸ ποτὲ μὲν ὁρμᾶν, ποτὲ δὲ μὴ ὁρμᾶν. Εἰ δὲ ἐξ ἀνάγκης ἐπακολουθεῖ καὶ τὸ ὁρμᾶν, δῆλον, ὡς καθ' εἱμαρμένην καὶ τὰ τῆς ὁρμῆς γενήσεται, εἰ καὶ ὑφ' ἡμῶν γίνεται, καὶ κατὰ τὴν ἡμετέραν φύσιν καὶ ὁρμὴν καὶ κρίσιν. Εἰ γὰρ οἷόν τε ἦν αὐτὴν καὶ μὴ γενέσθαι, ψευδὴς ἂν ἡ πρότασις ἡ λέγουσα, ὅτι τῶν αὐτῶν περιεστηκότων αἰτίων, ἀνάγκη τὰ αὐτὰ ἕπεσθαι. Οὕτω δὲ καὶ ἐπὶ τοῖς ἀλόγοις καὶ ἐπὶ τοῖς ἀψύχοις εὑρεθήσεται. Εἰ γὰρ τὴν ὁρμὴν ἐφ' ἡμῖν τάττουσιν, ὅτι φύσει ταύτην ἔχομεν, τί κωλύει, καὶ ἐπὶ τῷ πυρὶ λέγειν εἶναι τὸ καίειν, ἐπειδὴ φύσει καίει τὸ πῦρ; ὥς που καὶ παρεμφαίνειν ἔοικεν ὁ Φιλοπάτωρ ἐν τῷ «Περὶ εἱμαρμένης». Οὐκ ἄρα τὸ δι' ἡμῶν ὑπὸ τῆς εἱμαρμένης γινόμενον ἐφ' ἡμῖν ἐστι. Τῷ γὰρ αὐτῷ λόγῳ καὶ ἐπὶ λύρᾳ καὶ αὐλοῖς καὶ τοῖς ἄλλοις ὀργάνοις καὶ πᾶσιν ἀλόγοις τε καὶ ἀψύχοις ἔσται τι, ὅταν τινὲς δι' αὐτῶν ἐνεργῶσι. Τοῦτο δὲ ἄτοπον.

Κεφ. ΛϚ'.

Περὶ τῆς διὰ τῶν ἄστρων εἱμαρμένης.

Πρὸς δὲ τοὺς σοφοὺς τῶν Αἰγυπτίων, λέγοντας ἀληθεύεσθαι μὲν τὴν διὰ τῶν ἄστρων εἱμαρμένην, τρέπεσθαι δὲ αὐτὴν εὐχαῖς καὶ ἀποτροπιασμοῖς (εἶναι γάρ τινας καὶ τούτων αὐτῶν τῶν ἀστέρων θεραπείας, τὰς ἐκμειλισσομένας αὐτούς, καὶ ἄλλας **[748]** τινὰς ὑπερκειμένας δυνάμεις τὰς τρέπειν αὐτοὺς δυναμένας, καὶ διὰ τοῦτο τὰς εὐχὰς καὶ τὰς θεραπείας τῶν θεῶν, καὶ τοὺς ἀποτροπιασμοὺς ἐπινενοῆσθαι), ἐροῦμεν, ὅτι τῶν ἐνδεχομένων καὶ οὐχὶ τῶν ἀναγκαίων ποιοῦσι τὴν εἱρμαρμένην· τὸ δὲ ἐνδεχόμενον, ἀόριστον· τὸ δὲ ἀόριστον, ἄγνωστον. Ἀναιρεῖται οὖν διὰ τούτου πᾶσα μὲν μαντεία, μάλιστα δὲ ἡ τῶν καλουμένων γενεθλιαλόγων, ἣν αὐτοὶ πρὸ τῶν ἄλλων πρεσβεύουσιν, ὡς ἰσχυρόν τι καὶ ἀληθὲς πρᾶγμα. Ἐὰν δὲ λέγωσιν, ὅτι τὰ τῶν σχημάτων ἀποτελέσματα πρόδηλα, καὶ τοῖς ἐπιστήμοσι γνωρίζεται· ὅταν δὲ τὸ σχῆμα μὴ κατὰ τὴν ἰδίαν δύναμιν ἀποβαίνῃ, Θεὸς ἐκώλυσεν· ἐροῦμεν, ὡς καὶ τοῦτο ἄτοπον. Πρῶτον, ὅτι τὴν εὐχὴν μόνην ἐφ' ἡμῖν τίθενται καὶ τὴν θεραπείαν τῶν θεῶν, ἄλλο δὲ οὐδέν. Εἶτα διαμφισβητήσομεν πρὸς αὐτούς, πῶς, τῶν ἄλλων πασῶν ἀνθρωπίνων πράξεών τε καὶ προαιρέσεων ἐν τῇ ποιᾷ σχέσει τῶν ἄστρων κειμένων, τὸ τῆς εὐχῆς μόνης ἐφ' ἡμῖν ἐστιν; Ἄπορον γάρ, διὰ ποίαν αἰτίαν οὕτως ἔχει τοῦτο, καὶ τίς ἡ ἀνάγκη.

Ἔπειτα, εἰ τέχνη τίς ἐστι καὶ μέθοδος τῶν ἀποτροπιασμῶν, ἡ κωλύουσα τὰ παρὰ τῆς εἱμαρμένης, πότερον πᾶσιν ἀνθρώποις ἡ μέθοδός ἐστιν ἐφικτή, ἢ τισὶ μέν, τισὶ δὲ οὔ; Εἰ γὰρ πᾶσιν, οὐδὲν κωλύει, τῷ λόγῳ παντάπασιν ἀνατραπῆναι τὴν εἱμαρμένην, πάντων μαθόντων τὴν τέχνην τὴν κωλύουσαν αὐτῆς τὰ ἀποτελέσματα· εἰ δὲ τισὶ μὲν ἐστιν ἐφικτή, τισὶ δὲ οὔ, ποίοις ἆρα, καὶ τίς ὁ τοῦτο διορίζων; Εἰ μὲν

γὰρ αὐτὴ ἡ εἱμαρμένη τοὺς μὲν ποιεῖ θεραπευτὰς τοῦ Θείου, τοὺς δὲ οὐ ποιεῖ, εὑρεθήσεται πάντα πάλιν κατὰ τὴν εἱμαρμένην. Τὸ γὰρ τῆς εὐχῆς καὶ τῆς θεραπείας, ὅ μόνον ἐφ' ἡμῖν, οὐκ ἔλαττον νῦν ἀνεφάνη τῆς εἱ[749]μαρμένης, ἀλλὰ καὶ μεῖζον. Εἰ δὲ μὴ εἱμαρμένη, ἀλλ' ἕτερόν τι τούτων αἴτιόν ἐστιν, ἐκεῖνο μᾶλλον εἱμαρμένη φανήσεται. Εἰ γὰρ αἴτιόν ἐστιν, ἐκεῖνο μᾶλλον εἱμαρμένη φανήσεται. Ἐν γὰρ τῷ δύνασθαι δι' εὐχῆς κατορθοῦν, ἢ μὴ δύνασθαι, τὸ πᾶν τῆς εἱμαρμένης περιέχεται κράτος. Τοῖς μὲν γὰρ δυναμένοις, οὐδὲν ἡ εἱμαρμένη· τοῖς δὲ μὴ δυναμένοις, πάντα καθ' εἱμαρμένην. Καὶ εὑρεθήσεται, τισὶ μὲν ἀνθρώποις, πάντα καθ' εἱμαρμένην, τισὶ δέ, οὐδὲν καθ' εἱμαρμένην· καὶ δῆλον, ὅτι ὁ τοῦτο ὁρίζων αὐτός ἐστιν ἡ κυριωτάτη εἱμαρμένη, καὶ οὕτω πάλιν πάντα καθ' εἱμαρμένην εὑρεθήσεται. πρὸς τῷ καὶ ἄδικον εἶναι τὸν διανέμοντα, εἴτε δαίμων τις εἴη, εἴτε καὶ ἄλλη τις εἱμαρμένη. Οὐ γὰρ πρὸς ἀξίαν νέμει τοῖς ἀνθρώποις τὴν τῆς θεραπείας τῶν θεῶν μέθοδον. Τί γὰρ μᾶλλον οὗτος ἄξιος ἢ ἐκεῖνος, πάντων ὀργάνων ὄντων τῆς εἱμαρμένης, καὶ μηδὲν μηδενὸς ἐξ οἰκείας προαιρέσεως πράττοντος, μᾶλλον δὲ μηδὲ προαιρουμένου; Ἐν γὰρ τοῖς οὕτω γινομένοις οὐδεὶς οὔτε δίκαιος, οὔτε ἄδικος· οὐκοῦν οὔτε ἄξιος, οὔτε ἀνάξιος χάριτος· ὁ δὲ τοῖς ἴσοις ἄνισα νέμων, ἄδικος.

Κεφ. ΛΖ'.

Περὶ τῶν λεγόντων αἵρεσιν τῶν πρακτέων ἐφ' ἡμῖν εἶναι, τὴν δὲ τῶν αἱρεθέντων ἀπόβασιν ἐπὶ τῇ εἱμαρμένῃ.

Οἱ δὲ λέγοντες τὴν μὲν αἵρεσιν τῶν πρακτῶν ἐφ' ἡμῖν εἶναι, τὴν δὲ τῶν αἱρεθέντων ἀπόβασιν ἐπὶ τῇ εἱμαρμένῃ (εἰσὶ δὲ τῶν Ἑλλήνων οἱ σοφώτατοι), τὸ μέν τι κατορθοῦσι, τὸ δὲ σφάλλονται. Τὸ μὲν γὰρ ἐφ' ἡμῖν τιθέναι τὰς αἱρέσεις τῶν πρα[752]κτῶν, μὴ πάντως δὲ καὶ τὰς ἀποβάσεις, ὀρθότατα λέγουσι· τὸ δὲ τῇ εἱμαρμένῃ περιάπτειν ταύτας, οὐκ ὀρθῶς. Ἐλεγχθήσονται γὰρ πρῶτον μέν, ἀτελῆ ποιοῦντες τὴν εἱμαρμένην, εἰ τὸ μὲν ἔχει, τὸ δὲ οὐκ ἔχει· ἔπειτα παρακολούθημα ποιοῦντες αὐτὴν τῆς ἡμετέρας γνώμης· ταύτῃ γὰρ ἀκολουθεῖν φασι τὰ τῆς εἱμαρμένης ἔργα· καὶ οὕτως εὑρεθήσεται κινουμένη μᾶλλον ὑφ' ἡμῶν, ἢ κινοῦσα ἡμᾶς, καὶ κυριώτερος ὁ ἄνθρωπος τῆς εἱμαρμένης, ὁ τυπῶν αὐτὴν διὰ τῆς αἱρέσεως αὐτοῦ· δέον πρόνοιαν λέγειν αἰτίαν τῆς ἐκβάσεως τῶν πραγμάτων· προνοίας γὰρ τοῦτο μᾶλλον ἔργον ἢ εἱμαρμένης. Τῆς γὰρ προνοίας ἴδιον, τὸ ἑκάστῳ νέμειν κατὰ τὸ συμφέρον ἑκάστῳ· καὶ διὰ τοῦτο τῶν αἱρεθέντων ἡ ἔκβασις κατὰ τὸ συμφέρον ποτὲ μὲν ἔσται, ποτὲ δὲ οὐκ ἔσται. Εἰ δὲ ἡ εἱμαρμένη εἱρμός τις οὖσα αἰτιῶν ἀπαράβατος (οὕτω γὰρ αὐτὴν οἱ Στωϊκοὶ ὁρίζονται), τουτέστι, τάξις καὶ ἐπισύνδεσις ἀπαράλλακτος· οὐ κατὰ τὸ συμφέρον ἀλλὰ κατὰ τὴν οἰκείαν κίνησιν καὶ ἀνάγκην ἐπάγει τὰ τέλη. Τί δ' ἂν εἴποιεν ἐπὶ τῶν παντελῶς ἠλιθίων καὶ μωρῶν, καὶ διὰ τοῦτο ἀπροαι-

ρέτων; Πότερον καθ' εἱμαρμένην αὐτοῖς τὸ τοιούτους εἶναι πρόσεστιν, ἢ οὔ; Εἰ γὰρ μὴ καθ' εἱμαρμένην, ἔξω πεσοῦνται τῆς εἱμαρμένης· εἰ δὲ καθ' εἱμαρμένην, ἐξ ἀνάγκης ἀκολουθεῖ τὸ μηδὲ τὴν προαίρεσιν [753] ἐφ' ἡμῖν εἶναι. Εἰ γὰρ τὸ ἀπροαίρετον ὑπὸ τὴν εἱμαρμένην, ἐξ ἀνάγκης καὶ τὸ προαιρετὸν καὶ οὕτως ἀναδραμοῦνται πρὸς τοὺς πρώτους, τοὺς λέγοντας, πάντα καθ' εἱμαρμένην εἶναι. Περιττὴ δὲ καὶ ἡ μάχη τοῦ λογισμοῦ καὶ τῆς ἐπιθυμίας ἐπὶ τοῦ ἐγκρατοῦς καὶ ἀκρατοῦς. Εἰ γὰρ ἐξ ἀνάγκης ὥρισται, τὸν μὲν πρᾶξαι, τὸν δὲ μὴ πρᾶξαι, τίς ἡ χρεία τῆς ἐν αὐτῷ στάσεώς τε καὶ φιλονικίας; Ἀλλὰ καὶ τούτῳ συγκαθείμαρται μὴ μόνον πρᾶξαι, ἀλλὰ καὶ τοιῶσδε πρᾶξαι. Τί δ' ἄλλο φησὶν ὁ τοῦτο λέγων, ἢ ὅτι καὶ ἡ προαίρεσις τῶν πεπρωμένων ἐστίν; Ἡ γὰρ προαίρεσίς ἐστιν ἡ μαχομένη τῇ ἐπιθυμίᾳ καὶ νικῶσα μὲν ἐπὶ τῶν ἐγκρατῶν, ἡττωμένη δὲ ἐπὶ τῶν ἀκρατῶν. Οὐκοῦν ἀνῄρηται τὰ τῆς ἐξ ἀρχῆς αὐτοῖς ὑποθέσεως. Οὐκ ἔτι γὰρ ἡ προαίρεσις ἐφ' ἡμῖν.

Κεφ. ΛΗ'.

Περὶ τοῦ πῶς λέγει Πλάτων τὴν εἱμαρμένην.

Πλάτων δὲ διχῶς λέγει τὴν εἱμαρμένην· τὴν μέν, κατ' οὐσίαν, τὴν δέ, κατ' ἐνέργειαν, Κατ' οὐσίαν μέν, τὴν τοῦ παντὸς ψυχήν· κατ' ἐνέργειαν δέ, θεῖον νόμον ἀπαράβατον δι' αἰτίαν ἀναπόδραστον. Καλεῖ δὲ τοῦτον θεσμὸν ἀδραστείας. Τοῦτον δὲ τὸν νόμον δεδόσθαι παρὰ τοῦ πρώτου καὶ ἀνωτάτου Θεοῦ τῇ τοῦ παντὸς ψυχῇ εἰς διακόσμησιν τῶν ὅλων, καθ' ὃν διεξάγεται τὰ γινόμενα· ταύτην δὲ τὴν κατ' ἐνέργειαν εἱμαρμένην καὶ κατὰ πρόνοιαν λέγει. Ἀπὸ γὰρ τῆς προνοίας ἐμπεριέχεσθαι τὴν εἱμαρμένην· πᾶν γὰρ τὸ καθ' εἱμαρμένην καὶ κατὰ πρόνοιαν γίνεσθαι· οὐ μὴν πᾶν τὸ κατὰ πρόνοιαν καὶ καθ' εἱμαρμένην εἶναι. Αὐτὸς δὲ ὁ θεῖος νόμος, ὅν φησι πρόνοιαν εἶναι ὁμοῦ [756] καὶ εἱμαρμένην, πάντα ἐν ἑαυτῷ περιέχει· τὰ μὲν καθ' ὑπόθεσιν, τὰ δὲ ἐξ ὑποθέσεως. Τὰς μὲν γὰρ προηγουμένας αἰτίας, ὥσπερ τινὰς ἀρχάς, καὶ καθ' ὑπόθεσιν περιέχει, ἅπερ ἐστὶν ἐφ' ἡμῖν συγκαταθέσεις καὶ κρίσεις καὶ ὁρμαί· τὰ δὲ ἐξ ἀνάγκης ταύταις ἑπόμενα, ἐξ ὑποθέσεως. Καί ἐστιν ἡ μὲν ἐφ ἡμῖν αἵρεσις τῶν πρακτῶν καθ' ὑπόθεσιν. Ὑποκειμένων δὲ τῶν ἐφ' ἡμῖν, ἐξ αὐτῶν τούτων, ὥσπερ ἐξ ὑποθέσεως, ἀκολουθεῖν τὰ τῆς εἱμαρμένης. Οἷον, ἐφ' ἡμῖν κεῖται τὸ πλεῦσαι· τοῦτο καθ' ὑπόθεσίν ἐστιν· ὑποκειμένου τοίνυν τοῦ πλεῖν ἡμᾶς, ἐπακολουθεῖ τὰ ἐκ ταύτης τῆς ὑποθέσεως, τὸ ναυαγῆσαι, ἢ μή. Διὸ καὶ ἐξ ὑποθέσεως καλεῖ τὰ παρακολουθοῦντα καὶ ἑπόμενα ταῖς ἐφ' ἡμῖν ὑποθέσεσι, τουτέστιν ἀρχαῖς καὶ πράξεσιν· ὡς εἶναι, τὰ μὲν ἡγούμενα, καὶ ἐφ' ἡμῖν, καθ' ὑπόθεσιν· τὰ δὲ ἑπόμενα, ἐξ ὑποθέσεως, καὶ οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἐξ ἀνάγκης. Μὴ γὰρ ἐξ ἀϊδίου ὡρίσθαι τὸ καθ' εἱμαρμένην, ἀλλ' ἐπισυμβαίνειν, προηγησαμένοις τοῖς ἐφ' ἡμῖν. Τούτῳ δὲ συμφωνεῖ καὶ τό, Αἰτία ἑλομένου, Θεὸς ἀναίτιος, καὶ τὸ

ἀδέσποτον εἶναι τὴν ἀρετήν, καὶ τό, εἶναι μαντείας. Συντείνει δὲ αὐτῷ πᾶς ὁ λόγος εἰς τὸ τὰς προαιρέσεις καί τινας τῶν κατὰ προαίρεσιν πράξεων ἐφ' ἡμῖν εἶναι· τὰ δὲ ἐπακολουθοῦντα ταύταις καὶ τὰ τέλη ἐπὶ τῇ εἱμαρμένῃ ἐξ ἀνάγκης. Τοῦτο δὲ ἐν τοῖς ἔμπροσθεν ἐδείχθη, μὴ καλῶς ἔχειν.

Καθ' ὅ μὲν οὖν καλεῖ Θεοῦ διάταξιν καὶ βούλησιν τὴν εἱμαρμένην καὶ καθ' ὅ τὴν εἱμαρμένην ὑπάγει τῇ προνοίᾳ, μικρόν τι διαλλάττει πρὸς τὰ θεῖα λόγια, τὰ λέγοντα πρόνοιαν μόνην διοικεῖν τὰ πάντα· κατὰ πολὺ δὲ διαφέρεται, φάσκων, [757] ἐξ ἀνάγκης τοῖς ἐφ' ἡμῖν ἕπεσθαι τὰ τέλη. Ἡμεῖς γάρ, οὐ κατ' ἀνάγκην ἐπάγεσθαι τὰ τῆς προνοίας φαμέν, ἀλλ' ἐνδεχομένως. Εἰ γὰρ κατ' ἀνάγκην, πρῶτον μέν, τὸ πολὺ τῆς εὐχῆς μέρος περικόπτεται· περὶ μόνων γὰρ τῶν ἀρχῶν τῶν πράξεων τὰ τῆς εὐχῆς ἔσται κατ' αὐτόν, ὥστε τὰ κρείττω ἑλέσθαι· μετὰ δὲ τὸ προελέσθαι, μάταια λοιπὸν τὰ τῆς εὐχῆς, τῶν ἑπομένων πάντως ἐξ ἀνάγκης ἐπαγομένων. Ἡμεῖς δὲ καὶ ἐπὶ τούτοις μάλιστα δύνασθαι τὴν εὐχὴν διοριζόμεθα. Ἐπὶ τῇ προνοίᾳ γὰρ εἶναι, τὸ ναυαγῆσαι τὸν πλέοντα, καὶ μή, οὐκ ἐξ ἀνάγκης μέντοι τὸ ἕτερον αὐτῶν, ἀλλ' ἐνδεχομένως. Οὐ γὰρ ὑπ' ἀνάγκην ὁ Θεός, οὐδὲ τὴν βούλησιν αὐτοῦ δουλεύειν ἀνάγκῃ, θεμιτὸν εἰπεῖν. Καὶ γὰρ τῆς ἀνάγκης δημιουργός ἐστιν. Ἀνάγκην μὲν γὰρ ἐπέθηκε τοῖς ἄστροις, ὥστε ἀεὶ κατὰ τὰ αὐτὰ κινεῖσθαι, καὶ τὴν θάλασσαν περιώρισε ,καὶ τοῖς καθόλου καὶ γενικοῖς ὅρον ἀναγκαῖον ἔθηκεν, ὅν, εἰ βούλονται καλεῖν εἱμαρμένην, διὰ τὸ πάντη καὶ πάντως οὕτω γίνεσθαι κατὰ ἀνάγκην, ὡς πάντα τὰ κατὰ διαδοχὴν ἐν γενέσει φθείρεσθαι, λόγος οὐδείς· περὶ γὰρ ὀνομάτων οὐκ ἀμφισβητοῦμεν πρὸς αὐτούς· αὐτὸς δὲ πάσης ἀνάγκης οὐ μόνον ἐκτὸς καθέστηκεν, ἀλλὰ καὶ Κύριος καὶ ποιητής ἐστιν. Ἐξουσία γὰρ ὢν καὶ φύσις ἐξουσιαστική, οὐδὲν οὔτε φύσεως ἀνάγκῃ, οὔτε θεσμῷ νόμου ποιεῖ, πάντα δέ ἐστιν αὐτῷ ἐνδεχόμενα καὶ τὰ ἀναγκαῖα.

Καὶ ἵνα τοῦτο δειχθῇ, ἔστησέ ποτε τὸν δρόμον ἡλίου καὶ σελήνης[1], τῶν ἀνάγκῃ φερομένων καὶ ἀεὶ ὡσαύτως ἐχόντων· ἵνα δείξῃ μηδὲν αὐτῷ κατ' ἀνάγ[760]κην γενέσθαι, ἀλλὰ πάντα κατ' ἐξουσίαν ἐνδεχομένως· Ἅπαξ δὲ τοιαύτην ἡμέραν ἐποίησεν, ὡς ἐπεσημήνατο καὶ ἡ Γραφή, ἵνα μόνον ἐνδείξηται καὶ μὴ διαλύσῃ τὸν θεσμόν, τὸν ἐξ ἀρχῆς αὐτῷ τεθέντα τῆς ἀναγκαίας τῶν ἄστρων φορᾶς. Οὕτω καί τινας τῶν ἀνθρώπων ἐν τῇ ζωῇ διαφυλάττει, ὡς τὸν Ἠλίαν καὶ τὸν Ἐνὼχ, θνητοὺς ὄντας καὶ ὑποκειμένους φθορᾷ, ἵνα διὰ πάντων τούτων τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀκατανάγκαστον βούλησιν κατανοήσωμεν. Οἱ δὲ Στωϊκοί φασιν, ἀποκαθισταμένους τοὺς πλάνητας εἰς τὸ αὐτὸ σημεῖον, κατά τε μῆκος καὶ πλάτος, ἔνθα τὴν ἀρχὴν ἕκαστος ἦν, ὅτε τὸ πρῶτον ὁ κόσμος συνέστη, ἐν ῥηταῖς χρόνων περιόδοις ἐκπύρωσιν καὶ φθορὰν

1. Ἰησ. Ν. 10, 13.

τῶν ὄντων ἀπεργάζεσθαι, καὶ πάλιν ἐξ ὑπαρχῆς εἰς τὸ αὐτὸ τὸν κόσμον ἀποκαθίστασθαι, καὶ τῶν ἀστέρων ὁμοίως πάλιν φερομένων, ἕκαστον, ἐν τῇ προτέρᾳ περιόδῳ γενόμενον, ἀπαραλλάκτως ἀποτελεῖσθαι. Ἔσεσθαι γὰρ πάλιν Σωκράτην, καὶ Πλάτωνα, καὶ ἕκαστον τῶν ἀνθρώπων σὺν τοῖς αὐτοῖς καὶ φίλοις καὶ πολίταις, καὶ τὰ αὐτὰ πείσεσθαι καὶ τοῖς αὐτοῖς συντεύξεσθαι, καὶ τὰ αὐτὰ μεταχειριεῖσθαι, καὶ πᾶσαν, πόλιν, καὶ κώμην καὶ ἀγρὸν ὁμοίως ἀποκαθίστασθαι· γίνεσθαι δὲ τὴν ἀποκατάστασιν τοῦ παντὸς οὐχ ἅπαξ, ἀλλὰ πολλάκις· μᾶλλον δὲ εἰς ἄπειρον καὶ ἀτελευτήτως τὰ αὐτὰ ἀποκαθίστασθαι· τοὺς δὲ θεούς, τοὺς μὴ ὑποκειμένους τῇ φθορᾷ ταύτῃ, παρακολουθήσαντας μιᾷ περιόδῳ, γινώσκειν ἐκ ταύτης πάντα **[761]** τὰ μέλλοντα ἔσεσθαι ἐν ταῖς ἑξῆς περιόδοις· οὐδὲν γὰρ ξένον ἔσεσθαι παρὰ τὰ γενόμενα πρότερον, ἀλλὰ πάντα ὡσαύτως καὶ ἀπαραλλάκτως ἄχρι καὶ τῶν ἐλαχίστων. Καὶ διὰ ταύτην τὴν ἀποκατάστασιν, φασί τινες, τοὺς Χριστιανοὺς τὴν ἀνάστασιν φαντάζεσθαι, πολὺ πλανηθέντες. Εἰς ἅπαξ γὰρ τὰ τῆς ἀναστάσεως, καὶ οὐ κατὰ περίοδον ἔσεσθαι, τὰ τοῦ Χριστοῦ δοξάζει λόγια.

Κεφ. ΛΘ'.

Περὶ τοῦ αὐτεξουσίου, ὅ ἐστι τοῦ ἐφ' ἡμῖν.

Ὁ περὶ τοῦ αὐτεξουσίου λόγος, τουτέστι, τοῦ ἐφ' ἡμῖν, πρώτην μὲν ἔχει ζήτησιν, εἰ ἔστι τι ἐφ' ἡμῖν· πολλοὶ γὰρ οἱ πρὸς τοῦτο ἀντιβαίνοντες δευτέραν δέ, τίνα ἐστὶ τὰ ἐφ' ἡμῖν, καὶ τίνων ἐξουσίαν ἔχομεν· τρίτην, τὴν αἰτίαν ἐξετάσαι, δι' ἣν ὁ ποιήσας ἡμᾶς Θεὸς αὐτεξουσίους ἐποίησε. Ἀναλαβόντες οὖν περὶ τοῦ πρώτου πρῶτον εἴπωμεν, ἀποδεικνύντες, ὅτι ἔστι τι ἐφ' ἡμῖν ἐκ τῶν καὶ παρ' ἐκείνοις ὁμολογουμένων. Τῶν γινομένων πάντων ἢ Θεόν φασιν αἴτιον εἶναι, ἢ ἀνάγκην, ἢ εἱμαρμένην, ἢ φύσιν, ἢ τύχην, ἢ τὸ αὐτόματον. Ἀλλὰ τοῦ μὲν Θεοῦ ἔργον, οὐσία καὶ πρόνοια· τῆς δὲ ἀνάγκης, τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἡ κίνησις· τῆς δὲ εἱμαρμένης, τὸ ἐξ ἀνάγκης τὰ δι' αὐτῆς ἐπιτελεῖσθαι (καὶ γὰρ αὐτὴ τῆς ἀνάγκης ἐστί)· τῆς δὲ φύσεως, γένεσις, αὔξησις, φθορά, φυτὰ καὶ ζῷα· τῆς δὲ τύχης, τὰ σπάνια καὶ ἀπροσδόκητα· ὁρίζονται τὴν τύχην σύμπτωσιν καὶ συνδρομὴν δύο αἰτίων ἀπὸ προαιρέσεως τὴν ἀρχὴν ἐχόντων, καὶ ἄλλο τι παρ' ὃ πέφυκεν, ἀποτελούν-**[764]**των· ὡς τάφρον ὀρύσσοντα θησαυρὸν εὑρεῖν. Οὔτε γὰρ ὁ θεὶς οὕτω τέθεικεν, ὡς τοῦτον εὑρεῖν. οὔτε ὁ εὑρὼν οὕτως ὤρυξεν, ὡς εὑρεῖν θησαυρόν. Ἀλλ' ὁ μέν, ἵν', ὅταν θέλῃ, ἀνέληται· ὁ δέ, ἵνα τάφρον ὀρύξῃ· συνέπεσε δὲ ἄλλο τι, παρ' ὃ προῄρηντο ἀμφότεροι· τοῦ δὲ αὐτομάτου, τὰ τῶν ἀψύχων ἢ ἀλόγων συμπτώματα, ἄνευ φύσεως καὶ τέχνης.

Τίνι τοίνυν τούτων ὑπαγάγωμεν τὰ διὰ τῶν ἀνθρώπων [γινόμενα], εἴπερ ὁ ἄνθρωπος οὐκ ἔστιν αἴτιος καὶ ἀρχὴ πράξεων; Ἀλλ'οὔτε

Θεῷ θεμιτὸν ἐπιγράφειν αἰσχρὰς ἔσθ' ὅτε πράξεις καὶ ἀδίκους· οὔτε ἀνάγκῃ· οὐ γὰρ τῶν ἀεὶ ὡσαύτως ἐχόντων ἐστίν· οὔτε εἱμαρμένῃ· οὐ γὰρ τῶν ἐνδεχομένων, ἀλλὰ τῶν ἀναγκαίων τὰ τῆς εἱμαρμένης· οὔτε φύσει· φύσεως γὰρ ἔργα ζῷα καὶ φυτά· οὔτε τύχῃ· οὐ γὰρ σπάνιοι καὶ ἀπροσδόκητοι τῶν ἀνθρώπων αἱ πράξεις· οὔτε αὐτομάτῳ· ἀψύχων γάρ ἐστιν ἢ ἀλόγων τὰ συμπτώματα. Λείπεται δή, αὐτὸν τὸν πράττοντα καὶ ποιοῦντα ἄνθρωπον ἀρχὴν εἶναι τῶν ἰδίων ἔργων, καὶ αὐτεξούσιον. Ἔτι, εἰ μηδεμιᾶς ἐστιν ἀρχὴ πράξεως ὁ ἄνθρωπος, περιττῶς ἔχει τὸ βουλεύεσθαι. Εἰς τί γὰρ καὶ χρήσεται τῇ βουλῇ, μηδεμιᾶς ὢν κύριος πράξεως; Τὸ δὲ κάλλιστον καὶ τιμιώτατον ἐν ἀνθρώπῳ περιττὸν ἀποφαίνειν τῶν ἀτοπωτάτων ἂν εἴη. Εἰ τοίνυν βουλεύεται, πράξεως ἕνεκα βουλεύεται· πᾶσα γὰρ βουλή, πράξεως ἕνεκα καὶ διὰ πρᾶξιν. Ἔτι, ὧν αἱ ἐνέργειαι ἐφ' ἡμῖν, τούτων καὶ αἱ πράξεις, αἱ κατὰ τὴν ἐνέργειαν, ἐφ' ἡμῖν· ἐφ' ἡμῖν δὲ αἱ κατὰ τὰς ἀρετὰς ἐνέργειαι· ἐφ' ἡμῖν ἄρα καὶ αἱ ἀρεταί. Ὅτι δὲ ἐφ' ἡμῖν αἱ κατ' ἀρετὴν ἐνέργειαι, δηλοῖ καὶ τὸ καλῶς ὑπὸ Ἀριστοτέλους λεχθὲν ἐπὶ τῶν ἠθικῶν ἀρετῶν· **[765]** Ἃ γὰρ ποιοῦντες μανθάνομεν, ταῦτα μαθόντες ποιοῦμεν. Κρατεῖν γὰρ ἡδονῶν μανθάνοντες, σώφρονες γινόμεθα· καὶ γενόμενοι σώφρονες, κρατοῦμεν ἡδονῶν. Ἔστι δὲ καὶ οὕτως εἰπεῖν· Τὸ μελετᾶν καὶ γυμνάζεσθαι, παρὰ πᾶσιν ὡμολόγηται ἐφ' ἡμῖν εἶναι· αἱ δὲ μελέται τῶν ἕξεών εἰσι κύριαι· τὸ γὰρ ἔθος, φύσις ἐπίκτητος· εἰ δὲ κυρία τῆς ἕξεώς ἐστιν ἡ μελέτη, ἐφ' ἡμῖν δὲ ἡ μελέτη, ἐφ' ἡμῖν καὶ ἡ ἕξις. Ὧν δὲ ἐφ' ἡμῖν αἱ ἕξεις, τούτων ἐφ' ἡμῖν καὶ αἱ πράξεις, αἱ κατὰ τὰς ἕξεις. Ταῖς γὰρ ἕξεσιν αἱ πράξεις πρόσφοροι. Ὁ ἄρα δικαίαν ἕξιν ἔχων, δίκαια καὶ πράξει· καὶ ὁ ἄδικον, ἄδικα.

Ἐφ' ἡμῖν ἄρα τὸ δικαίους εἶναι ἢ ἀδίκους. Ὅτι δὲ ἐφ' ἡμῖν ἐστί τινα, δηλοῦσιν αἱ προτροπαὶ καὶ αἱ παραινέσεις. Οὐδεὶς γὰρ ἀνθρώπων προτρέπει μὴ πεινῆν, μηδὲ διψῆν, μηδὲ ἵπτασθαι· οὐ γὰρ ἐφ' ἡμῖν ταῦτα. Δῆλον οὖν, ὅτι ἐφ' οἷς αἱ προτροπαί, ταῦτα ἐφ' ἡμῖν ἐστιν. Ἔτι, εἰ μηδὲν ἐφ' ἡμῖν, περιττοὶ οἱ νόμοι· φυσικῶς δὲ πᾶν ἔθνος νόμοις χρῆταί τισιν, ἐπιστάμενον, ὡς ἐξουσίαν ἔχει πράττειν, ἃ νομοθετεῖ· καὶ τὰ πλεῖστά τῶν ἐθνῶν θεοὺς ἐπιγράφεται νομοθέτας, ὡς Κρῆτες μέν, τὸν Δία, Λακεδαιμόνιοι δέ, Ἀπόλλωνα. Φυσικῶς ἄρα πᾶσιν ἀνθρώποις ἡ γνῶσις τοῦ ἐφ' ἡμῖν συγκατέσπαρται. Τὰ αὐτὰ δὲ τούτοις ῥητέον ἐπὶ τῶν ψόγων καὶ τῶν ἐπαίνων καὶ πάντων τῶν ἀναιρούντων τὸ καθ' εἱμαρμένην πάντα γίνεσθαι.

Κεφ. Μ'.

Περὶ τοῦ, ὅτι ἔστιν ἐφ' ἡμῖν τινα.

Ὅτι μέν ἔστιν ἐφ' ἡμῖν τινα, καὶ ὅτι κύριοι **[768]** πράξεών τινων ἐσμεν, αὐτάρκως ἀποδέδεικται. Λοιπὸν δὲ εἴπωμεν, τίνα ἐστὶ τὰ ἐφ' ἡμῖν. Λέγομεν τοίνυν γενικῶς, πάντα τὰ δι' ἡμῶν ἑκουσίως πραττόμενα

ἐφ' ἡμῖν εἶναι. Οὐ γὰρ ἂν ἑκουσίως ἐλέγετο πράττεσθαι, τῆς πράξεως οὐκ οὔσης ἐφ' ἡμῖν· καὶ ἁπλῶς, οἷς ἕπεται ψόγος ἢ ἔπαινος, καὶ ἐφ' οἷς ἐστι προτροπὴ καὶ νόμος· καὶ τοῦτο γὰρ ἐν τοῖς ἔμπροσθεν ἐδείχθη. Κυρίως δὲ ἐφ' ἡμῖν ἔστι τὰ ψυχικὰ πάντα, καὶ περὶ ὧν βουλευόμεθα. Ὡς γὰρ ἐφ' ἡμῖν ὄντος τοῦ πρᾶξαι τὸ προκείμενον καὶ μὴ πρᾶξαι, βουλευόμεθα. Ἐδείχθη δὲ ἐν τοῖς προλαβοῦσιν, ἡ βουλὴ τῶν ἐπίσης ἐνδεχομένων οὖσα. Ἐπίσης δέ ἐστιν ἐνδεχόμενον, ὅ αὐτό τε δυνάμεθα καὶ τὸ ἀντικείμενον αὐτῷ. Ποιεῖται δὲ τούτου τὴν αἵρεσιν ὁ νοῦς, ὁ ἡμέτερος, καὶ οὗτός ἐστιν ἀρχὴ πράξεως· καὶ ταῦτά ἐστι τὰ ἐφ' ἡμῖν, τὰ ἐπίσης ἐνδεχόμενα, οἷον, τὸ κινεῖσθαι καὶ μὴ κινεῖσθαι, ὁρμᾶν καὶ μὴ ὁρμᾶν, ὀρέγεσθαι τῶν μὴ ἀναγκαίων καὶ μὴ ὀρέγεσθαι, ψεύδεσθαι καὶ μὴ ψεύδεσθαι, διδόναι καὶ μὴ διδόναι, χαίρειν, οἷς δεῖ, καὶ μὴ χαίρειν, καὶ ὅσα τοιαῦτα, ἐν οἷς ἐστι τὰ τῆς κακίας καὶ τὰ τῆς ἀρετῆς ἔργα· τούτων γάρ ἐσμεν αὐτεξούσιοι. Τῶν δὲ ἐπίσης ἐνδεχομένων εἰσὶ καὶ αἱ τέχναι. Πᾶσα γὰρ τέχνη περὶ γένεσίν ἐστι τῶν ἐνδεχομένων καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ὧν ἡ ἀρχὴ ἐν τῷ ποιοῦντι, ἀλλ' οὐκ ἐν τῷ ποιουμένῳ. Οὐδὲν γὰρ οὔτε τῶν ἀϊδίων καὶ ἐξ ἀνάγκης ὄντων, οὔτε τῶν γινομένων ἐν τοῖς ἐνδεχομένοις καὶ ἄλλως ἔχειν, ἐν αὐτοῖς ἐχόντων τὸ ποιητικὸν αἴτιον, ὡς ἐπὶ τῶν ζῴων καὶ φυτῶν, κατὰ τέχνην τι λέγεται γίνεσθαι. Φύσει γὰρ καὶ οὐ τέχνῃ. Εἰ δὲ τῶν κατὰ τέχνην γινομένων ἔξωθέν ἐστι τὸ ποιοῦν αἴτιον, τίς ἄρα αἴτιος τῶν κατὰ τέχνην γινομένων, ἢ ὁ ποιῶν τεχνίτης; Ἐν γὰρ τῷ τεχνίτῃ τὸ ποιεῖν. Οὗτος ἄρα ἀρχὴ καὶ αἴτιος πράξεών ἐστιν.

[769] Ἐφ' ἡμῖν ἄρα καὶ αἱ κατὰ τέχνην ἐνέργειαι καὶ ἀρεταὶ καὶ πᾶσαι πράξεις ψυχικαί τε καὶ λογικαί. Ἐδείχθη δὲ ἐν τοῖς ἔμπροσθεν, ποῖαί εἰσιν ἐνέργειαι ψυχικαί. Οἱ δὲ πολλοί, νομίζοντες λέγεσθαι τὸ αὐτεξούσιον ἐπὶ πάσης πράξεώς τε καὶ κτήσεως καὶ τύχης, ἀποδοκιμάζουσιν εἰκότως τὸν λόγον· οἱ δὲ δριμύτεροι καὶ τὸ τῆς Γραφῆς εἰς ἔλεγχον φέροντες, τό, «οὐκ ἐπ' ἀνθρώπῳ αἱ ὁδοὶ αὐτοῦ»[1], Ὦ βέλτιστοι, φασί, πῶς αὐτεξούσιος ὁ ἄνθρωπος, ὁπότε οὐκ ἐπ' αὐτῷ ἡ ὁδὸς αὐτοῦ, καὶ «Μάταιοι οἱ διαλογισμοὶ τῶν ἀνθρώπων»[2], ὡς μὴ δυναμένων ἡμῶν εἰς ἔργον ἄγειν, ἃ διανοούμεθα; Καὶ τοιαῦτα πολλά φασιν, ἀγνοοῦντες, ὅπως λέγεται τὸ αὐτεξούσιον. Οὐ γὰρ τοῦ πλουτεῖν ἢ πένεσθαι ἢ διὰ παντὸς ὑγιαίνειν, ἢ ῥωμαλέους εἶναι κατὰ φύσιν ἢ τοῦ ἄρχειν ἢ ὅλως τῶν ὀργανικῶν ἢ τυχηρῶν λεγομένων ἀγαθῶν, ἢ τῶν κατὰ πρόνοιαν τὸ τέλος λαμβανόντων, ἐξουσίαν ἔχομεν· ἀλλὰ τῶν κατ' ἀρετὴν καὶ κακίαν πράξεων καὶ προαιρέσεων καὶ κινήσεων, καὶ ὧν ἐξίσης καὶ τὰ ἀντικείμενα πρᾶξαι δυνάμεθα, ἐπειδὴ πάσης πράξεως προαίρεσις ἡγεῖται, καὶ οὐ μόνον ἡ πρᾶξις, ἀλλὰ καὶ ἡ προαίρεσις ὑπόδικός ἐστι. Καὶ τοῦτο δηλοῖ τὸ ἐν τῷ Εὐαγγελίῳ· «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ»[3]· καὶ ὁ

---

1. Πρβλ. Παρμ. 20, 24. 2. Πρβλ. Ψαλμ. 93, 11. 3. Πρβλ. Ματθ. 5, 28.

Ἰὼβ ὑπὲρ τῶν κατὰ διάνοιαν τῶν τέκνων αὐτοῦ πλημμελημάτων ἔθυε τῷ Θεῷ[1]. Ἀρχὴ γὰρ ἁμαρτίας καὶ δικαιοπραγίας ἡ προαίρεσις. Τὸ γὰρ ἔργον ποτὲ μὲν συγχωρεῖται παρὰ τῆς προνοίας, ποτὲ δὲ κωλύεται· ὄντος γὰρ καὶ τοῦ ἐφ' ἡμῖν, οὔσης δὲ καὶ τῆς προνοίας, ἀνάγκη κατ' ἄμφω τὰ γινόμενα γίνεσθαι· εἰ γὰρ κατὰ τὸ ἕτερον μόνον ἐγίνετο, οὐκ ἦν ἂν τὸ ἕτερον. Μικτῶν δὲ ὄντων τῶν γινομένων, ποτὲ μὲν κατὰ τὸ ἐφ' ἡμῖν ἀποβήσεται, ποτὲ δὲ κατὰ τὸν τῆς προνοίας λόγον, ποτὲ δὲ κατ' ἀμφότερα.

[772] Τῆς δὲ προνοίας πῇ μὲν κοινῆς οὔσης, πῇ δὲ ἰδιαζούσης, ἀνάγκη τοῖς καθόλου τὰ κατὰ μέρος ὁμοιοπαθεῖν. Τοῦ γὰρ περιέχοντος ξηροῦ ὄντος, ξηραίνεται τὰ σώματα, εἰ καὶ μὴ πάντα ὁμοίως· καὶ μητρὸς δὲ οὐκ εὖ δεδιῃτημένης καὶ τρυφώσης, ἀκολούθως τὰ τικτόμενα καὶ τοῖς σώμασι δύσκρατα, καὶ ταῖς ὁρμαῖς παράφορα γεννᾶται. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι συμβαίνει καὶ κράσει σώματος οὐκ εὐτυχεῖ περιπεσεῖν, ἢ τῷ κοινῷ τοῦ περιέχοντος, ἢ ἐξ ἑκουσίας διαίτης τῶν γεννησάντων, ἢ καὶ αὐτῶν ἐκείνων ἀπὸ τρυφῆς διεφθαρμένων· ὥστε τὰς κράσεις ἐξ ἑκουσίας ἀρχῆς ἔσθ' ὅτε φαύλας κατασκευάζεσθαι, καὶ μὴ τὴν πρόνοιαν πάντως αἰτίαν εἶναι τῶν τοιούτων. Ὅταν οὖν ψυχὴ κράσει σώματος ἐνδοῦσα, ἐπιθυμίαις ἢ θυμοῖς ἑαυτὴν ἐκδῷ καὶ ἀπὸ τῶν τυχηρῶν καταπιεσθῇ, ἢ χαυνωθῇ, οἷον πενίας ἢ πλούτου, ἑκούσιον κακὸν ὑφίσταται. Ἡ γὰρ μὴ ἐνδοῦσα κατορθοῖ καὶ νικᾷ τὸ δύσκρατον, ὡς ἀλλοιῶσαι μᾶλλον ἢ ἀλλοιωθῆναι· καὶ καθίστησι τὰς ψυχικὰς διαθέσεις εἰς εὐεξίαν ἀγωγῇ χρηστῇ καὶ διαίτῃ προσφόρῳ. Δῆλον οὖν ἐκ τῶν κατορθούντων, ὡς οἱ μὴ κατορθώσαντες ἑκουσίως ἁμαρτάνουσιν. Ἐφ' ἡμῖν **[773]** γάρ, ἢ συνδραμεῖν ταῖς δυσκρασίαις, ἢ ἀντιβῆναι καὶ κρατῆσαι. Οἱ δὲ πολλοὶ τὴν δυσκρασίαν ὡς αἰτίαν τῶν κακῶν προβαλλόμενοι, ἀνάγκῃ καὶ οὐ προαιρέσει τὴν κακίαν ἐπιγράφουσι καὶ διὰ τοῦτό φασι, μηδὲ τὰς ἀρετὰς ἐφ' ἡμῖν εἶναι, ἀτόπως λέγοντες.

Κεφ. ΜΑ'.

Διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν.

Ὑπόλοιπόν ἐστιν εἰπεῖν, διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν. Φαμὲν τοίνυν εὐθέως τῷ λογικῷ συνεισέρχεσθαι τὸ αὐτεξούσιον, καὶ τοῖς γενητοῖς συμπεφυκέναι μεταβολὴν καὶ τροπήν, μάλιστα τοῖς ἐξ ὑποκειμένης ὕλης γενομένοις. Ἀρχὴ γὰρ γενέσεως, τροπή. Ἐξ ἀλλοιώσεως γὰρ τῆς ὑποκειμένης ὕλης ἡ γένεσις. Κατανοήσειε δ' ἂν τις τὸ λεγόμενον, ἀποβλέπων εἴς τε τὰ φυτὰ πάντα καὶ τὰ ζῷα, τά τε χερσαῖα καὶ πτηνὰ καὶ ἔνυδρα. Συνεχὴς γὰρ ἡ τούτων μεταβολή. Ὅτι δὲ καὶ τῷ λογικῷ συνεισέρχεται τὸ αὐτεξούσιον, ἐκ τῶν εἰρημέ-

---

1. Πρβλ. Ἰὼβ 1, 5.

νων περὶ τοῦ ἐφ' ἡμῖν εἶναί τι, τοῖς μὴ παρέργως ἀκηκοόσιν εὔδηλόν ἐστιν. Οὐδὲν δὲ ἴσως ἄτοπον, καὶ νῦν ὑπομνῆσαι τῶν αὐτῶν, τῆς ἀκολουθίας ἐπιζητούσης αὐτά. Τοῦ λογικοῦ τὸ μέν ἐστι θεωρητικόν, τὸ δὲ πρακτικόν· θεωρητικὸν μέν, τὸ κατανοοῦν, ὡς ἔχει τὰ ὄντα· πρακτικὸν δέ, τὸ βουλευτικόν, τὸ ὁρίζον τοῖς πρακτοῖς τὸν ὀρθὸν λόγον. Καὶ καλοῦσι τὸ μὲν θεωρητικόν, νοῦν· τὸ δὲ πρακτικόν, λόγον· καὶ τὸν μέν, σοφίαν, τὸν δέ, φρόνησιν. Πᾶς δὲ ὁ βουλευόμενος, ὡς ἐπ' αὐτῷ τῆς αἱρέσεως οὔσης τῶν πρακτέων, βουλεύεται, ἵνα τὸ προκριθὲν ἐκ τῆς βουλῆς ἕληται, καὶ ἑλόμενος πράξῃ. Πᾶσα τοίνυν ἀνάγκη, [776] τὸν ἔχοντα τὸ βουλεύεσθαι, καὶ κύριον εἶναι πράξεων. Εἰ γὰρ μὴ κύριος εἴη πράξεων, περιττῶς ἔχει τὸ βουλεύεσθαι· εἰ δὲ τοῦτο, ἐξ ἀνάγκης παρυφίσταται τῷ λογικῷ τὸ αὐτεξούσιον· ἢ γὰρ οὐκ ἔσται λογικόν, ἢ λογικὸν ὄν, κύριον ἔσται πράξεων· κύριον δὲ ὂν πράξεων, πάντως αὐτεξούσιον ἔσται. Ἐδείχθη δὲ καὶ τὰ ἐξ ὑποκειμένης ὕλης γενητὰ τρεπτὰ ὄντα.

Ἐξ ἀμφοτέρων ἄρα συνάγεται, τὸ τὸν ἄνθρωπον ἐξ ἀνάγκης αὐτεξούσιον καὶ τρεπτὸν εἶναι· τρεπτὸν μέν, ἐπειδὴ γενητός· αὐτεξούσιον δέ, ἐπειδὴ καὶ λογικός. Ὅσοι τοίνυν αἰτιῶνται τὸν Θεόν, ὅτι τὸν ἄνθρωπον οὐκ ἐποίησε κακίας ἀνεπίδεκτον, ἀλλ' αὐτεξούσιον, λανθάνουσιν ἑαυτοὺς αἰτιώμενοι τὸν Θεόν, ὅτι λογικὸν ἐποίησε τὸν ἄνθρωπον, καὶ οὐκ ἄλογον. Ἀνάγκη γὰρ τῶν δύο τὸ ἕτερον, ἢ ἄλογον γενέσθαι, ἢ λογικὸν ὄντα καὶ περὶ τὰ πρακτὰ στρεφόμενον αὐτεξούσιον εἶναι. Ἐξ ἀνάγκης οὖν πᾶσα φύσις λογικὴ αὐτεξούσιός ἐστι καὶ τρεπτὴ κατὰ τὴν ἑαυτῆς φύσιν. Ἀλλ' αἱ μὲν ἐξ ὑποκειμένης ὕλης γενόμεναι κατὰ δύο τρόπους τὸ τρεπτὸν ἔχουσι, κατά τε τὴν ὕλην, καὶ κατ' αὐτὸ τὸ γενέσθαι· ὅσαι δὲ οὐκ ἐξ ὑποκειμένης ὕλης ἐγένοντο, καθ' ἕνα μόνον τρόπον τὸν τῆς γενέσεώς εἰσι τρεπταί. Πάλιν δὲ τούτων τῶν ἀΰλων ὅσαι μὲν ἐν τοῖς περιγείοις εἰσί, τῇ κοινωνίᾳ τῇ πρὸς τοὺς ἀνθρώπους περὶ τὰ πρακτέα καταγινόμεναι, μᾶλλόν εἰσι τῶν ἄλλων τρεπταί· ὅσαι δὲ δι' ἀκρότητα φύσεως τῷ Θεῷ κατὰ σχέσιν πλησιάζουσι, καὶ τῇ τούτου κατανοήσει τὸ μακάριον καρποῦνται, πρὸς ἑαυτὰς καὶ τὸν Θεὸν μόνον ἐστραμμέναι, τῶν μὲν πρακτῶν καὶ τῆς ὕλης παντάπασιν ἑαυτὰς ἀπηλλοτρίωσαν, τῇ δὲ θεωρίᾳ καὶ τῷ [777] Θεῷ προσῳκείωσαν, μένουσιν ἄτρεπτοι· αὐτεξούσιοι μὲν οὖσαι, διὰ τὸ λογικαὶ εἶναι, οὐ μὴν τρεπόμεναι, διὰ τὰς προειρημένας αἰτίας. Καὶ θαῦμά γε οὐδέν. Καὶ γὰρ τῶν ἀνθρώπων ὅσοι θεωρητικοὶ γενόμενοι τῶν πρακτῶν ἑαυτοὺς ἐχώρισαν, ἔμειναν ἄτρεπτοι. Οἶμαι συναποδεδεῖχθαι τοῖς εἰρημένοις, ὅτι τὴν ἀρχὴν αἱ λογικαὶ πᾶσαι φύσεις ἄριστα δεδημιούργηνται, καὶ εἴπερ οὕτω διέμειναν, ὡς ἐξ ἀρχῆς ἐκτίσθησαν, πάσης ἂν κακίας ἐκτὸς ἦσαν· γίνεται δὲ αὐταῖς ἡ κακία κατὰ προαίρεσιν· οὕτω γοῦν αἱ μείνασαι κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν, τὸ μακάριον ἔχουσι. Μόνοι δὲ ἄγγελοι τῶν ἀσωμάτων ἐτράπησαν, καὶ οὐδὲ αὐτοὶ πάντες, ἀλλά τινὲς ἐξ αὐτῶν, ὅσοι ῥέψαντες πρὸς τὰ κάτω, τῶν ἐπιγείων

ἔφεσιν ἔσχον, τῆς πρὸς τὰ ἄνω καὶ τὸν Θεὸν σχέσεως ἀποχωρήσαντες.

Οὐκοῦν ἐκ τῶν δεδειγμένων δῆλόν ἐστιν, ὡς ἕνεκα μὲν τοῦ φύσει τρεπτοὺς ἡμᾶς εἶναι, τὰς δυνάμεις τὰς προαιρετικὰς τρεπτὰς ἔχομεν, οὐ μὴν διὰ τὸ ἔχειν τρεπτὰς δυνάμεις, τοῦ κακοὺς ἡμᾶς εἶναι τὸν Θεὸν ἄν τις αἰτιάσαιτο. Οὐ γὰρ ἐν ταῖς δυνάμεσίν εἰσι αἱ κακίαι, ἀλλ᾽ ἐν ταῖς ἕξεσιν· αἱ δὲ ἕξεις, κατὰ προαίρεσιν· κατὰ προαίρεσιν ἄρα κακοὶ γινόμεθα, καὶ οὐ κατὰ φύσιν ἐσμέν. Μάθοι δ᾽ ἄν τις ἀκριβέστερον τὸ λεγόμενον οὕτως· Ἐν τοῖς προλαβοῦσι δύναμιν ἐλέγομεν εἶναι, ἀφ᾽ ἧς ἕκαστον, ὧν ποιοῦμεν, ποιεῖν δυνάμεθα. Πᾶσα δὲ προαιρετικὴ δύναμις, ἡ αὐτὴ τῶν ἀντικειμένων ἐστί· μία γὰρ καὶ ἡ αὐτὴ δύναμις τοῦ ψεύδεσθαι καὶ ἀληθεύειν, καὶ μία καὶ ἡ αὐτὴ δύναμις τοῦ σωφρονεῖν καὶ ἀκολασταίνειν. Οὐκέτι δὲ ἡ αὐτὴ ἕξις τῶν ἀντικειμένων, οἷον τοῦ ἀκολασταίνειν καὶ σωφρονεῖν, ἢ τοῦ ψεύδεσθαι καὶ ἀληθεύειν, ἀλλὰ τῶν ἐναντίων αἱ **[780]** ἐναντίαι· τὸ μὲν γὰρ σωφρονεῖν, τῆς κατ᾽ ἀρετήν ἐστιν ἕξεως· τὸ δὲ ἀκολασταίνειν, τῆς κακίας. Οὐκ εἰσὶν ἄρα τῶν δυνάμεων αἱ κακίαι, ἀλλὰ τῶν ἕξεων καὶ τῆς προαιρέσεως. Οὐ γὰρ ἡ δύναμίς ἐστιν ἡ παρασκευάζουσα ἡμᾶς ἀκολασταίνειν ἢ ψεύδεσθαι, ἀλλ᾽ ἡ προαίρεσις. Ἐφ᾽ ἡμῖν γὰρ ἦν ἀληθεύειν, καὶ μὴ ψεύδεσθαι. Εἴπερ οὖν οὐκ ἔστιν ἡ κακία δύναμις, ἀλλ᾽ ἕξις, οὐχ ὁ τὴν δύναμιν δοὺς αἴτιος ἡμῖν τῶν κακῶν, ἀλλ᾽ ἡ ἕξις ἡ παρ᾽ ἡμῶν καὶ δι᾽ ἡμῶν καὶ δι᾽ ἡμᾶς προσγινομένη. Ἐξῆν γὰρ τὴν ἐναντίαν ἕξιν ἐκ τῆς γυμνασίας κτήσασθαι, καὶ μὴ τὴν φαύλην. Διαφέρει δὲ δύναμις ἕξεως, τῷ πάσας μὲν τὰς δυνάμεις φυσικὰς εἶναι· τὰς δὲ ἕξεις ἐπεισάκτους· καὶ τῷ τὰς μὲν δυνάμεις ἀδιδάκτους εἶναι, τὰς δὲ ἕξεις ἐκ μαθήσεως καὶ ἔθους προσγίνεσθαι. Εἰ τοίνυν ἡ δύναμις φυσική τις καὶ ἀδίδακτος, ἡ δὲ ἕξις ἐπίκτητος καὶ διδακτή, οὐχ ἡ φύσις αἰτία τῶν κακῶν, ἀλλὰ τὸ κακῶς ἡμᾶς ἦχθαι, καὶ διὰ τοῦτο κακὴν ἕξιν κτήσασθαι. Πᾶσα γὰρ ἕξις ἐπίκτητος ἐδείχθη. Ὅτι δὲ φύσει εἰσὶν αἱ δυνάμεις, δῆλον ἐκ τοῦ πάντας τὰς αὐτὰς ἔχειν δυνάμεις, πλὴν τῶν πεπηρωμένων. Ὅτι δὲ αἱ ἕξεις οὐ φυσικαί, δῆλον ἐκ τοῦ μὴ πάντας τὰς αὐτὰς ἔχειν ἕξεις, ἄλλους δὲ ἄλλας. Τὰ γὰρ φύσει, τὰ αὐτὰ παρὰ πᾶσιν.

Κεφ. ΜΒ'.

Περὶ προνοίας.

Ὅτι μὲν αὐτεξούσιός ἐστιν ὁ ἄνθρωπος, καὶ τίνων ἐστὶν αὐτεξούσιος, καὶ διὰ ποίαν αἰτίαν αὐτεξούσιος γέγονεν, αὐτάρκως ἐν τοῖς προλαβοῦσιν εἴρηται. Ἐπειδὴ δὲ οὐ πᾶς ὁ προθέμενος φονεῦσαι, πάντως φονεύει, ἀλλὰ ποτὲ μὲν φονεύει, ποτὲ δὲ οὔ, τῆς προαιρέσεως παρεμποδισθείσης, καὶ μὴ **[781]** δραμούσης κατὰ σκοπόν· πρόνοιαν δὲ τούτων τινὰ ἔφαμεν αἰτίαν εἶναι, καὶ οὐχ εἱμαρμένην· ἀκόλουθος τοῖς ἐφ᾽ ἡμῖν ἐστιν ὁ περὶ τῆς προνοίας λόγος. Διαιρεῖται δὲ καὶ οὗτος

εἰς τρία· πρῶτον μέν, εἰ ἔστι πρόνοια· δεύτερον, τί ἐστι· τρίτον, τίνων ἐστίν. Ἀλλ' Ἰουδαῖος μὲν οὐδ' ἂν μαινόμενος ἀγνοήσειε πρόνοιαν, εἰδὼς μὲν τὰ κατ' Αἴγυπτον θαύματα, ἐπακούσας δὲ τῶν κατὰ τὴν ἔρημον, ἐν οἷς τηλαυγεστέρα τῶν ὁρατῶν ἐφάνη τοῖς ἀνθρώποις ἡ πρόνοια· πολλὰ δὲ καὶ ἐν προφήταις καὶ ἐν Βαβυλῶνι κατανοήσας ἔργα τῆς προνοίας, μηδὲ μίαν ἀμφιβολίαν ἐπιδεχόμενα. Χριστιανοὺς δὲ καὶ ταῦτα μὲν ἅπαντα διδάσκει πρόνοιαν εἶναι, μάλιστα δὲ τὸ θειότατον καὶ δι' ὑπερβολὴν φιλανθρωπίας ἀπιστότατον ἔργον τῆς προνοίας, ἡ δι' ἡμᾶς ἐνσωμάτωσις τοῦ Θεοῦ. Ἐπειδὴ δὲ οὐ πρὸς τούτους μόνους ὁ λόγος, ἀλλὰ καὶ πρὸς Ἕλληνας, φέρε καὶ δι' ἄλλων, οἷς ἐκεῖνοι πιστεύουσιν, ἀποδείξωμεν πρόνοιαν οὖσαν. Ὅτι τοίνυν ἔστι πρόνοια διὰ τῶν αὐτῶν ἂν τις ἐπιδείξειε, δι' ὧν, ὅτι καὶ Θεός ἐστιν, ἐδείξαμεν. Ἡ γὰρ διαμονὴ τῶν ἁπάντων, καὶ μάλιστα τῶν ἐν γενέσει καὶ φθορᾷ, [784] καὶ ἡ θέσις καὶ ἡ τάξις τῶν ὄντων, ἀεὶ φυλαττομένη κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἡ τῶν ἄστρων φορά, μηδὲν μηδέποτε διαλλάττουσα, καὶ ὁ κύκλος τοῦ ἐνιαυτοῦ, καὶ ἡ τῶν ὡρῶν ἀποκατάστασις, τῶν τε νυκτῶν καὶ τῶν ἡμερῶν ἡ κατ' ἔτος ἰσότης, παρὰ μέρος ἑκατέρας αὐξανομένης τε καὶ μειουμένης οὔτε ἐλάττονι, οὔτε πλείονι μέτρῳ, πῶς ἂν διετέλεσεν ὁμοίως διεξαγομένη, μηδενὸς προνοοῦντος; Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἁμαρτήμασιν ἡ παρεπομένη τιμωρία, μᾶλλον δὲ καὶ ἡ τῶν ἁμαρτημάτων αὐτῶν ἀποκάλυψις, ὅταν, μηδενὸς ὄντος τοῦ διελέγξαι δυναμένου, κατά τινας περιστάσεις ἐμφανίζηται, δείκνυσι πρόνοιαν εἶναι.

Γέμουσι δὲ τῶν τοιούτων ἱστοριῶν αἵ τε τῶν Ἑβραίων Γραφαὶ καὶ τὰ παρ' Ἕλλησι γράμματα. Τοιοῦτον γὰρ ἐῤῥέθη τῇ Γραφῇ τὸ κατὰ Σωσάνναν πάθος· ἐν δὲ τοῖς παρ' Ἕλλησι, τὸ κατὰ Ἴβυκον τὸν ποιητήν. Φονευόμενος γὰρ οὗτος ὑπό τινων, καὶ μηδένα μήτε σύμμαχον, μήτε μάρτυρα τῆς ἐπιβουλῆς ἔχων, θεωρήσας γεράνους, Ὑμεῖς, ἔφησεν, ὦ γέρανοι, τιμωρήσατέ μοι τὸν φόνον. Τῆς δὴ πόλεως ζητούσης τοὺς φονεύσαντας, καὶ μὴ δυναμένης εὑρεῖν, ἐπιτελουμένου θεάτρου καὶ τοῦ δήμου καθεζομένου, γέρανοι διέπτησαν· θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν, καί, Ἰδοὺ εἶπον, οἱ τιμωροὶ τοῦ Ἰβύκου· τῶν δὲ πλησίον καθεζομένων τις ἀκούσας ἀπήγγειλε ταῖς ἀρχαῖς, καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον. Πολλῶν τε καὶ ἄλλων τοιούτων ἐστὶ πλῆθος ἀναγεγραμμένον ἐν τοῖς παλαιοῖς, ὅπερ εἴ τις βουληθείη συναγαγεῖν, εἰς ἄπειρον ἂν μῆκος ἐκτείνειε τὸν λόγον. Εἰ δὲ μὴ πᾶσι τοῖς ἁμαρτάνουσιν ὁ αὐτὸς τρόπος τῶν ἐλέγχων ἐπάγεται, ἀλλ' ἔνιοι καὶ διαφεύγειν δοκοῦσι, μηδεὶς ἀρνείσθω διὰ τοῦτο τὴν πρόνοιαν. Οὐ γὰρ καθ' ἕνα μόνον τρόπον ποιεῖται τῶν ἀνθρώπων τὴν ἐπιμέλειαν, ἀλλὰ κατὰ πολλοὺς [785] καὶ διαφόρους. Οὐχ ἥκιστα δὲ τὸ εἶναι πρόνοιαν δείκνυσιν ἡ τῶν σωμάτων τῶν ἐν γενέσει καὶ φθορᾷ κατασκευὴ καὶ ἀναλογία, διὰ παντὸς ὁμοίως φυλαττομένη. Παντὶ γὰρ μορίῳ τοῦ σώματος ἐμφαίνεται τῆς προνοίας ἡ προμήθεια, ἅτινα

τοῖς φιλοπόνοις ἔξεστιν ἐκ διαφόρων συγγραμμάτων ἀναλέγεσθαι. Καὶ ἡ τῶν χρωμάτων δὲ ποικιλία, τῶν ἐν τοῖς ζῴοις, τὸν αὐτὸν ἀεὶ κόσμον φυλάττουσα, κέκραγε πρόνοιαν εἶναι· καὶ τὸ κοινῇ δὲ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογούμενον, τὸ δεῖν εὔχεσθαι καὶ θεραπεύειν τὸ Θεῖον ἀναθήμασί τε καὶ περιβόλοις, προνοίας ἐστὶ δηλωτικόν. Ἀπρονοήτου γὰρ ὄντος τοῦ παντὸς, πῶς ἄν, ἤ τίνι τις εὔξαιτο; Καὶ ἡ σπουδὴ δέ, ἡ περὶ τὰς εὐεργεσίας φυσικῶς ἐν τοῖς ἀδιαστρόφοις σπουδαζομένη, τὴν πρόνοιαν ἐμφαίνει. Τὸν γὰρ ἐκ ταύτης μισθὸν ἀπεκδεχόμενοι, καὶ τοὺς μὴ δυναμένους ἀμείψασθαι ποιεῖν εὖ προαιρούμεθα.

Προνοίας δὲ ἀναιρουμένης, συγκεχώρηται μὲν ἀδικία τοῖς δυναμένοις ἀδικεῖν, ἀναιρεῖται δὲ ἐλεημοσύνη καὶ Θεοῦ φόβος, συναναιρεῖται δὲ τούτοις ἀρετὴ καὶ εὐσέβεια· εἰ γὰρ μὴ προνοεῖ Θεός, οὐδὲ τιμωρεῖται, οὐδὲ τοῖς εὖ πράττουσιν ἔπαθλα νέμει, οὐδὲ τῶν ἀδικουμένων τὰς βλάβας ἀπείργει, τίς ἂν οὖν ἔτι προσκυνήσειε Θεόν, μηδὲν εἰς μηδὲν ἡμῖν συμβαλλόμενον. Ἀναιρεῖται δὲ καὶ προφητεία καὶ πᾶσα πρόγνωσις. Ἀλλ' οὐ συμφωνεῖ ταῦτα τοῖς καθ' ἑκάστην σχεδὸν ἡμέραν γινομένοις. Πολλαὶ μὲν γὰρ ἐν ταῖς χρείαις ἐπιφάνειαι τοῦ Θείου, πολλὰ δὲ καὶ δι' ὀνείρων τοῖς κάμνουσι δίδοται βοηθήματα, πολλαί τε προγνώσεις καθ' ἑκάστην γενεὰν ἐξηνέχθησαν, πολλοὶ δὲ μιαιφονήσαντες καί τι τῶν ἀθεμίτων πράξαντες ἐκδειματοῦνται νύκτωρ τε καὶ μεθ' ἡμέρας. Ἄλλως τε ἀγαθός ἐστιν ὁ Θεός· ἀγαθὸς δὲ ὤν, εὐεργετικός ἐστιν· εἰ δὲ εὐεργετικός, καὶ προνοητικός. Τί δεῖ λέγειν τὰ τῆς κτίσεως ἔργα καὶ τὴν ἀναλογίαν **[788]** αὐτῆς καὶ τὴν ἁρμονίαν καὶ τὴν θέσιν καὶ τὴν τάξιν καὶ τὴν χρείαν, ἣν ἕκαστον παρέχεται τῷ παντί, καὶ ὡς οὐχ οἷόν τε ἄλλως καλῶς ἔχειν, παρ' ὃ νῦν ἔχει, καὶ ὡς οὔτε προσθήκην ἐπιδέχεται, οὔτε τῶν ὄντων ἐπιλείπειν τι δύναται, ἀλλὰ τέλεια πάντα καὶ καλά, σοφῶς τε καὶ προνοητικῶς δεδημιούργηται; Ἀλλ' εἰς τὸν τῆς δημιουργίας λόγον ἀναβαλώμεθα τὴν τούτων ἔκθεσιν, ἵνα μὴ πάθωμεν, ὅπερ πολλοὶ τῶν περὶ προνοίας γραψάντων πεπόνθασι. Τὴν γὰρ κτίσιν ἀντὶ τῆς προνοίας ἀνυμνοῦσι, ποδηγοῦσαν μὲν ἡμᾶς εἰς τὸν περὶ τῆς προνοίας λόγον, κατὰ πολὺ δὲ διαφέρουσαν. Οὐ γὰρ ταυτόν ἐστι πρόνοια καὶ κτίσις. Κτίσεως μὲν γάρ, τὸ καλῶς ποιῆσαι τὰ γινόμενα· προνοίας δέ, τὸ καλῶς ἐπιμεληθῆναι τῶν γινομένων· οὐ συνυπάρχει δὲ ταῦτα πάντως ἀλλήλοις, ὥς ἐστιν ἐκ τῶν ἀνδρῶν, τῶν καθ' ἑκάστην τέχνην καὶ μέθοδον, ἰδεῖν.

Οἱ μὲν γὰρ αὐτῶν ἄχρι μόνου τοῦ ποιῆσαι καλῶς ἵστανται, καὶ οὐδὲν ἔτι φροντίζουσιν, ὡς τέκτονές τε καὶ γραφεῖς καὶ πλάσται· οἱ δὲ μόνον ἐπιμελοῦνται καὶ προνοοῦσιν, ὡς βουκόλοι τε καὶ ποιμένες. Οὐκοῦν καὶ ἡμεῖς ἐν μὲν τῷ «Περὶ τῆς κτίσεως» λόγῳ δεόντως ἂν ἐπιδεικνύοιμεν, ὅτι καλῶς γέγονε τὰ γενόμενα· ἐν δὲ τῷ «Περὶ προνοίας», ὅτι καὶ τῆς δεούσης ἐπιμελείας τυγχάνει μετὰ τὸ γενέσθαι. Πῶς οὖν ἄνθρωπος ἐξ ἀνθρώπου, καὶ βοῦς ἐκ βοὸς ἀεὶ γεννᾶται, καὶ ἕκαστον ἐκ

τοῦ οἰκείου σπέρματος φύεται, καὶ οὐκ ἐξ ἄλλου, προνοίας ἀπούσης; Εἰ γὰρ λέγοι τις, ὅτι κατὰ τὴν ἐξ ἀρχῆς γένεσιν εἱρμῷ προβαίνει τὸ πρᾶγμα, τοῦτο ἂν εἴη λέγων, ὅτι τῇ κτίσει συνυπάρχει πάντως ἡ πρόνοια. Τὸ γὰρ εἱρμῷ προβαίνειν τὸ κτισθὲν, δηλοῖ τῇ κτίσει συγκαταβεβλῆσθαι τὴν πρόνοιαν. Προνοίας γὰρ ἡ μετὰ τὴν κτίσιν διεξαγωγὴ τῶν ὄντων· καὶ οὕτως οὐδὲν ἂν ἄλλο λέγοι, ἢ τὸν αὐτὸν εἶναι ποιητὴν ἅμα καὶ προνοητὴν τῶν ὄντων. Τίς δὲ ὁρῶν τὰς μορφὰς τῶν ἀν-**[789]**θρώπων, ἐν τοσαύταις μυριάσι διαλλαττούσας, καὶ μηδαμοῦ κατὰ πάντα συνεμπιπτούσας, οὐ θαυμάσειε μὲν τὸ ἔργον, ἀναλογιζόμενος δὲ τὴν αἰτίαν, εὑρήσει προνοίας ἕνεκα τὴν διαφορὰν τῆς μορφῆς παρηλλαγμένην ἐν τοῖς καθ' ἕκαστα; Σκόπει γάρ, εἰ τὸν αὐτὸν ἅπαντες ἔσῳζον ἀπαραλλάκτως χαρακτῆρα, πόση σύγχυσις τῶν πραγμάτων ἐγίνετο! πόση δὲ ἄγνοια καὶ σκότος κατεῖχε τὸν ἄνθρωπον, οὔτε τὸν οἰκεῖον γνωρίζοντα, οὔτε τὸν ἀλλότριον ἢ πολέμιον ἢ φαῦλον ἀπὸ τοῦ φίλου καὶ χρηστοῦ διακρίνοντα! Πάντα δὲ ἦν ἀληθῶς ὁμοῦ χρήματα, κατὰ Ἀναξαγόραν. Τούτου γὰρ οὕτως ὄντος, οὐδὲν ἐκώλυεν ἀδελφαῖς καὶ μητράσι συγγίνεσθαι, οὐδὲ ἁρπάζειν, οὐδὲ ἄλλο τι ἀδικεῖν ἐμφανῶς, εἰ πρὸς τὸ παρὸν μόνον διέφυγεν· οὐ γὰρ ἂν ὀφθεὶς ἐγνωρίσθη μετὰ ταῦτα.

Οὐδ' ἂν νόμος ἢ πολιτεία συνετάττετο· οὐδὲ πατέρες καὶ παῖδες ἀλλήλους ἐγίγνωσκον· οὐδὲ ἄλλο τι συνέστη τῶν κατὰ τὸν ἄνθρωπον· τυφλὸς γὰρ ἂν ἦν ἕνεκα τῶν ἀνθρώπων ὁ ἄνθρωπος, μικρὰ τοῦ βλέπειν αὐτῷ παρεχομένου· πλὴν γὰρ ἡλικίας καὶ μεγέθους οὐδὲν ἄλλο διεγίνωσκε. Τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονεν ἡ πρόνοια, ποικίλλουσα τὴν μορφὴν τῶν ἀνθρώπων διὰ παντὸς καὶ πανταχῇ, καὶ μηδένα χρόνον τοῦ ποιεῖν τοῦτο παραλείπουσα· ὃ καὶ μέγιστόν ἐστι τεκμήριον τοῦ τυγχάνειν προνοίας καὶ τὰ καθ' ἕκαστα, εἰ μέχρι καὶ τοῦ τύπου τῆς διαπλάσεως τοῦ χαρακτῆρος καὶ τῆς φωνῆς ἕκαστος γνωρίζεται, εἰ καὶ μὴ δι' **[792]** ἀκριβείας τὸ τοιοῦτον φυλάττεται, ὡς τῆς μορφῆς ἀρκούσης. Ἐξ ἐπιμέτρου γὰρ καὶ τοῦτο προσέθηκεν ἡμῖν ἡ πρόνοια τὴν τῶν χρωμάτων διαφοράν, ἵνα πολυτρόπως βοηθῆται τῆς ἀνθρωπίνης φύσεως ἡ ἀσθένεια. Οἶμαι δὲ καὶ τὰ πολλὰ τῶν ζῴων, τῶν κατ' εἶδος ὁμοσχημόνων, οἷόν ἐστι κορώνη καὶ κόραξ, ἔχειν τινὰς κατὰ τὴν πρόσοψιν διαφοράς, αἷς γνωρίζει κατὰ συζυγίαν ἄλληλα. Κορῶναι γοῦν καὶ κόρακες συναγελάζονται μὲν πολλοὶ πολλάκις· χωρίζονται δὲ κατὰ συζυγίαν, ἑκάστης καὶ ἑκάστου γνωριζόντων τὸν σύζυγον. Πῶς δ' ἂν ἐγίνωσκον ἀλλήλους, εἰ μή τις ἦν ἐν ἑκάστῳ χαρακτὴρ ἴδιος, ἡμῖν μὲν οὐκ εὐκρινής, εὐσύνοπτος δὲ φυσικῶς τοῖς ὁμοειδέσι; Καὶ τὰ σύμβολα δὲ καὶ φῆμαι καὶ κληδόνες καὶ διοσημεῖαι (πρὸς Ἕλληνας γὰρ ὁ λόγος), κατὰ τὸν οἰκεῖον λόγον, ὡς αὐτοί φασι, τῶν δηλουμένων ὑπ' αὐτῶν τὰς ἐκβάσεις διασῴζουσαι, πάντως που προνοίας λόγῳ κατασημαίνουσι, καὶ τοῖς σημαινομένοις τὰς ἐκβάσεις ἐπαληθεύουσιν.

Κεφ. ΜΓ'.

Τί ἐστι πρόνοια.

Ἀλλ' ὅτι μὲν ἔστι πρόνοια, διά τε τούτων δῆλον καὶ διὰ τῶν ἑξῆς ῥηθησομένων. Εἴπωμεν δέ, τί ἐστι πρόνοια. Πρόνοια τοίνυν ἐστὶν ἐκ Θεοῦ εἰς τὰ ὄντα γινομένη ἐπιμέλεια. Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτω· Πρόνοιά ἐστι βούλησις Θεοῦ, δι' ἣν πάντα τὰ ὄντα τὴν πρόσφορον διεξαγωγὴν λαμβάνει. Εἰ δὲ Θεοῦ βούλησίς ἐστιν ἡ πρόνοια, πᾶσα ἀνάγκη, κατὰ τὸν ὀρθὸν λόγον καὶ κάλλιστα καὶ θεοπρεπέστατα καὶ ὡς ἂν μόνως καλῶς ἔχοι τὰ γινόμενα γίνεσθαι, ὡς τὴν κρείττω τάξιν μὴ ἐπιδέχεσθαι. Ἀνάγκη δὲ καί, τὸν αὐτὸν εἶναι ποιητὴν τῶν ὄντων καὶ προνοητήν. Οὔτε γὰρ ἀκόλουθον, οὔτε πρέπον, ἄλλον μὲν ποιεῖν, ἄλλον δὲ τῶν γενομένων ἐπιμελεῖ**[793]**σθαι. Ἐν ἀσθενείᾳ γὰρ πάντως ὁρᾶται τὸ τοιοῦτον. Πολλὴ δὲ καὶ τοῖς ζῴοις ἔμφασις ἐναπόκειται τῶν εἰρημένων. Πᾶν γὰρ τὸ γεννῆσαν καὶ τῆς τροφῆς ἐπιμελεῖται τοῦ γεννηθέντος· ὁ δὲ ἄνθρωπος καὶ τῶν ἄλλων πάντων τῶν κατὰ τὸν βίον, καθ' ὅσον οἷός τέ ἐστι, προνοεῖ· τὰ δὲ μὴ προνοοῦντα, δι' ἀσθένειαν οὐ προνοεῖ. Δέδεικται οὖν Θεὸς μὲν ὢν ὁ προνοητής, πρόνοια δὲ ἡ βούλησις αὐτοῦ.

Κεφ. ΜΔ'.

Περὶ τοῦ τίνων ἐστὶ πρόνοια.

Ὅτι μὲν [οὖν] ἔστι πρόνοια, καὶ τί ἐστιν, εἴρηται· λείπεται δὲ εἰπεῖν, τίνων ἐστὶ πρόνοια, πότερον τῶν καθόλου, ἢ τῶν καθ' ἕκαστα, ἢ τῶν καθόλου καὶ τῶν καθ' ἕκαστα. Πλάτων μὲν οὖν καὶ τὰ καθόλου, καὶ τὰ καθ' ἕκαστα πρόνοιαν διοικεῖν βούλεται, διαιρῶν τὸν τῆς προνοίας λόγον εἰς τρία. Πρώτην μὲν γὰρ εἶναι, τὴν τοῦ πρώτου Θεοῦ· προνοεῖν δὲ τοῦτον προηγουμένως μὲν τῶν ἰδεῶν, ἔπειτα δὲ ξύμπαντος τοῦ καθόλου κόσμου, οἷον, οὐρανοῦ καὶ ἀστέρων καὶ πάντων τῶν καθόλου, τουτέστι τῶν γενῶν, οὐσίας τε καὶ ποσότητος καὶ ποιότητος, καὶ τῶν ἄλλων τῶν τοιούτων καὶ τῶν τούτοις ὑποτεταγμένων εἰδῶν· τῆς δὲ γενέσεως τῶν ἀτίμων ζῴων τε καὶ φυτῶν καὶ πάντων τῶν ἐν γενέσει καὶ φθορᾷ, τοὺς δευτέρους θεούς, τοὺς τὸν οὐρανὸν περιπολοῦντας, προνοεῖν. Καὶ Ἀριστοτέλης δὲ τὴν τούτων γένεσιν ἀνατίθησιν ἡλίῳ καὶ τῷ ζωδιακῷ κύκλῳ. Τῆς δὲ διεξαγωγῆς καὶ τοῦ τέλους τῶν πρακτῶν καὶ τῆς τάξεως τῶν κατὰ τὸν βίον, τῶν τε φυσικῶν καὶ τῶν ὑλικῶν τε καὶ ὀργανικῶν καλουμένων ἀγαθῶν, καὶ τῶν τούτοις ἀντικειμένων, τὴν τρίτην εἶναι πρόνοιαν **[796]** Πλάτων ἀποφαίνεται. Προΐστασθαι δὲ ταύτης τινὰς τεταγμένους δαίμονας περὶ τὴν γῆν, φύλακας τῶν ἀνθρωπίνων πράξεων. Εἶναι δὲ καὶ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ προνοίᾳ τὸ εἶναι παρὰ τῆς πρώτης, ὡς δυνάμει πάντα παρὰ τοῦ πρώτου Θεοῦ διοικεῖσθαι, τοῦ τάξαντος καὶ τοὺς δευτέρους καὶ τοὺς τρί-

τους προνοητάς. Τὸ μὲν οὖν ἀναφέρειν εἰς Θεὸν τὰ πάντα καὶ τῆς ἐκείνου βουλήσεως λέγειν διηρτῆσθαι πᾶσαν πρόνοιαν, ἄξιον ἐπαινεῖν· οὐκέτι δὲ καὶ τὸ δευτέραν λέγειν πρόνοιαν, τοὺς τὸν οὐρανὸν περιπολοῦντας. Οὐ γὰρ πρόνοια τὸ γινόμενον, ἀλλ' εἱμαρμένη καὶ ἀνάγκη. Ὅπως γὰρ ἂν ἐκεῖνοι συσχηματίζωνται, ἀνάγκη καὶ τὰ γινόμενα γίνεσθαι, καὶ ἄλλως μὴ ἐνδέχεσθαι· τῶν δὲ κατὰ πρόνοιαν οὐδὲν ὑποπίπτειν ἀνάγκῃ, πάλαι δέδεικται. Οἱ δὲ στωϊκοὶ φιλόσοφοι, τὴν εἱμαρμένην καὶ τὸ ἐφ' ἡμῖν πρεσβεύοντες, οὐδὲ μίαν χώραν τῇ προνοίᾳ καταλείπουσιν· ἀλλὰ ταῖς ἀληθείαις καὶ τὸ ἐφ' ἡμῖν ἀναιροῦσιν, ὡς ἐδείχθη πρότερον. Δημόκριτος δὲ καὶ Ἡράκλειτος καὶ Ἐπίκουρος οὔτε τῶν καθόλου, οὔτε τῶν καθ' ἕκαστα πρόνοιαν εἶναι βούλονται. Ἐπίκουρος γοῦν ἔλεγε· «Τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει. Ὥστε οὔτε ὀργαῖς, οὔτε χάρισι συνέχεται· ἐν ἀσθενείᾳ γὰρ πάντα τὰ τοιαῦτα. Ὀργὴ [γὰρ] θεῶν ἀλλότριον. Ἐπὶ γὰρ ἀβουλήτῳ γίνεται· Θεῷ δὲ οὐδὲν ἀβούλητον.» Οὗτοι μὲν οὖν ἀκολουθοῦσι ταῖς ἰδίαις ἀρχαῖς. Ἐξ αὐτομάτου γὰρ ἡγούμενοι τὸ πᾶν τοῦτο συστῆναι, εἰκότως ἀπρονόητα φάσκουσιν εἶναι τὰ πάντα. Ὧν γὰρ οὐδείς ἐστι δημιουργός, τούτων τίς ἂν εἴη προνοητής; Δῆλον γάρ, ὡς αὐτομάτως ἀνάγκη φέρεσθαι τὰ τὴν ἀρχὴν αὐτομάτως γενόμενα. Δεῖ τοίνυν πρὸς τὴν πρώτην αὐτοῖς ἐνστῆναι δόξαν. Ταύτης γὰρ ἀναιρουμένης, ἀρκέσει τὰ προῤῥηθέντα εἰς ἀπόδειξιν τοῦ πρόνοιαν εἶναι. Φυλάξαντες οὖν τοῖς οἰκείοις **[797]** καιροῖς τὸν τούτων ἔλεγχον, ἔλθωμεν ἐπὶ τὴν Ἀριστοτέλους δόξαν καὶ τῶν ἄλλων, τῶν ἀπρονόητα λεγόντων τὰ καθ' ἕκαστα.

Καὶ γὰρ Ἀριστοτέλης ὑπὸ τῆς φύσεως ἡμῖν διοικεῖσθαι βούλεται τὰ κατὰ μέρος, ὡς ἐν τῷ ἕκτῳ τῶν «Νικομαχείων ἠθικῶν» ὑπηνίξατο. Ταύτην γὰρ θείαν οὖσαν καὶ τοῖς γεννητοῖς πᾶσιν ἐνυπάρχουσαν, ἑκάστῳ φυσικῶς ὑποτίθεσθαι τὴν τῶν συμφερόντων αἵρεσιν καὶ τὴν τῶν βλαπτόντων φυγήν. Ἕκαστον γάρ, ὡς εἴρηται, τῶν ζῴων καὶ τὴν κατάλληλον ἑαυτῷ τροφὴν ἐκλέγεται, καὶ τὸ συμφέρον μεταδιώκει, καὶ τὰς ἰατρείας τῶν παθῶν φυσικῶς ἐπίσταται. Εὐριπίδης δὲ καὶ Μένανδρος ἐν ἐνίοις τὸν νοῦν τὸν ἐν ἑκάστῳ φασὶ προνοεῖν ἑκάστου [καὶ ἑαυτοῦ], θεῶν δὲ μηδένα. Ἀλλ' ὁ μὲν νοῦς τῶν ἐφ' ἡμῖν ἐστι μόνων· ἢ γὰρ τῶν πρακτῶν καὶ τῶν τεχνῶν, ἢ τῆς θεωρίας· ἡ δὲ πρόνοια, τῶν οὐκ ἐφ' ἡμῖν, ὡς τοῦ πλουτεῖν καὶ μή, καὶ ὑγιαίνειν καὶ μή, ὧν οὐδὲν ποιεῖν ὁ νοῦς δύναται, ἀλλ' οὐδὲ ἡ φύσις, ὡς Ἀριστοτέλης δοκεῖ. Εὔδηλα γὰρ καὶ τὰ τῆς φύσεως ἔργα. Τί δὲ πρὸς τὸν νοῦν ἢ τὴν φύσιν, τὸ ποτὲ μὲν τιμωρεῖσθαι τὸν φονέα, ποτὲ δὲ διαφεύγειν; εἰ μή τις λέγοι, τὸ μὲν τοῦ νοῦ καὶ τῆς φύσεως προνοίας εἶναι, τὸ δὲ δεύτερον, εἱμαρμένης. Εἰ δὲ τὰ κατὰ νοῦν καὶ φύσιν προνοίας ἐστί, τὰ δὲ ἐπακολουθοῦντα τῆς εἱμαρμένης, ἀνήρηται τὸ ἐφ' ἡμῖν. Ἀλλ' οὐχ οὕτως ἔχει. Τὰ μὲν γὰρ τοῦ νοῦ, τοῦ τε πρακτικοῦ καὶ τοῦ θεωρητικοῦ, ἐφ' ἡμῖν ἐδείχθη. Οὐ πάντα δὲ τὰ κατὰ πρόνοιαν, τῆς φύσεως,

εἰ καὶ τὰ τῆς φύσεως κατὰ πρόνοιαν γίνεται. [800] Πολλὰ γὰρ τῶν κατὰ πρόνοιαν οὐκ ἔστι φύσεως ἔργα, ὡς ἐπὶ τοῦ φονέως ἐδείχθη. Ἔστι γὰρ μέρος προνοίας ἡ φύσις, οὐκ αὐτοπρόνοια.

Οὗτοι μὲν οὖν τῇ φύσει καὶ τῷ νῷ τὴν πρόνοιαν ἐπιγράφουσι τῶν καθ' ἕκαστα· οἱ δ' ἄλλοι τῷ Θεῷ μέλειν φασὶ τῆς τῶν ὄντων διαμονῆς, ὥστε μηδὲν τῶν γενομένων ἐπιλεῖψαι, καὶ τούτου μόνου πρόνοιαν ποιεῖσθαι· τὰ δὲ καθ' ἕκαστα φέρεσθαι ὡς ἔτυχε· καὶ διὰ τοῦτο πολλὰς μὲν ἀδικίας, πολλὰς δὲ μιαιφονίας, καὶ συλλήβδην εἰπεῖν, πᾶσαν κακίαν ἐμπολιτεύεσθαι τοῖς ἀνθρώποις· καὶ τούτων, ὡς ἔτυχε, τινὰς μὲν διαφυγεῖν τὴν δίκην, τινὰς δὲ καὶ κολάζεσθαι, οὔτε τῶν κατὰ τὸν ὀρθὸν λόγον, οὔτε τῶν κατὰ νόμον πάντως ἀποβαινόντων. Ἔνθα δὲ μήτε νόμος, μήτε λόγος κρατεῖ, πῶς ἄν τις φαίη,Θεὸν εἶναι τὸν ἐπιμελούμενον; Καὶ γὰρ συμβαίνει, τοὺς χρηστοὺς ὡς ἐπὶ τὸ πλεῖστον ἀδικεῖσθαι καὶ ταπεινοῦσθαι καὶ μυρίοις κακοῖς περιβάλλεσθαι· τοὺς δὲ πονηροὺς καὶ βιαίους αὔξεσθαι δυναστείᾳ καὶ πλούτῳ καὶ ἀρχαῖς καὶ τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον ἀγαθοῖς. Ἐμοὶ δὲ δοκοῦσιν οἱ ταῦτα λέγοντες πολλὰ μὲν καὶ ἄλλα τῶν κατὰ τὴν πρόνοιαν ἀγνοεῖν θεωρημάτων, μάλιστα δὲ τῆς ψυχῆς τὸ ἀθάνατον. Θνητὴν γὰρ αὐτὴν ὑπολαμβάνοντες εἶναι, τῇ ζωῇ ταύτῃ τὰ κατὰ τὸν ἄνθρωπον περιγράφουσιν· ἔπειτα διεστραμμένας ἔχουσι τὰς περὶ τῶν ἀγαθῶν κρίσεις. Οἴονται γάρ, τοὺς πλοῦτον περιβεβλημένους καὶ κομμῶντας ἀξιώμασι καὶ τοῖς ἄλλοις ὑλικοῖς ἀγαθοῖς ἐναβρυνομένους, εὐδαίμονας εἶναι καὶ μακαρίους· τὰ δὲ τῆς ψυχῆς ἀγαθὰ παρ' οὐδὲν τίθενται, πολλῷ τῷ μέτρῳ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ὑπερέχοντα. Κρείττονα γὰρ τὰ τῶν κρειττόνων ἀγαθά. Τοσούτῳ τοίνυν ἀρεταὶ πλούτου τε καὶ ὑγείας καὶ τῶν ἄλλων ὑπερφέρουσιν, ὅσῳ ψυχὴ σώματος. Τοιγάρτοι καὶ μόναι καὶ σὺν τοῖς ἄλλοις αἱ ἀρεταὶ μακάριον ποιοῦσι τὸν ἄνθρωπον. μετὰ μὲν τῶν ἄλλων, κατὰ πλάτος, μόναι δὲ καὶ καθ' ἑαυτάς, κατὰ περιγραφήν. Τῶν γὰρ ὄντων, τὰ μὲν κατὰ περιγραφὴν νοεῖται, ὡς δίπηχυ· τὰ δέ, κατὰ πλά[801]τος, ὡς σωρός. Σωροῦ μὲν γὰρ κἂν δύο μεδίμνους ἀφέλῃς, τὸ λειπόμενον μένει σωρός· καὶ τῆς κατὰ πλάτος δὲ μακαριότητος ἂν ἀφέλῃς τά τε τοῦ σώματος καὶ τὰ τῶν ἐκτὸς ἀγαθά, καταλίπῃς δὲ μόνας τὰς ἀρετάς, μένει καὶ οὕτω τὸ μακάριον· ἡ γὰρ ἀρετὴ καὶ καθ' ἑαυτὴν αὐτάρκης ἐστὶ πρὸς εὐδαιμονίαν. Πᾶς οὖν ἀγαθὸς μακάριος, καὶ πᾶς κακὸς ἄθλιος, κἂν πάντα συλλήβδην ἔχῃ τὰ λεγόμενα τῆς τύχης ἀγαθά. Ὅπερ ἀγνοοῦντες οἱ πολλοί, μόνους μακαρίους εἶναι νομίζουσι τοὺς σωματοῦντάς τε καὶ πλουτοῦντας. Διὸ μέμφονται τὴν πρόνοιαν, τὴν οὐ μόνον ἐκ τῶν φαινομένων διοικοῦσαν τὰ καθ' ἡμᾶς, ἀλλὰ καὶ κατὰ τὴν οἰκείαν πρόγνωσιν. Εἰδὼς γὰρ ὁ Θεός, ὅτι τῷ νῦν χρηστῷ καὶ ἀγαθῷ συμφέρει πένεσθαι, καὶ ὅτι διαφθείρει τὴν γνώμην αὐτοῦ πλοῦτος ἐπεισελθών, ἐν τῇ πενίᾳ φυλάττει συμφερόντως αὐτόν· εἰδὼς δέ, πολλάκις τὸν πλούσιον χαλεπώτερον ἐσόμενον, εἰ σπανίσειε χρημάτων (λῃστείαις γὰρ ἐπιχειρήσειεν, ἢ μιαιφονίαις, ἤ τισιν ἄλλοις

μείζοσι κακοῖς), ἐᾷ τὸν πλοῦτον καρποῦσθαι. Οὐκοῦν πενία πολλάκις ἡμῖν ἐλυσιτέλησε, καὶ τέκνα θάψαι, καὶ φυγεῖν οἰκέτας· πικροτέρα γὰρ τῆς ἀπωλείας αὐτῶν ἐγένετο ἂν ἡ σωτηρία, φαύλων μὲν τῶν τέκνων, ληστῶν δὲ τῶν οἰκετῶν γενομένων. Ἡμεῖς μὲν γὰρ οὐδὲν τῶν ἐσομένων εἰδότες, πρὸς τὰ παρόντα δὲ μόνον βλέποντες, οὐκ ὀρθῶς τὰ συμβαίνοντα κρίνομεν· τῷ δὲ Θεῷ καὶ τὰ μέλλοντα ὡς παρόντα ἐστίν.

Ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς καταγινώσκοντας εἴρηται, πρὸς οὓς καὶ τὸ τῆς Γραφῆς ἁρμόσειεν ἂν εἰπεῖν· «Μὴ ὁ πηλὸς ἐρεῖ τῷ κεραμεῖ»[1], καὶ τὰ ἑξῆς. Πῶς γὰρ οὐ φευκτός ἐστιν ἄνθρωπος, ἀντινομοθετῶν τῷ Θεῷ, καὶ ἀντιπαρακελευόμενος [804] τοῖς τῆς προνοίας ἔργοις, ὁ μηδὲ ταῖς ἀνθρωπίναις νομοθεσίαις ἀντιλέγειν τολμῶν; Παραλιπόντες οὖν τὰ τοιαῦτα πλημμελήματα, μᾶλλον δὲ ἀσεβήματα, δείξωμεν, ὡς οὐ καλῶς αὐτοῖς ἀπρονόητα λέγεται τὰ καθ' ἕκαστα, τῶν καθόλου καὶ γενικῶν προνοίας τυγχανόντων. Τρεῖς γὰρ ταύτας αἰτίας μόνας ἂν τις φαίη, τοῦ μὴ γίνεσθαι πρόνοιαν τῶν καθ' ἕκαστα· ἢ γὰρ ἀγνοεῖν τὸν Θεόν, ὅτι καλὸν καὶ τούτων ἐπιμελεῖσθαι, ἢ μὴ βούλεσθαι, ἢ μὴ δύνασθαι. Ἀλλ' ἄγνοια μὲν καὶ ἀμαθία παντάπασιν ἀλλοτριώτατον τῆς μακαρίας οὐσίας. Αὐτὸ γὰρ γνῶσίς ἐστι καὶ σοφία καὶ ἐπιστήμη. Πῶς δ' ἂν καὶ λάθοι τὸν Θεόν, ἃ μηδὲ ἄνθρωπος εὖ φρονῶν ἀγνοήσειεν, ὡς, τῶν κατὰ μέρος πάντων διαφθειρομένων, καὶ τὰ καθόλου διαφθαρήσεται; Ἐκ γὰρ τῶν κατὰ μέρος πάντων τὰ καθόλου συνίσταται. Ἐξισάζει γοῦν τὰ εἴδη πᾶσιν ὁμοῦ τοῖς κατὰ μέρος, καὶ ἀντιστρέφει, καὶ συνδιαφθείρεται καὶ συνδιασῴζεται. Οὐδὲν δὲ κωλύει, πάντα τὰ ἄτομα ἀπολέσθαι, μηδὲ μιᾶς ἄνωθεν κηδεμονίας τυγχάνοντα. Τούτων οὖν ἀπολλυμένων, καὶ τὰ καθόλου διαφθαρήσεται. Εἰ δὲ τούτου προνοεῖν μόνου φήσουσιν αὐτὸν τοῦ μὴ πάντα τὰ κατὰ μέρος ἀπολέσθαι, ἵνα σῴζηται τὰ εἴδη, λανθάνουσιν ἑαυτοὺς λέγοντες, εἶναί τινα καὶ τῶν καθ' ἕκαστα πρόνοιαν. Τούτων γὰρ προνοῶν, ὡς αὐτοὶ λέγουσι, διαφυλάττει τὰ εἴδη καὶ τὰ γένη. Ἀλλ' ἄλλοι φασίν, ὡς οὐκ ἀγνοεῖ μέν, οὐ βούλεται δὲ προνοεῖν. Ἀλλὰ τὸ μὴ βούλεσθαι, διὰ δύο γίνεται προφάσεις, ἢ διὰ ῥαθυμίαν, ἢ διὰ τὸ ἀπρεπές. Καὶ τίς ἂν μὴ μαινόμενος, ῥαθυμίας αἰτίαν ἐπάγοι Θεῷ; Πάλιν γὰρ ὑπὸ δύο τούτων ῥαθυμία τίκτεται, ἡδονῆς καὶ δειλίας. Ἢ γὰρ ὑφ' ἡδονῆς τινος περιελκόμενοι ῥαθυμοῦμεν, ἢ διὰ φόβον ἀφιστάμεθα. Οὐδέτερον δὲ τούτων θεμιτὸν διανοηθῆναι περὶ Θεοῦ. Εἰ δὲ [805] ῥαθυμίαν μὲν ἐπάγειν παραιτοῖντο, λέγοιεν δέ, μὴ πρέπειν Θεῷ (ἀνάξιον γὰρ εἶναι τῆς τοιαύτης μακαριότητος, τοῖς εὐτελέσι καὶ μικροῖς συγκαταβαίνειν, καὶ οἱονεὶ συμβεβηλοῦσθαι ταῖς ὑλικαῖς τε καὶ προαιρετικαῖς ἀτοπίαις, καὶ διὰ τοῦτο μὴ βούλεσθαι), ἀγνοοῦσι, δύο πάθη τὰ χείριστα τῷ Θεῷ περιάπτοντες, ὑπεροψίαν καὶ μολυσμόν· ἢ γὰρ δι' ὑπεροψίαν ὁ Δημιουργὸς ὑπερορᾷ τῆς ἀρχῆς καὶ διοικήσεως τῶν κατὰ μέρος, ὅπερ ἀτοπώτατον

1. Πρβλ. Ρωμ. 9, 20-21.

εἰπεῖν, ἢ τὸν μολυσμὸν ἐκκλίνων, ὡς αὐτοί φασιν. Εἰ δέ, ἡλιακῶν ἀκτίνων, φύσιν ἐχουσῶν ἕλκειν πᾶν ὑγρόν, οὔ φασι καταμολύνεσθαι τὸν ἥλιον, οὐδὲ τὰς ἀκτῖνας αὐτοῦ, ὅταν τοῖς βορβόροις ἐλλάμπωσιν, ἀλλὰ μένειν ἀχράντους καὶ καθαράς, πῶς τὸν Θεὸν ἡγοῦνται συμβεβηλοῦσθαι τοῖς τῇδε πραττομένοις;

Οὐκ ἔστιν ἀνθρώπων, φύσιν εἰδότων Θεοῦ, ταῦτα τὰ δόγματα. Ἀνέπαφον γὰρ καὶ ἀδιάφθορον καὶ ἀμίαντον καὶ πάσης ἀλλοιώσεως κρεῖττον τὸ Θεῖον καθέστηκεν. Ὁ γὰρ μολυσμὸς καὶ πάντα τὰ τοιαῦτα τροπῆς ἐστιν ἔργα. Πῶς δὲ οὐκ ἀτοπώτατον, τεχνίτην μὲν οἱασδήποτε τέχνης, καὶ μάλιστα ἰατρόν, ἐπιμελούμενον τῶν καθόλου, μηδὲν τῶν κατὰ μέρος, μηδὲ τὸ σμικρότατον ἐᾶν ἀτέχναστον καὶ ἀνεπιμέλητον, εἰδότα, ὡς εἰς τὸ πᾶν συντελεῖ τὸ μέρος, τὸν δὲ δημιουργὸν Θεὸν καὶ τῶν τεχνιτῶν ἀποφαίνειν ἀμαθέστερον; Ἀλλ' ἄρα βούλεται μέν, οὐ δύναται δέ. Καὶ πῶς οὐκ ἄντικρυς ἀπεμφαῖνον, ἀσθενῆ λέγειν τὸν Θεὸν καὶ ἀδύνατον εὖ ποιεῖν; Ἄλλως τε κατὰ δύο τρόπους φαίη τις ἂν τὸν Θεὸν μὴ δύνασθαι προνοεῖν τῶν ἀτόμων, ἢ τῷ αὐτὸν μὴ πεφυκέναι, ἢ τῷ τὰ κατὰ μέρος ἀνεπίδεκτα προνοίας εἶναι. Ἀλλ' ὅτι μὲν αὐτὸς πέφυκε προνοεῖν, καὶ αὐτοὶ συνομολογοῦσι, δι' ὧν φασιν αὐτὸν τῶν καθόλου προνοεῖν· ἄλλως τε, τὰ μὲν καταδεέστερα φθάνειν εἰς τὰ ὑπερκείμενα οὐχ οἷά τέ ἐστι· τῶν δὲ κρειττόνων ἡ δύναμις ἄχρι καὶ τῶν τελευταίων καὶ τῶν ἀναισθήτων σῴζουσα κάτεισι. [808] Πάντα γὰρ ἤρτηται τοῦ θείου θελήματος, καὶ ἐντεῦθεν ἀρύεται τὴν διαμονὴν καὶ σωτηρίαν. Ὅτι δὲ καὶ ἡ τῶν ἀτόμων καὶ πεπληθυσμένων ὑπόστασις προνοίας ἐστὶ δεκτική, δῆλον ἐκ τῶν ζῴων τῶν ἀρχαῖς τισι καὶ ἡγεμονίαις διοικουμένων, ὧν πολλὰ μὲν εἴδη. Καὶ γὰρ μέλισσαι καὶ μύρμηκες καὶ τὰ πλεῖστα τῶν συναγελαζομένων ὑπό τισιν ἡγεμόσι τέτακται, οἷς ἀκολουθεῖ πειθόμενα. Μάλιστα δ' ἄν τις τοῦτο κατανοήσειεν εἰς τὴν τῶν ἀνθρώπων πολιτείαν ἐμβλέψας.

Φαίνεται γὰρ τὰς τῶν νομοθετῶν καὶ τὰς τῶν ἀρχόντων ἐπιδεχομένη διοικήσεις καὶ ἐπιμελείας. Ἡ δὲ τούτων δεκτικὴ πῶς ἂν εἴη τῆς τοῦ Δημιουργοῦ προνοίας ἀνεπίδεκτος; Τεκμήριον δὲ οὐ μικρὸν τοῦ καὶ τὰ καθ' ἕκαστα προνοίας τυγχάνειν, τὸ φυσικῶς ἐγκατεσπάρθαι τοῖς ἀνθρώποις τὴν γνῶσιν αὐτῆς. Ὑπ' ἀνάγκης γὰρ συσχεθέντες, εὐθὺς ἐπὶ τὸ Θεῖον καὶ τὰς εὐχὰς καταφεύγομεν, ὡς ἂν τῆς φύσεως ἀγούσης ἡμᾶς ἀδιδάκτως ἐπὶ τὴν τοῦ Θεοῦ βοήθειαν. Οὐκ ἂν δὲ ἡμᾶς ἀδιδάκτως ἦγεν ἡ φύσις ἐπὶ τὸ μὴ φύσιν ἔχον γίνεσθαι. Καὶ γὰρ ἐν ταῖς ἐξαίφνης ταραχαῖς καὶ φόβοις ἀπροαιρέτως, πρίν τι καὶ σκέψασθαι, τὸν Θεὸν ἐπιβοώμεθα. Πᾶν δὲ τὸ ὁτῳοῦν φυσικῶς ἑπόμενον ἰσχυρὰν ἔχει τὴν ἀπόδειξιν, οὐδὲ μίαν ἀντιλογίαν ἐπιδεχόμενον. Πόθεν οὖν προήχθησαν ἐπὶ τοῦτον τὸν λόγον οἱ ταῦτα δοξάζοντες; Πρῶτον μέν, τῷ νομίζειν συνδιαλύεσθαι τῷ σώματι τὴν ψυχήν· δεύτερον δέ, τῷ μὴ δύνασθαι τὸν λόγον ἐξευρεῖν τῆς κατὰ μέρος προνοίας. Ἀλλ' ὅτι μὲν οὐκ ἔστιν ἡ ψυχὴ θνητή, οὐδὲ μέχρι τοῦ βίου τούτου τὰ κατὰ τὸν ἄν-

θρωπον ἵσταται, αἵ τε παρὰ τοῖς σοφωτάτοις τῶν Ἑλλήνων μετενσωματώσεις δηλοῦσι, καὶ οἱ λεγόμενοι τόποι ταῖς ψυχαῖς ἀποκεκληρῶσθαι πρὸς τὸν ἑκάστης βίον, καὶ αἱ τιμωρίαι τῶν ψυχῶν, [809] ἃς τιμωροῦνται καθ' ἑαυτάς. Ταῦτα γάρ, εἰ καὶ διαπίπτει κατά τι ἕτερον, ἀλλὰ τὸ τὴν ψυχὴν εἶναι μετὰ τὴν ζωὴν ταύτην, καὶ δίκας ὑπέχειν τῶν πλημμελημάτων συνομολογεῖ. Εἰ δὲ ἀκατάληπτος ἡμῖν ἐστιν τῆς τῶν κατὰ μέρος Προνοίας ὁ λόγος, ὥσπερ οὖν καὶ ἔστι, κατὰ τό, «Ὡς ἀνεξερεύνητα τὰ κρίματά σου, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοί σου»[1]! ἀλλ' οὐ διὰ τοῦτο δεῖ λέγειν, ὡς οὐκ ἔστι Πρόνοια. Οὐδὲ γὰρ ἐπειδὴ τὸ μέτρον τῆς θαλάσσης ἀγνοοῦμεν, καὶ τὸν ἀριθμὸν τῆς ψάμμου, φαίη τις ἂν μήτε θάλασσαν, μήτε ψάμμον εἶναι. Οὕτω γὰρ εἴπομεν ἂν μήτε ἄνθρωπον, μήτε ἄλλο τι ζῷον εἶναι, ἐπειδὴ τὸν ἀριθμὸν τῶν τε ἀνθρώπων, καὶ τῶν ἄλλων ζῴων ἀγνοοῦσι. Τὰ γὰρ ἄτομα, ἄπειρα ἡμῖν· τὰ δὲ ἄπειρα, καὶ ἄγνωστα ἡμῖν. Καὶ τὰ μὲν καθόλου λόγῳ πολλάκις γίνεται περιληπτά, τὰ δὲ κατὰ μέρος, ἀδύνατον.

Οὔσης δὲ καθ' ἕκαστον ἄνθρωπον διττῆς διαφορᾶς, τῆς τε πρὸς ἕτερον ἄνθρωπον καὶ τῆς πρὸς ἑαυτὸν (πολλὴ γὰρ καὶ ἡ πρὸς ἑαυτὸν ἑκάστου καθ' ἑκάστην ἡμέραν ἐναλλαγὴ καὶ διαφορὰ ἔν τε τοῖς βίοις καὶ τοῖς ἐπιτηδεύμασι καὶ χρείαις καὶ ἐπιθυμίαις καὶ τοῖς ἐπισυμβαίνουσιν, ἀγχίστροφον γὰρ τοῦτο τὸ ζῷον, ταῖς χρείαις καὶ τοῖς καιροῖς ὀξέως συμμεταβαλλόμενον), ἀνάγκη καὶ τὴν ἁρμόζουσαν ἑκάστῳ πρόνοιαν διάφορόν τε καὶ ποικίλην καὶ πολυσχιδῆ καὶ σύνδρομον τῇ τῶν πεπληθυσμένων ἀκαταληψίᾳ συνεκτείνεσθαι· εἴγε δεῖ πρόσφορον ἑκάστῳ καθ' ἕκαστον πρᾶγμα καὶ οἰκείαν ὑπάρχειν αὐτήν, ἄπειρος δὲ τῶν κατὰ μέρος ἡ διαφορά, ἄπειρος ἄρα καὶ τῆς ἁρμοζούσης αὐτοῖς προνοίας ὁ λόγος· εἰ δὲ ἄπειρος, καὶ ἄγνωστος ἡμῖν. Οὐ δεῖ τοίνυν τὴν οἰκείαν ἄγνοιαν ἀναίρεσιν ποιεῖσθαι τῆς τῶν ὄντων κηδεμονίας. Ἃ γὰρ σὺ νομίζεις μὴ καλῶς, ταῦτα κατὰ λόγον μὲν τῷ Δημιουργῷ γίνεται· σὺ δὲ ἀγνοῶν τὰς αἰτίας, οὐ κατὰ λόγον φῂς γίνεσθαι. Ὅπερ γὰρ κἀπὶ τῶν ἄλλων τῶν ἀγνώστων πάσχομεν, τοῦτο κἀπὶ τῶν [812] ἔργων τῆς Προνοίας· ἐξ εἰκασίας τινός, καὶ ταύτης ἀμυδρᾶς, συννοοῦμεν τὰ κατὰ ταύτην, εἴδωλά τινα καὶ σκιὰς τῶν ἔργων αὐτῆς ἐκ τῶν γινομένων κατὰ στοχασμὸν λαμβάνοντες. Φαμὲν γοῦν τινα γίνεσθαι κατὰ συγχώρησιν τοῦ Θεοῦ· τῆς δὲ συγχωρήσεως εἴδη πολλά. Συγχωρεῖ γὰρ πολλάκις καὶ τὸν δίκαιον περιπεσεῖν συμφοραῖς, ἵνα τὴν ἐν αὐτῷ λανθάνουσαν ἀρετὴν ἀναδείξῃ τοῖς ἄλλοις, ὡς ἐπὶ τοῦ Ἰώβ. Ἄλλοτε συγχωρεῖ τῶν ἀτόπων τι πραχθῆναι, ἵνα διὰ τῆς πράξεως τῆς δοκούσης ἀτόπου μέγα τι καὶ θαυμαστὸν κατορθώσῃ, ὡς διὰ τοῦ σταυροῦ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Κατ' ἄλλον τρόπον συγχωρεῖ τὸν ὅσιον πάσχειν κακῶς, ἵνα μὴ ἐκ τοῦ ὀρθοῦ συνειδότος καὶ τῆς δοθείσης αὐτῷ δυνάμεως εἰς ἀλαζονείαν ἐκπέσῃ, ὡς ἐπὶ τοῦ Παύλου[2].

1. Πρβλ. Ρωμ. 11, 33. 2. Πρβλ. Β' Κορ. 12, 1 κ. ἑ.

Ἐγκαταλείπεταί τις πρὸς καιρὸν εἰς διόρθωσιν ἄλλου, ἵνα τὸ κατ' αὐτὸν σκοποῦντες οἱ ἄλλοι παιδεύωνται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου [1]. Φυσικῶς γὰρ ὁρῶντές τινας πάσχοντας, συστελλόμεθα, ὡς εἴρηται καλῶς καὶ Μενάνδρῳ τό, «Φοβούμενοι τὸ θεῖον ἐπὶ τοῦ σοῦ πάθους».

Ἐγκαταλείπεταί τις καὶ εἰς ἄλλου δόξαν, οὐ δι' οἰκείας ἢ γονέων ἁμαρτίας, ὡς ὁ ἐκ γενετῆς τυφλός, εἰς δόξαν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου [2]. Πάλιν συγχωρεῖταί τις παθεῖν εἰς ἄλλου ζῆλον, ἵνα τῆς δόξης τοῦ παθόντος μεγαλυνθείσης, ἄοκνον τὸ πάθος τοῖς ἄλλοις γένηται, ἐλπίδι τῆς μελλούσης δόξης καὶ ἐπιθυμίᾳ τῶν προσδοκωμένων ἀγαθῶν, ὡς ἐπὶ τῶν μαρτύρων καὶ τῶν ἑαυτοὺς ἐπιδεδωκότων ὑπὲρ πατρίδος ἢ γένους ἢ δεσποτῶν ἢ τέκνων ἢ πίστεως. **[813]** Εἰ δέ τῳ δοκοίη παράλογον εἶναι, τὸ τὸν ὅσιον εἰς ἄλλου διόρθωσιν πάσχειν κακῶς, γινωσκέτω, ὡς οὗτος ὁ βίος ἀγών ἐστι καὶ στάδιον ἀρετῆς. Ὅσῳ τοίνυν μείζους οἱ πόνοι, τοσούτῳ μείζους οἱ στέφανοι. Πρὸς γὰρ τὸ μέτρον τῆς ὑπομονῆς ἡ τῶν ἄθλων ἀντίδοσις. Διὰ τοῦτο Παῦλος ἐν μυρίαις συνεχωρήθη γενέσθαι θλίψεσιν, ἵνα μείζονα καὶ τέλειον ἀπενέγκηται τῆς νίκης τὸν στέφανον. Πάντα γὰρ καλῶς καὶ δεόντως γίνεται τῆς Προνοίας τὰ ἔργα. Ὅτι δὲ καλῶς καὶ δεόντως καὶ ὡς μόνως ἐπιδέχεται διοικεῖ Θεὸς τὰ πάντα, δύο τούτοις τοῖς σκοποῖς τις χρώμενος, τοῖς παρὰ πᾶσιν ὁμολογουμένοις, ὀρθότατα σκοπήσειεν. Ἀγαθός ἐστι καὶ μόνος σοφός. Οὐκοῦν διὰ μὲν τὸ ἀγαθὸς εἶναι, προνοητὴς εἰκότως ἐστί· διὰ δὲ τὸ σοφὸς εἶναι, σοφῶς καὶ ἄριστα τῶν ὄντων ἐπιμελεῖται. Εἰ μὲν γὰρ οὐ προνοεῖ, οὐκ ἀγαθός· εἰ δὲ μὴ καλῶς, οὐ σοφός. Δεῖ τοίνυν τούτοις προσέχοντα τοῖς σκοποῖς, μηδαμῶς καταγινώσκειν τῶν τῆς Προνοίας ἔργων, μηδὲ βλασφημεῖν ἀνεξετάστως· καλῶς δὲ πάντα ἀποδέχεσθαι, πάντα θαυμάζειν, πάντα πεπεῖσθαι καλῶς καὶ δεόντως γίνεσθαι, κἂν φαίνηται τοῖς πολλοῖς ἄδικα, ἵνα μὴ πρὸς τῇ βλασφημίᾳ πολὺν καὶ τῆς ἀμαθίας ἑαυτῶν καταχέωμεν ψόγον. Ὅταν δὲ λέγωμεν πάντα καλῶς γίνεσθαι, δῆλον, ὡς οὐ περὶ τῆς κακίας τῶν ἀνθρώπων, οὐδὲ τῶν ἐφ' ἡμῖν ἔργων καὶ παρ' ἡμῶν γινομένων τὸν λόγον ποιούμεθα· ἀλλὰ περὶ τῶν τῆς Προνοίας, τῶν οὐκ ἐφ' ἡμῖν ὄντων.

[816] Πῶς οὖν ἄνδρες «θεῖοι» πικροῖς περιπεπτώκασι θανάτοις καὶ σφαγαῖς ἀναιτίοις; Εἰ μὲν γὰρ ἀδίκως, διατί μὴ ἐκώλυσεν ἡ δικαία Πρόνοια τὸν φόνον; Εἰ δὲ δικαίως, ἀναίτιοι πάντως οἱ φονεύσαντες. Πρὸς ταῦτα ἐροῦμεν, ὅτι καὶ ὁ φονεύων ἀδίκως φονεύει· καὶ ὁ φονευόμενος ἢ δικαίως φονεύεται ἢ συμφερόντως· δικαίως μὲν ἔσθ' ὅτε, διὰ πράξεις ἀτόπους, ἡμῖν δὲ ἀδήλους· συμφερόντως δέ, προκαταλαμβανούσης τῆς Προνοίας τὰς μελλούσας ἔσεσθαι παρ' αὐτοῦ κακουργίας, καὶ ὅτι καλὸν αὐτῷ μέχρι τούτου στῆναι τὴν ζωὴν (ὡς

1. Πρβλ. Λουκ. 16, 19 κ. ἑ. 2. Πρβλ. Ἰω. 9, 3.

Σωκράτει καὶ τοῖς ἁγίοις). Ὁ δὲ φονεύσας, ἀδίκως ἐφόνευσεν· οὐ γὰρ διὰ τοῦτο, οὐδὲ ἐξὸν αὐτῷ, ἀλλὰ διὰ κέρδος καὶ λῃστείαν ἑκουσίως. Ἐφ' ἡμῖν γὰρ ἡ πρᾶξις· τὸ δὲ πάθος οὐκ ἐφ' ἡμῖν, οἷον τὸ φονευθῆναι. Θάνατος δὲ οὐδεὶς κακός, εἰ μὴ ὁ δι' ἁμαρτίαν, ὡς δῆλον ἐκ τοῦ θανάτου τῶν ὁσίων ἀνδρῶν. Ὁ δὲ ἁμαρτωλός, κἂν ἐν τῷ σκίμποδι, κἂν αἰφνίδιον ἀπόνως τελευτήσῃ, κακῶς ἀπέθανε, κακὸν ἐντάφιον ἐπαγόμενος τὴν ἁμαρτίαν. Ὁ μέντοι φονεύσας, κακῶς ἐφόνευσεν. Ἐπὶ μὲν γὰρ τῶν δικαίως φονευομένων, εἰς τὴν τῶν δημίων ἑαυτὸν κατέταξε μοῖραν· ἐπὶ δὲ τῶν συμφερόντως, εἰς τὴν τῶν μιαιφόνων καὶ ἐναγῶν. Τὰ αὐτὰ καὶ ἐπὶ τῶν τοὺς πολεμίους φονευόντων καὶ αἰχμαλωτιζόντων, καὶ πᾶσαν κακίαν κατὰ τῶν αἰχμαλώτων ἐργαζομένων. Τὰ αὐτὰ καὶ ἐπὶ τῶν πλεον**[817]**εκτούντων καὶ ἁρπαζόντων χρήματα. Καὶ γὰρ τοῖς ἀφαιρουμένοις, ὡς εἰκός, συμφέρει, μὴ κεκτῆσθαι· ἀλλ' οἱ πλεονεκτήσαντες ἄδικοι. Διὰ γὰρ πλεονεξίαν, οὐχὶ διὰ τὸ συμφέρειν ἐκείνοις ἀφείλοντο.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) Ὅπου ἀπαντᾶται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ ἢ σ - ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.

Ὑπεύθυνος διὰ τὴν ὕλην τοῦ τόμου ὁ κ. Ἠλίας Δ. Μουτσούλας Δ. Θ. καὶ διὰ τὰς διορθώσεις ὁ φιλόλογος κ. Εὐστράτιος Γ. Καλαντζῆς, ἐπίτιμος Διευθυντὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν.

Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων συνειργάσθη μετὰ τοῦ Σεβ. Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος καὶ ὁ φιλόλογος κ. Παναγιώτης Νικολόπουλος.

Σημειωτέον, ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J. P. Migne ἢ τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.